physiologischen Philosophen. Mit dem Gesetzgeber Solon, dem Herrscher Periander, dem Lebenskünstler Bias und anderen zusammen zählte man ihn zu den Sieben Weisen und nannte ihn gelegentlich den Weisesten der Weisen. Wie sich um die Person des Odysseus, des ersten mythischen Kenners westlicher Inseln und Küsten des Mittelmeeres, alles rankte, was man an Schiffermärchen zu erzählen wufste, so verwebte man den Thales, den ersten historischen Kenner der ägyptischen Pyramiden, mit allerlei Grundanschauungen und Grundwahrheiten griechischer Wissenschaft. So schob man ihm die simpelste Form des Pantheismus zu; so machte man ihn zum Verfasser der ersten primitiven Nautik. So soll er die Länge des Jahres, die Wenden der Sonne, die Gröfse des Mondes und der Sonne gekannt haben. So ward er zum Entdecker folgender Lehrsätze: 1. der Halbierung des Kreises durch den Durchmesser; 2. der Gleichheit der Basiswinkel des gleichschenkligen Dreiecks; 3. der Gleichheit der Scheitelwinkel; 4. des zweiten Kongruenzsatzes; 5. der Proportionalität der Seiten ähnlicher Dreiecke; 6. des Satzes, dafs der Winkel

---

1. So nennt ihn Aristoteles *ὁ τῆς τοιαύτης ἀρχηγὸς φιλοσοφίας* (Metaph. I 3). — **4.** *Πρῶτος σοφός* (I 22) und *πάντων πρεσβύτατον σοφίῃ* (I 34), citiert Diogenes v. Laërte. — **15.** *Θαλῆς ᾠήθη πάντα πλήρη θεῶν εἶναι* Aristot. de anima I 5. *Ναυτικὴ ἀστρολογία* (I 23), *ἡλιακαὶ ἐκλείψεις καὶ τροπαί* (I 23), *τοῦ τοῦ ἡλίου μεγέθους τὸ τοῦ σεληναίου ἑπτακοσιοστὸν καὶ εἰκοστὸν μέρος* (I 24), *εἰς τριακοσίας ἑξήκοντα πέντε ἡμέρας διελεῖν* (I 27), lauter Worte des Diog. v. L. über Thales. — **16.** Proclos p. 157. 250. 299. 352. Plut. conviv. 2. Diog. v. Laërte I 24.

im Halbkreis ein rechter sei. Mit treuer Hartnäckigkeit nennt noch heute die Wissenschaft die letzte dieser Lehren den ‚Satz des Thales' (§ 47).

§ 13. **Pythagoras** stammte aus Samos, wirkte aber in den dorischen Städten von Süditalien und bewies dorische Strenge und Starrheit. Etwa —582 ist er geboren, —529 gründete er Bund und Schule in Croton, etwa —509 starb er, durch Parteikämpfe vertrieben, in Metapont. Gleich Thales war er zugleich ein Mann der Praxis und der Theorie. Gleich ihm scheint er Reisen gemacht und auch Ägypten besucht zu haben, da er die Seelenwanderung kannte und lehrte. Gleich ihm ist er von Späteren mit allerhand Entdeckungen und Weisheiten ausgestattet worden, die schwerlich von ihm stammen. Was ihn aber wesentlich von Thales unterscheidet, ist dreierlei: 1. Er

---

6. Cic. de rep. II 29: *anno fere CXL post mortem Numae primum Italiam Pythagoram attigisse etc.* Tusc. I 38: *cum Superbo regnante in Italiam venisset.* Cic. de fin. V 85: *Aegyptum lustravit et Persarum magos adiit.* Vgl. Herod. II 81. 123. Strabo p. 638: *Ἐπὶ τούτου (τοῦ Πολυκράτους τυράννου) καὶ Πυθαγόραν ἱστοροῦσιν ἰδόντα φυομένην τὴν τυραννίδα ἐκλιπεῖν τὴν πόλιν καὶ ἀπελθεῖν εἰς Αἴγυπτον καὶ Βαβυλῶνα φιλομαθείας χάριν.* — **8.** Seinen Geburtsort (VIII 1), seinen Tod (VIII 39), seine Erlebnisse und Lehren überliefert eingehend Diogenes v. Laërte. — **12.** Über die ‚*μετεμψύχωσις*' oder ‚*τὴν τῆς ψυχῆς περιπόλησιν*' des Pythagoras selber spricht Diog. L. VIII 4. Er behauptete einst jener Panthoide Euphorbos gewesen zu sein, den Menelaos verwundete (*Π* 808. *Ρ* 59); den Schild, den Menelaos im Hera-Tempel zu Argos geweiht, erkannte er wieder und liefs ihn herabnehmen: *Panthoiden iterum Orco demissum* und *clipeo Troiana refixo tempora testatus* sagt Horaz (O. I 28).

war ein Parteimann, ein Aristokrat, der Stifter eines Klubs. Als solcher verband er die konservativen Kreise der Städte Grofsgriechenlands und fiel einem Kampfe mit der Gegenpartei zum Opfer. 2. Er machte Schule, unterwarf die angehenden Jünger des Bundes einer Prüfungszeit und übte als Persönlichkeit einen bannenden Einflufs. Sein Wort genügte, seine persönliche Autorität ersetzte Begründung und Beweis. 3. Er scheint nicht für den Stoff des Alls, sondern für das Mafs sich interessiert zu haben. Zahlgröfsen und Zahlverhältnisse bilden die Grundlage der sogenannten Pythagoreischen Lehre. Darum ist der erste Autor einer Zahlenlehre, jener Nicomachos von Gerasa (§ 10), ein Pythagoreer. Seine politische Thätigkeit ist hier nicht von Bedeutung. Seine pädagogischen Grundsätze ruhen auf Moral und Religion. Langes Schweigen, unbedingten Gehorsam, strenge Mäfsigkeit, einfache Kleidung, tägliche Selbstprüfung forderte er; die Seelenwanderung, die Pflicht der Gerechtigkeit, die Geheimhaltung der Weisheit lehrte er. Seine wissenschaft-

---

8. *Αὐτὸς ἔφα* (Aristoph. Schol. Nub. 196) = *Ipse dixit* (Cic. de nat. deor. I 10). Auf wesentlich mündliche Belehrung weisen auch die *Πυθαγόρου χρυσᾶ ἔπη*. — **13.** Aristoteles (Metaph. I 5) sagt: *οἱ καλούμενοι Πυθαγόρειοι . . . ., ἐπειδὴ οἱ ἀριθμοὶ πάσης τῆς φύσεως πρῶτοι (ἐφαίνοντο), τὰ τῶν ἀριθμῶν στοιχεῖα τῶν ὄντων στοιχεῖα εἶναι ὑπέλαβον.* — **19.** Bestimmungen des Pythagoras, also den *Πυθαγόρειος τρόπος τοῦ βίου* (Plat. Rep. 600b), überliefert Diogenes von Laërte (VIII 1), z. B. die Selbstprüfung (§ 22): *Πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;* Wie vielfach aber hier die Phantasie erfand und die Überlieferung schwankte, lehrt die Geschichte des

lichen Resultate sind schwer aus dem Wuste der Überlieferung auszusondern. Es mögen etwa folgende sein: A. Saiten-Harmonie: Die Längen gleich dicker und gleich gespannter Saiten stehen zu den Schwingungszahlen harmonischer Töne in einfachen, d. h. durch die kleinsten ganzen Zahlen ausgedrückten Verhältnissen. B. Sphären-Harmonie: Die sieben rotierenden Sphären geben einen wohlklingenden Akkord, da ihre Abstände auf jenen Zahlenverhältnissen beruhen. C. Seelen-Harmonie: Die Seele selber ist eine Harmonie aller körperlichen Kräfte und Teile; der Körper ist ihr ein Gefäfs, ein Gefängnis. Es ist klar, wie hier die exakteste Beobachtung, vielleicht schon das Experiment (A), Hand in Hand geht mit der phantastischsten Spielerei (C). So mufste in der weiteren Entwickelung dieser Lehren nüchterne Forschung sich vereinen mit trunkener Symbolik. Und dieselbe Schule, welche die Lehre von den Quadratzahlen ausbildete, schob diesem arithmetischen Begriffe eine ethische Bedeutung unter. Dieselbe Schule, die da lehrte, 2 mal 2 sei 4, sah in diesem schlichtsinnigen Satz der Rechenkunst ein tief-

---

Bohnenverbotes (Gellius IV 11. Vgl. Cic. de div. I 62. Hor. Sat. II 6, 63. Diog. L. VIII 24). — **6.** A. überliefern die Bruchstücke des Philolaos, eines Zeitgenossen des Sokrates († —399). Eine spätere Fabel berichtet, Pythagoras habe in einer Schmiede die Töne der Hämmer in einfachen Intervallen klingen hören und darauf ihre Gewichte untersucht. — **9.** B. überliefert Aristoteles (de caelo II 9) und benutzt in poetischer Form Cicero (Somnium Scipionis § 10 = de rep. VI 18). — **11.** C. überliefert Plato (Phaedo 62 b) und Philolaos (in jenen Bruchstücken).

sinniges Symbol der Gerechtigkeit. Fraglich bleibt, ob dem Pythagoras selber auch der wichtigste Lehrsatz angehört, der noch heute so benannte ‚Satz des Pythagoras' (§ 43).

Eratosthenes ist in Kyrene um —274 geboren, in § 14.
Athen philosophisch gebildet, in Alexandria seit etwa —240 als Bibliothekar und Forscher thätig gewesen und in hohem Alter etwa —194 gestorben. Unermüdlich arbeitsam ertrug er die drohende Erblindung nicht und gab sich, wie später Atticus, durch Aushungern selbst den Tod. Als Bibliothekar des alexandrinischen *Μουσεῖον* trieb er grammatische, litterarische, poetische Studien und nannte sich

---

3. Den Pythagoreischen Lehrsatz schoben schon im Altertum manche auf Thales (Diog. L. I 24), der älteste Zeuge aber auf Pythagoras (VIII 12); den Euclidischen Beweis hält Proclos (p. 426) für eine Leistung des Euclid. Von der berühmten Hekatombe, die der Entdecker in seiner Freude opferte, dem ‚Schrecken aller Ochsen', spricht ein Epigramm (Diog. L. VIII 12): *'Ηνίκα Πυθαγόρης τὸ περικλεὲς εὕρετο γράμμα, Κεῖν' ἐφ' ὅτῳ κλεινὴν ἤγαγε βουθυσίην.* Vgl. Vitr. IX init. 7: *hostias dicitur Musis immolavisse.* Das Urteil des Herodot von ihm als *'Ελλήνων οὐ τῷ ἀσθενεστάτῳ σοφιστῇ* (IV 95) ist das kargende Lob eines vorsichtigen Laien. Das Urteil des Heraklit über seine *πολυμαθίην* und *κακοτεχνίην* (Diog. L. VIII 6) verrät das hämische Übelwollen der Einseitigkeit. Die Meinung Cantor's (I 129), ihm unter allen Umständen den berühmten Satz erhalten wissen zu wollen, ist der natürliche Wunsch des achtungsvollen Kenners und wird (I 153) dahin erläutert, Pythagoras habe seinen Satz zuerst an den Seitenlängen 3 : 4 : 5 erkannt. So Vitr. IX init. 6f. — **7.** *Κυρηναῖός ἐστι καὶ Καλλίμαχος* (Lehrer und Vorgänger des Eratosthenes) *καὶ 'Ερατοσθένης, ἀμφότεροι τετιμημένοι παρὰ τοῖς Αἰγυπτίων βασιλεῦσιν, ὁ μὲν ποιητὴς ἅμα καὶ περὶ γραμματικὴν ἐσπουδακώς, ὁ δὲ καὶ ταῦτα καὶ περὶ φιλοσοφίαν καὶ τὰ μαθήματα εἴ τις ἄλλος διαφέρων* Strab. 838.

selber *Φιλολόγος*. Als Schüler athenischer Philosophen schrieb er auch über Philosophie in dialogischer Form und erwarb sich den Ehrennamen des *Δεύτερος Πλάτων*. Als Alexandriner mufste er ja wohl besonders den realistischen Fächern sich zuwenden und wurde so Mathematiker, Geograph und Astronom. Um die unerhörte Vielseitigkeit in eine Allseitigkeit zu verwandeln, trieb er auch Geschichte und verfafste eine historische Chronologie. Diese Mannigfaltigkeit der Studien verschaffte ihm den Beinamen *Πένταθλος*, die dadurch bewirkte Minderwertigkeit der Resultate den Beinamen *Βῆτα*: an Fülle und Umfang des Wissens und Leistens fand man ihn unübertroffen, an Tiefe und Bedeutung der Forschungen wies man ihm überall den zweiten Rang an. Hier fesseln uns besonders seine mathematischen Leistungen. Soweit sie original sind, dürften etwa folgende zu nennen sein: 1. Die Messung des Erdmeridians (Buch II). 2. Die Verdoppelung des Würfels. 3. Das Sieb des Eratosthenes. Dieses letztere ist es, was wir im folgenden (§ 83 ff.) abdrucken und besprechen. Es ist charakteristisch für den Eratosthenes. Hübsch erdacht

---

1. *Eratosthenes primus hoc cognomen sibi vindicavit* Suet. de illustr. gramm. 10. — **10.** So hiefs in den grofsen Spielen der Griechen, wer den Kampf in fünf Übungen hintereinander (*ἅλμα, δίσκος, δρόμος, πάλη, πυγμή*) bestanden hatte. — **11.** Der Beiname des Zweiten (*τὸ Βῆτα*) kann nicht auf seine Stellung am Museum gehen; er war in der Reihe der berühmten Bibliothekare der Dritte. — **17.** Brief des Eratosthenes an König Ptolemaeos, erhalten im Kommentar des Eutokios (um + 575) zu Archimedes (Ausg. Heiberg III 102).

und doch nicht bedeutend, eigenartig ausgeführt und doch nicht schöpferisch verwertbar, ist diese Methode zur Auffindung der Primzahlen das Werk eines *Βῆτα*. Sie ist aber auch eine der überaus wenigen arithmetischen Leistungen des Altertums, die noch heute brauchbar und gebraucht sind.

II. Definitionen, Postulate, Axiome.

1. *Ὅροι*.

α'. Σημεῖόν ἐστιν, οὗ μέρος οὐθέν. Γραμμὴ δὲ **§ 15.**
μῆκος ἀπλατές, γραμμῆς δὲ πέρατα σημεῖα. Εὐθεῖα (γραμμή) ἐστιν, ἥτις ἐξ ἴσου τοῖς ἐφ' ἑαυτῆς σημείοις κεῖται. Ἐπιφάνεια δέ ἐστιν, ὃ μῆκος καὶ πλάτος μόνον ἔχει, ἐπιφανείας δὲ πέρατα γραμμαί. Ἐπίπεδος (ἐπιφάνειά) ἐστιν, ἥτις ἐξ ἴσου ταῖς ἐφ' ἑαυτῆς εὐθείαις κεῖται.

---

8. Dafs *Ὅροι* hier ‚Definitionen', § 16 aber ‚Grenze' heifst, stört die Eindeutigkeit (§ 5) der Euclidischen Termini nicht, da es in jener Bedeutung aufserhalb der eigentlichen mathematischen Terminologie steht. — **9.** *Οὐθείς, οὐθέν* sind Nebenformen für *οὐδείς, οὐδέν*, die seit Aristoteles vorkommen. — **10.** Neben *γραμμή* ist *μῆκος* eine Tautologie: die Definition besteht in einer Isolation der Anschauung (S. 10, 8). Neben *μῆκος* ist *ἀπλατές* ein Zirkel, da *πλάτος* den Begriff ‚Ebene' voraussetzt. — **11.** *Γραμμή* steht in Klammern, wie Zeile 13 *ἐπιφάνεια*, weil es wie bei unserem ‚Gerade' (vgl. ‚Ebene') fehlen kann. — **11.** *Ἐξ ἴσου* ‚auf gleichem Niveau' ist ein lehrreicher Ausdruck: 1. trägt er (ein seltener Fall) die Eierschalen seiner Geburt an sich, er stammt von der Wage; 2. beweist er, dafs *εὐθεῖα* ursprünglich als Horizontale gedacht ist, wie entsprechend *ἐπίπεδος*.

β΄ Ἐπίπεδος δὲ γωνία ἐστὶν ἡ ἐν ἐπιπέδῳ δύο γραμμῶν ἁπτομένων ἀλλήλων καὶ μὴ ἐπ᾽ εὐθείας κειμένων ἡ πρὸς ἀλλήλας (τῶν γραμμῶν) κλίσις. Ὅταν δὲ εὐθεῖα ἐπ᾽ εὐθεῖαν σταθεῖσα τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ, ὀρθὴ ἑκατέρα τῶν ἴσων γωνιῶν ἐστι, καὶ ἡ ἐφεστηκυῖα εὐθεῖα κάθετος καλεῖται, ἐφ᾽ ἣν ἐφέστηκεν. Ἀμβλεῖα γωνία ἐστὶν ἡ μείζων ὀρθῆς, ὀξεῖα δὲ ἡ ἐλάσσων ὀρθῆς.

§ 16. *γ΄. Ὅρος ἐστίν, ὅ τινός ἐστι πέρας. Σχῆμά ἐστι τὸ ὑπό τινος ἤ τινων ὅρων περιεχόμενον.*

δ΄. Κύκλος ἐστὶ σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, ἥτις καλεῖται περιφέρεια, πρὸς ἣν ἀφ᾽ ἑνὸς σημείου τῶν ἐντὸς τοῦ σχήματος κειμένων πᾶσαι αἱ προςπίπτουσαι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσίν.

ε΄. Κέντρον δὲ τοῦ κύκλου τοῦτο τὸ σημεῖον καλεῖται. Διάμετρος δὲ τοῦ κύκλου ἐστὶν εὐθεῖά τις διὰ τοῦ κέντρου ἠγμένη καὶ περατουμένη ἐφ᾽ ἑκάτερα τὰ μέρη ὑπὸ τῆς τοῦ κύκλου περιφερείας, ἥτις καὶ δίχα τέμνει τὸν κύκλον.

ς΄. Ἡμικύκλιον δέ ἐστι τὸ περιεχόμενον σχῆμα ὑπό

---

3. Es fehlt ein Wort für ‚Schenkel'. — **6.** *Ἐφεστηκυῖα* neben *κάθετος* lehrt, daſs *κατά* geradezu als ‚senkrecht auf' empfunden wird. Vgl. *κατορθοῦν* (Thuc. VI 11, 1) neben *ἀνορθοῦν; κατὰ ῥόον* ‚senkrecht zur Strömung' Herod. VII 36. — **8.** Euclid kennt keinen ‚gestreckten' Winkel. — **9.** *Σχῆμα* Figur. — **12.** *Περιφέρεια* heiſst sowohl ‚Kreislinie' als auch ‚Kreisbogen'. — **19.** Euclid hat kein Wort für ‚Radius'. — **20.** Die geläufigsten Zahlzeichen der Griechen sind die 24 Buchstaben des Alphabets, die um drei Zeichen vermehrt sind: Stigma (ς΄ = 6), Koppa (ϟ = 90), Sampi (ϡ = 900).

τε τῆς διαμέτρου καὶ τῆς ἀπολαμβανομένης ὑπ᾽ αὐτῆς περιφερείας. Κέντρον δὲ τοῦ ἡμικυκλίου τὸ αὐτό, ὃ καὶ τοῦ κύκλου ἐστίν.

ζ′. Σχήματα εὐθύγραμμά ἐστι τὰ ὑπὸ εὐθειῶν περι- § 17.
εχόμενα, τρίπλευρα μὲν τὰ ὑπὸ τριῶν, τετράπλευρα δὲ τὰ ὑπὸ τεσσάρων, πολύπλευρα δὲ τὰ ὑπὸ πλειόνων ἢ τεσσάρων εὐθειῶν περιεχόμενα.

η′. Τῶν δὲ τριπλεύρων σχημάτων ἰσόπλευρον μὲν τρίγωνόν ἐστι τὸ τὰς τρεῖς ἴσας ἔχον πλευράς, ἰσοσκελὲς δὲ τὸ τὰς δύο μόνας ἴσας ἔχον πλευράς, σκαληνὸν δὲ τὸ τὰς τρεῖς ἀνίσους ἔχον πλευράς.

θ′. Ἔτι δὲ τῶν τριπλεύρων σχημάτων ὀρθογώνιον μὲν τρίγωνόν ἐστι τὸ ἔχον ὀρθὴν γωνίαν, ἀμβλυγώνιον δέ τὸ ἔχον ἀμβλεῖαν γωνίαν, ὀξυγώνιον δέ τὸ τὰς τρεῖς ὀξείας ἔχον γωνίας.

ι′. Τῶν δὲ τετραπλεύρων σχημάτων τετράγωνον μέν ἐστιν, ὃ ἰσόπλευρόν τέ ἐστι καὶ ὀρθογώνιον, ἑτερόμηκες δὲ, ὃ ὀρθογώνιον μὲν, οὐκ ἰσόπλευρον δέ, ῥόμβος δέ, ὃ ἰσόπλευρον μέν, οὐκ ὀρθογώνιον δέ, ῥομβοειδὲς δὲ τὸ τὰς ἀπεναντίον πλευράς τε καὶ γωνίας ἴσας ἀλλήλαις ἔχον,

---

Mit α′ bis θ′ bezeichnen sie die Einer, mit ι′ bis ϟ die Zehner, mit ρ′ bis ϡ die Hunderter. Also ist z. B. κϛ′ = 26 und υϟδ′ = 494. Höhere Zahlen werden mit denselben Zeichen, aber einem Striche links unten, angedeutet, z. B. ͵α = 1000. Vgl. § 89. — **1.** Ἀπολαμβάνειν abschneiden. — **5.** Hier fehlt die Erklärung von πλευρά ‚Seite' (§ 2 a). — **10.** Σκαληνός ‚schiefwinklig', eigentlich ‚krumm, schief, höckerig'.

ὃ οὔτε ἰσόπλευρόν ἐστιν οὔτε ὀρθογώνιον· τὰ δὲ παρὰ ταῦτα τετράπλευρα *τραπέζια* καλείσθω.

ια'. *Παράλληλοί* εἰσιν εὐθεῖαι, αἵτινες ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὖσαι καὶ ἐκβαλλόμεναι εἰς ἄπειρον ἐφ' ἑκάτερα τὰ μέρη ἐπὶ μηδέτερα συμπίπτουσιν ἀλλήλαις.

ιβ'. Πᾶν *παραλληλόγραμμον* ὀρθογώνιον *περιέχεσθαι* λέγεται ὑπὸ δύο τῶν τὴν ὀρθὴν γωνίαν περιεχουσῶν εὐθειῶν.

§ 18. ιγ'. Εὐθεῖα κύκλου *ἐφάπτεσθαι* λέγεται, ἥτις ἁπτομένη τοῦ κύκλου καὶ ἐκβαλλομένη οὐ τέμνει τὸν κύκλον. Κύκλοι ἐφάπτεσθαι ἀλλήλων λέγονται, οἵτινες ἁπτόμενοι ἀλλήλων οὐ τέμνουσιν ἀλλήλους.

ιδ'. *Τμῆμα* κύκλου ἐστὶ τὸ περιεχόμενον σχῆμα ὑπό τε εὐθείας καὶ κύκλου περιφερείας. *Τομεὺς* δὲ κύκλου ἐστίν, ὅταν πρὸς τῷ κέντρῳ τοῦ κύκλου συσταθῇ γωνία, τὸ περιεχόμενον σχῆμα ὑπό τε τῶν τὴν γωνίαν περιεχουσῶν εὐθειῶν καὶ τῆς ἀπολαμβανομένης ὑπ' αὐτῶν περιφερείας.

ιε'. *Ἐν τμήματι γωνία* ἐστίν, ὅταν ἐπὶ τῆς περιφερείας τοῦ τμήματος ληφθῇ τι σημεῖον καὶ ἀπ' αὐτοῦ ἐπὶ τὰ πέρατα τῆς εὐθείας, ἥ ἐστι *βάσις τοῦ τμήματος*,

---

2. *Παρὰ ταῦτα* fast gleich *πρὸς τούτοις* ‚daneben, aufserdem'. — **4.** *Ἐκβάλλειν* verlängern. — **6.** Die 12. Definition stammt aus dem II., die 13.—15. aus dem III., die 16. aus dem IV. Buche. — **7.** Dieses *περιέχεσθαι* wird in der Partizipialform oft ergänzt. So heifst z. B. das Rechteck aus *ΑΒ* und *ΒΓ* oft *τὸ ὑπὸ ΑΒ, ΒΓ* statt *τὸ ὑπὸ ΑΒ, ΒΓ περιεχόμενον* (sc. *ὀρθογώνιον* oder *ἑτερόμηκες*). — **9.** *Ἐφαπτομένη* Tangente. — **18.** *Τμῆμα* Segment, *τομεύς* Sektor, *βάσις τοῦ τμήματος* Sekante, Sehne.

ἐπιζευχθῶσιν εὐθεῖαι, ἡ περιεχομένη γωνία ὑπὸ τῶν ἐπιζευχθεισῶν εὐθειῶν. Ὅταν δὲ αἱ περιέχουσαι τὴν γωνίαν εὐθεῖαι ἀπολαμβάνωσί τινα περιφέρειαν, ἐπ' ἐκείνης λέγεται βεβηκέναι ἡ γωνία.

ις'. Σχῆμα εὐθύγραμμον εἰς κύκλον ἐγγράφεσθαι λέγεται, ὅταν ἑκάστη γωνία τοῦ ἐγγραφομένου ἅπτηται τῆς τοῦ κύκλου περιφερείας. Σχῆμα δὲ εὐθύγραμμον περὶ κύκλον περιγράφεσθαι λέγεται, ὅταν ἑκάστη πλευρὰ τοῦ περιγραφομένου ἐφάπτηται τῆς τοῦ κύκλου περιφερείας.

ιζ'. Μέρος ἐστὶ μέγεθος μεγέθους τὸ ἔλασσον τοῦ § 19.
μείζονος, ὅταν καταμετρῇ τὸ μεῖζον. Πολλαπλάσιον δὲ τὸ μεῖζον τοῦ ἐλάσσονος, ὅταν καταμετρῆται ὑπὸ τοῦ ἐλάσσονος.

ιη'. Λόγος ἐστὶ δύο μεγεθῶν ὁμογενῶν ἡ κατὰ πηλικότητά ποια σχέσις. Λόγον ἔχειν πρὸς ἄλληλα μεγέθη λέγεται, ἃ δύναται πολλαπλασιαζόμενα ἀλλήλων ὑπερέχειν.

---

4. *Βεβηκέναι* stehen. So schon Xen. Anab. III 2, 19: *ἐπὶ γῆς βεβηκότες*, Gegensatz: *ἐφ' ἵππων κρέμανται*. — **11.** Die 17.—19. Definition steht im V., die 20. im VI. Buche. — **11.** *Μέρος* Teiler, aliquoter Teil, d. h. nicht Summand, sondern Faktor, also eine Gröfse, die so und so oft (*aliquotiens* irgend wie vielmal) in einer anderen ohne Rest enthalten ist. — **12.** *Καταμετρεῖν* genau messen, d. h. aufgehen in einer Zahl. Euclid kennt keine Brüche. — **12.** *Πολλαπλάσιον* Vielfaches, Produkt. — **15.** *Λόγος* Verhältnis. — **16.** *Σχέσις* Verhalten, Beziehung. — **18.** *Ἃ δύναται* von denen man sich denken kann, welche die Vorstellung zulassen. Der Ausdruck ist undeutlich, soll aber verhüten, dafs man bei den Gröfsen, die einander ὑπερ-

ιθ'. *Ἐν τῷ αὐτῷ λόγῳ μεγέθη λέγεται εἶναι πρῶτον πρὸς δεύτερον καὶ τρίτον πρὸς τέταρτον, ὅταν τὰ τοῦ πρώτου καὶ τρίτου ἰσάκις πολλαπλάσια τῶν τοῦ δευτέρου καὶ τετάρτου ἰσάκις πολλαπλασίων καθ' ὁποιονοῦν πολλαπλασιασμὸν ἑκάτερον ἑκατέρου ἢ ἅμα ὑπερέχῃ ἢ ἅμα ἴσα ᾖ ἢ ἅμα ἐλλείπῃ ληφθέντα κατάλληλα. Τὰ δὲ τὸν αὐτὸν ἔχοντα λόγον μεγέθη ἀνάλογον καλείσθω. Ὁμόλογα δὲ μεγέθη λέγεται τὰ μὲν ἡγούμενα τοῖς ἡγουμένοις, τὰ δὲ ἑπόμενα τοῖς ἑπομένοις.*

κ'. *Ὅμοια σχήματα εὐθύγραμμά ἐστιν, ὅσα τάς τε γωνίας ἴσας ἔχει κατὰ μίαν καὶ τὰς περὶ τὰς ἴσας γωνίας πλευρὰς ἀνάλογον.*

§ 20. *κα'*. *Μονάς ἐστιν, καθ' ἣν ἕκαστον τῶν ὄντων ἓν λέγεται. Ἀριθμὸς δὲ τὸ ἐκ μονάδων συγκείμενον πλῆθος.*

ἔχουσιν, an Differenzen, statt an Quotienten denkt: wenn a : b, dann $\frac{a}{b}$, nicht $a - b$. — **1.** *Ἐν τῷ αὐτῷ λόγῳ* in Proportion. — **3.** *Ἰσάκις πολλαπλάσια* das Gleichvielfache. Euclid meint, $a : b = c : d$ sei dann eine (richtige) Proportion, wenn an und cn gleichzeitig = oder > oder < als bm und dm werden, also wenn zugleich $an \gtreqless bm$ und $cn \gtreqless dm$ sind. — **6.** *Ληφθέντα κατάλληλα* wenn man sie in richtiger Beziehung zu einander (d. h. in ihrer ursprünglichen Folge: *πρῶτον πρὸς δεύτερον καὶ τρίτον πρὸς τέταρτον*) nimmt. — **7.** *Ἀνάλογον* proportional. — **9.** *Ἡγούμενα* Vorderglieder, *ἑπόμενα* Hinterglieder. — **11.** *Κατὰ μίαν* einzeln, d. h. je einen der einen Figur mit je einem der anderen Figur. — **13.** Die 21.—27. Definition steht im VII. Buche. — **15.** Beachte: 1. den Gegensatz zwischen Eins und Zahl (S. 15, 7); 2. das Fehlen der Brüche (*ἀριθμός* = ‚ganze' Zahl).

κβʹ. *Μέρος* ἐστὶν ἀριθμὸς ἀριθμοῦ ὁ ἐλάσσων τοῦ μείζονος, ὅταν καταμετρῇ τὸν μείζονα. *Μέρη* δέ, ὅταν μὴ καταμετρῇ. *Πολλαπλάσιος* δὲ ὁ μείζων τοῦ ἐλάσσονος, ὅταν καταμετρῆται ὑπὸ τοῦ ἐλάσσονος.

κγʹ. *Ἄρτιος ἀριθμός* ἐστιν ὁ δίχα διαιρούμενος. *Περισσὸς* δὲ ὁ μὴ διαιρούμενος δίχα ἢ ὁ μονάδι διαφέρων ἀρτίου ἀριθμοῦ.

κδʹ. *Πρῶτος ἀριθμός* ἐστιν ὁ μονάδι μόνῃ μετρούμενος. *Πρῶτοι πρὸς ἀλλήλους ἀριθμοί* εἰσιν οἱ μονάδι μόνῃ μετρούμενοι κοινῷ μέτρῳ.

κεʹ. *Σύνθετος ἀριθμός* ἐστιν ὁ ἀριθμῷ τινι μετρούμενος. *Σύνθετοι πρὸς ἀλλήλους ἀριθμοί* εἰσιν οἱ ἀριθμῷ τινι μετρούμενοι κοινῷ μέτρῳ.

κϛʹ. *Ἀριθμοὶ ἀνάλογόν εἰσιν*, ὅταν ὁ πρῶτος τοῦ δευτέρου καὶ ὁ τρίτος τοῦ τετάρτου ἰσάκις ᾖ πολλαπλάσιος ἢ τὸ αὐτὸ μέρος ἢ τὰ αὐτὰ μέρη ὦσιν.

κζʹ. *Τέλειος ἀριθμός* ἐστιν ὁ τοῖς ἑαυτοῦ μέρεσιν ἴσος ὤν.

---

2. *Μέρος* würden wir durch einen Stammbruch (z. B. $^1/_5$), *μέρη* durch einen gewöhnlichen Bruch (z. B. $^2/_5$) bezeichnen. So ist 2 *μέρος* (weil $^1/_5$) von 10; aber 4 *μέρη* (weil $^2/_5$) von 10. — **5.** *Ἄρτιος* gerade, *περισσός* ungerade. — **5.** *Δίχα διαιρούμενος* halbierbar. — **8.** *Πρῶτος ἀριθμός* Primzahl. — **9.** *Πρῶτοι πρὸς ἀλλήλους ἀριθμοί* ohne gemeinsamen Faktor, z. B. 5 und 8. — **11.** *Σύνθετος ἀριθμός* ‚zusammengesetzte Zahl', also im Gegensatz zur Primzahl ‚Sekundärzahl'. — **17.** *Τέλειος ἀριθμός* vollkommene Zahl. Die Pythagoreer gaben bei ihrem Hange zur Verquickung algebraischer und symbolischer Vorstellungen (§ 13) diesem Begriff doppelte Bedeutung: 1. eine algebraische, wie bei Euclid (*τοῖς ἑαυτοῦ μέρεσιν* = der Summe ihrer

§ 21. **2. Αἰτήματα.**

α'. Ἠιτήσθω ἀπὸ παντὸς σημείου ἐπὶ πᾶν σημεῖον εὐθεῖαν ἀγαγεῖν.

β'. Καὶ πεπερασμένην εὐθεῖαν κατὰ τὸ συνεχὲς ἐπ' εὐθείας ἐκβαλεῖν.

γ'. Καὶ παντὶ κέντρῳ καὶ διαστήματι κύκλον γράφεσθαι.

δ'. Καὶ πάσας τὰς ὀρθὰς γωνίας ἴσας ἀλλήλαις εἶναι.

ε'. Καὶ ἐὰν εἰς δύο εὐθείας εὐθεῖα ἐμπίπτουσα τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη γωνίας δύο ὀρθῶν ἐλάσσονας ποιῇ, ἐκβαλλομένας τὰς δύο εὐθείας ἐπ' ἄπειρον συμπίπτειν, ἐφ' ἃ μέρη εἰσὶν αἱ τῶν δύο ὀρθῶν ἐλάσσονες.

Faktoren, Teiler): $6=1+2+3$, oder $28=1+2+4+7+14$, oder $496=1+2+4+8+16+31+62+124+248$, u. s. w.; 2. eine symbolische, wo die Zahl nur Zeichen für andere Begriffe ist: 2 als erste gerade Zahl, 3 als erste ungerade Zahl, 4 als erste Quadratzahl, 8 als erste Kubikzahl, 7 als Zahl der Planeten, u. s. w. In der zweiten Bedeutung ist das Merkmal der ‚vollkommnen' Zahlen sehr verschieden: allerlei algebraische Kennzeichen mischen sich mit physischen (z. B. bei der 7). In diesem Sinn gebraucht Cicero im Somnium Scipionis § 4 den Begriff *plenus numerus* und bezeichnet das Produkt zweier solcher Zahlen $7 \times 8 = 56$ als die *summa fatalis* der Lebensjahre des jüngeren Scipio, der —185 geboren wurde und —129 starb. — **1.** *Αἰτήματα* Postulate. — **2.** *Ἠιτήσθω* es soll gefordert sein — es sei als möglich vorausgesetzt. Dieser Imperativ paſst nur zu *α', β', γ'*, die eine Aufgabe stellen. Denn *δ'* und *ε'* stellen eine Behauptung auf. Hier steckt eine Verwirrung (§ 3). — **4.** *Κατὰ τὸ συνεχές* unaufhörlich, ins Unendliche. — **9.** *Ἐμπίπτειν* auffallen, schneiden. — **10.** *Ἐπὶ τὰ αὐτὰ μέρη* nach derselben Seite. — **11.** *Ἐκβάλλειν* verlängern. — **11.** *Ἐπ' ἄπειρον* gehörig, beliebig, genügend. Ein ungenauer Ausdruck. — **12.** Dies ist das berühmte ‚Parallelen-Axiom', das nach dem obigen Originaltexte (des Euclid)

3. *Κοιναὶ ἔννοιαι.* § 22.

α'. Τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα.

β'. Καὶ ἐὰν ἴσοις ἴσα προςτεθῇ, τὰ ὅλα ἐστὶν ἴσα.

γ'. Καὶ ἐὰν ἀπὸ ἴσων ἴσα ἀφαιρεθῇ, τὰ καταλειπόμενά ἐστιν ἴσα.

δ'. Καὶ τὰ τοῦ αὐτοῦ διπλάσια ἴσα ἀλλήλοις ἐστίν.

ε'. Καὶ τὰ τοῦ αὐτοῦ ἡμίση ἴσα ἀλλήλοις ἐστίν.

ϛ'. Καὶ τὰ ἐφαρμόζοντα ἐπ' ἄλληλα ἴσα ἀλλήλοις ἐστίν.

ζ'. Καὶ τὸ ὅλον τοῦ μέρους μεῖζόν ἐστιν.

η'. Καὶ δύο εὐθεῖαι χωρίον οὐ περιέχουσιν.

III. Kongruenz der Dreiecke.

4. Erster Kongruenzsatz. § 23.

Ἐὰν δύο τρίγωνα τὰς δύο πλευρὰς ταῖς δυσὶ πλευραῖς ἴσας ἔχῃ ἑκατέραν ἑκατέρᾳ καὶ τὴν γωνίαν τῇ γωνίᾳ ἴσην ἔχῃ τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν

---

eigentlich das ‚Convergenten-Axiom' heifsen müfste. Die Versuche, es entbehrlich zu machen, führten zur Begründung einer ‚absoluten', also nichteuclidischen Geometrie, und dienten der Vorstellung von einem mehrdimensionalen Raume (Gauss, Lobatschweski, Helmholtz). — **1.** *Κοιναὶ ἔννοιαι* Allgemeine Anschauungen, Axiome. — **2.** Wir: Sind zwei Gröfsen einer dritten gleich, so sind sie unter einander gleich. — **3.** *Προςτιθέναι* zufügen, addieren. — **4.** *Ἀφαιρεῖν* abziehen, subtrahieren. — **8.** *Ἐφαρμόζειν* passen zu, sich decken, auffallen, zusammenfallen. — **14.** Die bei uns üblichen Ausdrücke ‚Lehrsatz, Voraussetzung, Behauptung, Beweis' finden sich in dieser Anwendung nicht im Euclid. — **15.** *Ἑκατέραν ἑκατέρᾳ* je eine des einen Dreiecks mit je einer des anderen.

περιεχομένην, καὶ τὴν βάσιν τῇ βάσει ἴσην ἕξει, καὶ τὸ τρίγωνον τῷ τριγώνῳ ἴσον ἔσται, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται ἑκατέρα ἑκατέρᾳ, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν (Fig. 1).

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ τὰς δύο πλευρὰς τὰς ΑΒ, ΑΓ ταῖς δυσὶ πλευραῖς ταῖς ΔΕ, ΔΖ ἴσας ἔχοντα ἑκατέραν ἑκατέρᾳ, τὴν μὲν ΑΒ τῇ ΔΕ, τὴν δὲ ΑΓ τῇ ΔΖ, καὶ γωνίαν τὴν ὑπὸ ΒΑΓ γωνίᾳ τῇ ὑπὸ ΕΔΖ ἴσην. λέγω, ὅτι καὶ βάσις ἡ ΒΓ βάσει τῇ ΕΖ ἴση ἐστίν, καὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ ἴσον ἔσται, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται ἑκατέρα ἑκατέρᾳ, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν, ἡ μὲν ὑπὸ ΑΒΓ τῇ ὑπὸ ΔΕΖ, ἡ δὲ ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΔΖΕ.

Ἐφαρμοζομένου γὰρ τοῦ ΑΒΓ τριγώνου ἐπὶ τὸ ΔΕΖ τρίγωνον καὶ τιθεμένου τοῦ μὲν Α σημείου ἐπὶ τὸ Δ σημεῖον, τῆς δὲ ΑΒ εὐθείας ἐπὶ τὴν ΔΕ, ἐφαρμόσει καὶ

---

1. *Περιέχειν* einschliefsen. — **1.** Mit *καὶ τὴν βάσιν* beginnt der Nachsatz. Euclid hat kein Wort für ‚kongruent'. — **1.** *Βάσιν.* Wir: dritte Seite. — **5.** *Ὑποτείνειν* gegenüberliegen. Der Ausdruck *ὑποτείνουσα* gilt bei Euclid keineswegs blofs für die Gegenseite des rechten Winkels. — **6.** Die grofsen Buchstaben (Majuskeln) sind an den Figuren formelhaft, da sie keine Laute, sondern Punkte (Örter) bezeichnen. Sie blieben, wie alles Formelhafte, auch später (IX. Jahrhundert) stehen, als der Text längst in kleinen Buchstaben (Minuskeln) geschrieben ward. — **9.** *Γωνίαν τὴν ὑπὸ ΒΑΓ.* Wir einfach: den Winkel *ΒΑΓ*. — **16.** *Ἐφαρμόζειν* darauflegen. — **18.** *Ἐφαρμόσει* intr. sich decken. Schon Homer (*Τ* 385) sagt, Achill probierte die *ἔντεα* des Hephaestos, ob sie ihm ‚pafsten', *εἰ οἷ ἐφαρμόσσειε.*

τὸ Β σημεῖον ἐπὶ τὸ Ε διὰ τὸ ἴσην εἶναι τὴν ΑΒ τῇ ΔΕ· ἐφαρμοσάσης δὴ τῆς ΑΒ ἐπὶ τὴν ΔΕ ἐφαρμόσει καὶ ἡ ΑΓ εὐθεῖα ἐπὶ τὴν ΔΖ διὰ τὸ ἴσην εἶναι τὴν ὑπὸ ΒΑΓ γωνίαν τῇ ὑπὸ ΕΔΖ· ὥστε καὶ τὸ Γ σημεῖον ἐπὶ τὸ Ζ σημεῖον ἐφαρμόσει διὰ τὸ ἴσην πάλιν εἶναι τὴν ΑΓ τῇ ΔΖ. ἀλλὰ μὴν καὶ τὸ Β ἐπὶ τὸ Ε ἐφηρμόκει· ὥστε βάσις ἡ ΒΓ ἐπὶ βάσιν τὴν ΕΖ ἐφαρμόσει. εἰ γὰρ τοῦ μὲν Β ἐπὶ τὸ Ε ἐφαρμόσαντος, τοῦ δὲ Γ ἐπὶ τὸ Ζ ἡ ΒΓ βάσις ἐπὶ τὴν ΕΖ οὐκ ἐφαρμόσει, δύο εὐθεῖαι χωρίον περιέξουσιν· ὅπερ ἐστὶν ἀδύνατον. ἐφαρμόσει ἄρα ἡ ΒΓ βάσις ἐπὶ τὴν ΕΖ καὶ ἴση αὐτῇ ἔσται· ὥστε καὶ ὅλον τὸ ΑΒΓ τρίγωνον ἐπὶ ὅλον τὸ ΔΕΖ τρίγωνον ἐφαρμόσει καὶ ἴσον αὐτῷ ἔσται, καὶ αἱ λοιπαὶ γωνίαι ἐπὶ τὰς λοιπὰς γωνίας ἐφαρμόσουσι καὶ ἴσαι αὐταῖς ἔσονται, ἡ μὲν ὑπὸ ΑΒΓ τῇ ὑπὸ ΔΕΖ, ἡ δὲ ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΔΖΕ.

Ἐὰν ἄρα δύο τρίγωνα τὰς δύο πλευρὰς ταῖς δύο πλευραῖς ἴσας ἔχῃ ἑκατέραν ἑκατέρᾳ καὶ τὴν γωνίαν τῇ γωνίᾳ ἴσην ἔχῃ τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν περιεχομένην, καὶ τὴν βάσιν τῇ βάσει ἴσην ἕξει, καὶ τὸ τρίγωνον τῷ τριγώνῳ ἴσον ἔσται, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται ἑκατέρα ἑκατέρᾳ, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ὅπερ ἔδει δεῖξαι.

---

9. *Οὐκ ἐφαρμόσει* nach *εἰ*, weil es einen Begriff bildet: ungedeckt bleiben, auseinander fallen. — **10.** *Ἀδύνατον* nach § 22 η'. — **16.** *Ἄρα* bestätigt (in der That, wirklich, natürlich) und folgert (also, so — denn). Gerade hier ist besonders deutlich, wie beide Bedeutungen in einander übergehen: ‚So ist denn wirklich'. — **22.** *Ὅπερ ἔδει δεῖξαι quod erat demonstrandum.*

§ 24. 5. Basiswinkel des gleichschenkligen Dreiecks.

Τῶν ἰσοσκελῶν τριγώνων αἱ πρὸς τῇ βάσει γωνίαι ἴσαι ἀλλήλαις εἰσίν, καὶ προσεκβληθεισῶν τῶν ἴσων εὐθειῶν αἱ ὑπὸ τὴν βάσιν γωνίαι ἴσαι ἀλλήλαις ἔσονται (Fig. 2).

Ἔστω τρίγωνον ἰσοσκελὲς τὸ ΑΒΓ ἴσην ἔχον τὴν ΑΒ πλευρὰν τῇ ΑΓ πλευρᾷ, καὶ προσεκβεβλήσθωσαν ἐπ' εὐθείας ταῖς ΑΒ, ΑΓ εὐθεῖαι αἱ ΒΔ, ΓΕ· λέγω, ὅτι ἡ μὲν ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΑΓΒ ἴση ἐστίν, ἡ δὲ ὑπὸ ΓΒΔ τῇ ὑπὸ ΒΓΕ.

εἰλήφθω γὰρ ἐπὶ τῆς ΒΔ τυχὸν σημεῖον τὸ Ζ, καὶ ἀφῃρήσθω ἀπὸ τῆς μείζονος τῆς ΑΕ τῇ ἐλάσσονι τῇ ΑΖ ἴση ἡ ΑΗ, καὶ ἐπεζεύχθωσαν αἱ ΖΓ, ΗΒ εὐθεῖαι.

ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν ΑΖ τῇ ΑΗ, ἡ δὲ ΑΒ τῇ ΑΓ, δύο δὴ αἱ ΑΖ, ΑΓ δυσὶ ταῖς ΑΗ, ΑΒ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ γωνίαν κοινὴν περιέχουσι τὴν ὑπὸ ΖΑΗ· βάσις ἄρα ἡ ΖΓ βάσει τῇ ΗΒ ἴση ἐστίν, καὶ τὸ ΑΖΓ τρίγωνον τῷ ΑΗΒ τριγώνῳ ἴσον ἔσται, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται ἑκατέρα ἑκατέρᾳ, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν, ἡ μὲν ὑπὸ ΑΓΖ τῇ ὑπὸ ΑΒΗ, ἡ δὲ ὑπὸ ΑΖΓ τῇ ὑπὸ ΑΗΒ. καὶ ἐπεὶ ὅλη ἡ ΑΖ ὅλῃ τῇ ΑΗ ἐστιν ἴση, ὧν ἡ ΑΒ

---

4. *Προςεκβάλλειν* verlängern. — **4.** *Αἱ ὑπὸ τὴν βάσιν γωνίαι.* Gemeint sind die Aufsenwinkel an der Basis. — **11.** *Τυχόν* beliebig. — **12.** *Ἀφαιρεῖν* abstecken, abmessen, abschneiden. — **13.** *Ἐπιζευγνύναι* hinterher ziehen. — **14.** Der Beweis ist umständlich, weil der Satz von den Nebenwinkeln (§ 27) und der Begriff der Winkelhalbierung erst folgt.

τῇ ΑΓ ἐστιν ἴση, λοιπὴ ἄρα ἡ ΒΖ λοιπῇ τῇ ΓΗ ἐστιν ἴση. ἐδείχθη δὲ καὶ ἡ ΖΓ τῇ ΗΒ ἴση· δύο δὴ αἱ ΒΖ, ΖΓ δυσὶ ταῖς ΓΗ, ΗΒ ἴσαι εἰσὶν ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ ΒΖΓ γωνίᾳ τῇ ὑπὸ ΓΗΒ ἴση, καὶ βάσις αὐτῶν κοινὴ ἡ ΒΓ· καὶ τὸ ΒΖΓ ἄρα τρίγωνον τῷ ΓΗΒ τριγώνῳ ἴσον ἔσται, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται ἑκατέρα ἑκατέρᾳ, ὑφ᾽ ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἐστὶν ἡ μὲν ὑπὸ ΖΒΓ τῇ ὑπὸ ΗΓΒ, ἡ δὲ ὑπὸ ΒΓΖ τῇ ὑπὸ ΓΒΗ. ἐπεὶ οὖν ὅλη ἡ ὑπὸ ΑΒΗ γωνία ὅλῃ τῇ ὑπὸ ΑΓΖ γωνίᾳ ἐδείχθη ἴση, ὧν ἡ ὑπὸ ΓΒΗ τῇ ὑπὸ ΒΓΖ ἐστιν ἴση, λοιπὴ ἄρα ἡ ὑπὸ ΑΒΓ λοιπῇ τῇ ὑπὸ ΑΓΒ ἐστιν ἴση· καί εἰσι πρὸς τῇ βάσει τοῦ ΑΒΓ τριγώνου. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ΖΒΓ τῇ ὑπὸ ΗΓΒ ἴση· καί εἰσιν ὑπὸ τὴν βάσιν.

Τῶν ἄρα ἰσοσκελῶν τριγώνων αἱ πρὸς τῇ βάσει γωνίαι ἴσαι ἀλλήλαις εἰσίν, καὶ προσεκβληθεισῶν τῶν ἴσων εὐθειῶν αἱ ὑπὸ τὴν βάσιν γωνίαι ἴσαι ἀλλήλαις ἔσονται· ὅπερ ἔδει δεῖξαι.

6. Hilfssatz für den dritten Kongruenzsatz. § 25.

Ἐπὶ τῆς αὐτῆς εὐθείας δυσὶ ταῖς αὐταῖς εὐθείαις ἄλλαι δύο εὐθεῖαι ἴσαι ἑκατέρα ἑκατέρᾳ οὐ συσταθήσονται πρὸς ἄλλῳ καὶ ἄλλῳ σημείῳ

---

19. Euclids Sätze sind zum Teil hier übergangen, aber ihre Reihenfolge ist streng festgehalten. Es steht thatsächlich bei ihm unser ‚dritter' Kongruenzsatz vor dem zweiten. Der vierte fehlt. — **21.** *Δυσὶ ταῖς αὐταῖς εὐθείαις* denselben beiden Geraden. — **22.** *Οὐ συσταθήσονται πρὸς ἄλλῳ καὶ ἄλλῳ σημείῳ* können nicht an verschiedenen Punkten sich treffen.

ἐπὶ τὰ αὐτὰ μέρη τὰ αὐτὰ πέρατα ἔχουσαι ταῖς ἐξ ἀρχῆς εὐθείαις (Fig. 3).

Εἰ γὰρ δυνατόν, ἐπὶ τῆς αὐτῆς εὐθείας τῆς ΑΒ δυσὶ ταῖς αὐταῖς εὐθείας ταῖς ΑΓ, ΓΒ ἄλλαι δύο εὐθεῖαι αἱ ΑΔ, ΔΒ ἴσαι ἑκατέρα ἑκατέρᾳ συνεστάτωσαν πρὸς ἄλλῳ καὶ ἄλλῳ σημείῳ τῷ τε Γ καὶ Δ ἐπὶ τὰ αὐτὰ μέρη τὰ αὐτὰ πέρατα ἔχουσαι, ὥστε ἴσην εἶναι τὴν μὲν ΓΑ τῇ ΔΑ τὸ αὐτὸ πέρας ἔχουσαν αὐτῇ τὸ Α, τὴν δὲ ΓΒ τῇ ΔΒ τὸ αὐτὸ πέρας ἔχουσαν αὐτῇ τὸ Β, καὶ ἐπεζεύχθω ἡ ΓΔ.

Ἐπεὶ οὖν ἴση ἡ ΑΓ τῇ ΑΔ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΑΓΔ τῇ ὑπὸ ΑΔΓ· μείζων ἄρα ἡ ὑπὸ ΑΔΓ τῆς ὑπὸ ΔΓΒ· πολλῷ ἄρα ἡ ὑπὸ ΓΔΒ μείζων ἐστὶ τῆς ὑπὸ ΔΓΒ. πάλιν ἐπεὶ ἴση ἐστὶν ἡ ΓΒ τῇ ΔΒ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΓΔΒ γωνίᾳ τῇ ὑπὸ ΔΓΒ. ἐδείχθη δὲ αὐτῆς καὶ πολλῷ μείζων· ὅπερ ἐστὶν ἀδύνατον.

Οὐκ ἄρα ἐπὶ τῆς αὐτῆς εὐθείας δυσὶ ταῖς αὐταῖς εὐθείαις ἄλλαι δύο εὐθεῖαι ἴσαι ἑκατέρα ἑκατέρᾳ συσταθήσονται πρὸς ἄλλῳ καὶ ἄλλῳ σημείῳ ἐπὶ τὰ αὐτὰ μέρη τὰ αὐτὰ πέρατα ἔχουσαι ταῖς ἐξ ἀρχῆς εὐθείαις· ὅπερ ἔδει δεῖξαι.

§ 26. **7. Dritter Kongruenzsatz.**

Ἐὰν δύο τρίγωνα τὰς δύο πλευρὰς ταῖς δυσὶ πλευραῖς ἴσας ἔχῃ ἑκατέραν ἑκατέρᾳ, ἔχῃ δὲ καὶ τὴν βάσιν τῇ βάσει ἴσην, καὶ τὴν γωνίαν τῇ γωνίᾳ ἴσην ἕξει τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν περιεχομένην (Fig. 4).

---

1. *Τὰ αὐτὰ πέρατα* dieselben Endpunkte = Ausgangspunkte. — **3.** Indirekter Beweis.

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ τὰς δύο πλευρὰς τὰς ΑΒ, ΑΓ ταῖς δυσὶ πλευραῖς ταῖς ΔΕ, ΔΖ ἴσας ἔχοντα ἑκατέραν ἑκατέρᾳ, τὴν μὲν ΑΒ τῇ ΔΕ, τὴν δὲ ΑΓ τῇ ΔΖ· ἐχέτω δὲ καὶ βάσιν τὴν ΒΓ βάσει τῇ ΕΖ ἴσην· λέγω, ὅτι καὶ γωνία ἡ ὑπὸ ΒΑΓ γωνίᾳ τῇ ὑπὸ ΕΔΖ ἐστὶν ἴση.

Ἐφαρμοζομένου γὰρ τοῦ ΑΒΓ τριγώνου ἐπὶ τὸ ΔΕΖ τρίγωνον καὶ τιθεμένου τοῦ μὲν Β σημείου ἐπὶ τὸ Ε σημεῖον, τῆς δὲ ΒΓ εὐθείας ἐπὶ τὴν ΕΖ, ἐφαρμόσει καὶ τὸ Γ σημεῖον ἐπὶ τὸ Ζ διὰ τὸ ἴσην εἶναι τὴν ΒΓ τῇ ΕΖ· ἐφαρμοσάσης δὴ τῆς ΒΓ ἐπὶ τὴν ΕΖ ἐφαρμόσουσι καὶ αἱ ΒΑ, ΑΓ ἐπὶ τὰς ΕΔ, ΔΖ. εἰ γὰρ βάσις μὲν ἡ ΒΓ ἐπὶ βάσιν τὴν ΕΖ ἐφαρμόσει, αἱ δὲ ΒΑ, ΑΓ πλευραὶ ἐπὶ τὰς ΕΔ, ΔΖ οὐκ ἐφαρμόσουσιν, ἀλλὰ παραλλάξουσιν ὡς αἱ ΕΗ, ΗΖ, συσταθήσονται ἐπὶ τῆς αὐτῆς εὐθείας δυσὶ ταῖς αὐταῖς εὐθείαις ἄλλαι δύο εὐθεῖαι ἴσαι ἑκατέρα ἑκατέρᾳ πρὸς ἄλλῳ καὶ ἄλλῳ σημείῳ ἐπὶ τὰ αὐτὰ μέρη τὰ αὐτὰ πέρατα ἔχουσαι. οὐ συνίστανται δέ· οὐκ ἄρα ἐφαρμοζομένης τῆς ΒΓ βάσεως ἐπὶ τὴν ΕΖ βάσιν οὐκ ἐφαρμόσουσι καὶ αἱ ΒΑ, ΑΓ πλευραὶ ἐπὶ τὰς ΕΔ, ΔΖ. ἐφαρμόσουσιν ἄρα· ὥστε καὶ γωνία ἡ ὑπὸ ΒΑΓ ἐπὶ γωνίαν τὴν ὑπὸ ΕΔΖ ἐφαρμόσει καὶ ἴση αὐτῇ ἔσται.

Ἐὰν ἄρα δύο τρίγωνα τὰς δύο πλευρὰς ταῖς δυσὶ πλευραῖς ἴσας ἔχῃ ἑκατέραν ἑκατέρᾳ καὶ τὴν βάσιν τῇ

---

15. *Παραλλάσσειν* seitwärts abweichen, daneben fallen. — **18.** *Οὐ συνίστανται* nach § 25.

βάσει ἴσην ἔχῃ, καὶ τὴν γωνίαν τῇ γωνίᾳ ἴσην ἕξει τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν περιεχομένην· ὅπερ ἔδει δεῖξαι.

§ 27.

8. Nebenwinkel.

Ἐὰν εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα γωνίας ποιῇ, ἤτοι δύο ὀρθὰς ἢ δυσὶν ὀρθαῖς ἴσας ποιήσει (Fig. 5).

Εὐθεῖα γάρ τις ἡ ΑΒ ἐπ' εὐθεῖαν τὴν ΓΔ σταθεῖσα γωνίας ποιείτω τὰς ὑπὸ ΓΒΑ, ΑΒΔ· λέγω, ὅτι αἱ ὑπὸ ΓΒΑ, ΑΒΔ γωνίαι ἤτοι δύο ὀρθαί εἰσιν ἢ δυσὶν ὀρθαῖς ἴσαι.

Εἰ μὲν οὖν ἴση ἐστὶν ἡ ὑπὸ ΓΒΑ τῇ ὑπὸ ΑΒΔ, δύο ὀρθαί εἰσιν. εἰ δὲ οὔ, ἤχθω ἀπὸ τοῦ Β σημείου τῇ ΓΔ εὐθείᾳ πρὸς ὀρθὰς ἡ ΒΕ· αἱ ἄρα ὑπὸ ΓΒΕ, ΕΒΔ δύο ὀρθαί εἰσιν· καὶ ἐπεὶ ἡ ὑπὸ ΓΒΕ δυσὶ ταῖς ὑπὸ ΓΒΑ, ΑΒΕ ἴση ἐστίν, κοινὴ προσκείσθω ἡ ὑπὸ ΕΒΔ· αἱ ἄρα ὑπὸ ΓΒΕ, ΕΒΔ τρισὶ ταῖς ὑπὸ ΓΒΑ, ΑΒΕ, ΕΒΔ ἴσαι εἰσίν. πάλιν, ἐπεὶ ἡ ὑπὸ ΔΒΑ δυσὶ ταῖς ὑπὸ ΔΒΕ, ΕΒΑ ἴση ἐστίν, κοινὴ προσκείσθω ἡ ὑπὸ ΑΒΓ· αἱ ἄρα ὑπὸ ΔΒΑ, ΑΒΓ τρισὶ ταῖς ὑπὸ ΔΒΕ, ΕΒΑ, ΑΒΓ ἴσαι εἰσίν. ἐδείχθησαν δὲ καὶ αἱ ὑπὸ ΓΒΕ, ΕΒΔ τρισὶ ταῖς αὐταῖς ἴσαι· τὰ δὲ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα· καὶ αἱ ὑπὸ ΓΒΕ, ΕΒΔ ἄρα ταῖς ὑπὸ ΔΒΑ, ΑΒΓ ἴσαι εἰσίν· ἀλλὰ αἱ ὑπὸ ΓΒΕ, ΕΒΔ

---

5. *ἤτοι .. ἢ* entweder geradezu .. oder doch. — **12.** *Εἰ δὲ οὔ,* sc. *ἴσαι εἰσίν* = wenn sie aber ungleich sind. Weil *οὐ* und *ἴσαι* einen Begriff bilden, darum steht *οὐ* nach *εἰ*, nicht *μή*. — **12.** *Ἄγειν* = *ζευγνύναι* ziehen. — **13.** *Πρὸς ὀρθὰς* senkrecht.

δύο ὀρθαί εἰσιν· καὶ αἱ ὑπὸ ΔΒΑ, ΑΒΓ ἄρα δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.

Ἐὰν ἄρα εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα γωνίας ποιῇ, ἤτοι δύο ὀρθὰς ἢ δυσὶν ὀρθαῖς ἴσας ποιήσει· ὅπερ ἔδει δεῖξαι.

9. Scheitelwinkel. § 28.

Ἐὰν δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας, τὰς κατὰ κορυφὴν γωνίας ἴσας ἀλλήλαις ποιοῦσιν (Fig. 6).

Δύο γὰρ εὐθεῖαι αἱ ΑΒ, ΓΔ τεμνέτωσαν ἀλλήλας κατὰ τὸ Ε σημεῖον· λέγω, ὅτι ἴση ἐστὶν ἡ μὲν ὑπὸ ΑΕΓ γωνία τῇ ὑπὸ ΔΕΒ, ἡ δὲ ὑπὸ ΓΕΒ τῇ ὑπὸ ΑΕΔ.

Ἐπεὶ γὰρ εὐθεῖα ἡ ΑΕ ἐπ' εὐθεῖαν τὴν ΓΔ ἐφέστηκε γωνίας ποιοῦσα τὰς ὑπὸ ΓΕΑ, ΑΕΔ, αἱ ἄρα ὑπὸ ΓΕΑ, ΑΕΔ γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. πάλιν, ἐπεὶ εὐθεῖα ἡ ΔΕ ἐπ' εὐθεῖαν τὴν ΑΒ ἐφέστηκε γωνίας ποιοῦσα τὰς ὑπὸ ΑΕΔ, ΔΕΒ, αἱ ἄρα ὑπὸ ΑΕΔ, ΔΕΒ γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ἐδείχθησαν δὲ καὶ αἱ ὑπὸ ΓΕΑ, ΑΕΔ δυσὶν ὀρθαῖς ἴσαι· αἱ ἄρα ὑπὸ ΓΕΑ, ΑΕΔ ταῖς ὑπὸ ΑΕΔ, ΔΕΒ ἴσαι εἰσίν. κοινὴ ἀφῃρήσθω ἡ ὑπὸ ΑΕΔ· λοιπὴ ἄρα ἡ ὑπὸ ΓΕΑ λοιπῇ τῇ ὑπὸ ΔΕΒ ἴση ἐστίν· ὁμοίως δὴ δειχθήσεται, ὅτι καὶ αἱ ὑπὸ ΓΕΒ, ΔΕΑ ἴσαι εἰσίν.

Ἐὰν ἄρα δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας, τὰς κατὰ κορυφὴν γωνίας ἴσας ἀλλήλαις ποιοῦσιν· ὅπερ ἔδει δεῖξαι.

---

8. *Κορυφή* Scheitel. — **13.** *Ἐπ' εὐθεῖαν ἐφέστηκε* sich auf sie gestellt hat, sie trifft. — **13.** *Αἱ ὑπὸ ΓΕΑ, ΑΕΔ γωνίαι* = die Summe der Winkel. Bloſse Nebeneinanderstellung bezeichnet die Addition: Den Griechen fehlt das Plus-Zeichen.

§ 29. **10. Vorbereitender Satz vom Aufsenwinkel.**

Παντὸς τριγώνου μιᾶς τῶν πλευρῶν προσεκβληθείσης ἡ ἐκτὸς γωνία ἑκατέρας τῶν ἐντὸς καὶ ἀπεναντίον γωνιῶν μείζων ἐστίν (Fig. 7).

Ἔστω τρίγωνον τὸ ΑΒΓ, καὶ προσεκβεβλήσθω αὐτοῦ μία πλευρὰ ἡ ΒΓ ἐπὶ τὸ Δ· λέγω, ὅτι ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΑΓΔ μείζων ἐστὶν ἑκατέρας τῶν ἐντὸς καὶ ἀπεναντίον τῶν ὑπὸ ΓΒΑ, ΒΑΓ γωνιῶν.

Τετμήσθω ἡ ΑΓ δίχα κατὰ τὸ Ε, καὶ ἐπιζευχθεῖσα ἡ ΒΕ ἐκβεβλήσθω ἐπ' εὐθείας ἐπὶ τὸ Ζ, καὶ κείσθω τῇ ΒΕ ἴση ἡ ΕΖ, καὶ ἐπεζεύχθω ἡ ΖΓ, καὶ διήχθω ἡ ΑΓ ἐπὶ τὸ Η.

Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν ΑΕ τῇ ΕΓ, ἡ δὲ ΒΕ τῇ ΕΖ, δύο δὴ αἱ ΑΕ, ΕΒ δυσὶ ταῖς ΓΕ, ΕΖ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ ΑΕΒ γωνίᾳ τῇ ὑπὸ ΖΕΓ ἴση ἐστίν· κατὰ κορυφὴν γάρ· βάσις ἄρα ἡ ΑΒ βάσει τῇ ΖΓ ἴση ἐστίν, καὶ τὸ ΑΒΕ τρίγωνον τῷ ΖΕΓ τριγώνῳ ἐστὶν ἴσον, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΒΑΕ τῇ ὑπὸ ΕΓΖ. μείζων δέ ἐστιν ἡ ὑπὸ ΕΓΔ τῆς ὑπὸ ΕΓΖ· μείζων ἄρα ἡ ὑπὸ ΑΓΔ καὶ τῆς ὑπὸ ΒΑΕ. Ὁμοίως δὴ τῆς

---

3. *Ἡ ἐκτὸς γωνία* der Aufsenwinkel. — **4.** *Τῶν ἐντὸς καὶ ἀπεναντίον γωνιῶν* der gegenüberliegenden Innenwinkel. — **9.** *Τέμνειν δίχα* halbieren. — **13.** Der Beweis erscheint uns umständlich: Es fehlt bis hierher noch die Lehre von den Parallelen (§ 32) und der Satz von den drei Winkeln des Dreiecks (§ 35).

ΒΓ τετμημένης δίχα δειχθήσεται καὶ ἡ ὑπὸ ΒΓΗ, τουτέστιν ἡ ὑπὸ ΑΓΔ, μείζων καὶ τῆς ὑπὸ ΑΒΓ.

Παντὸς ἄρα τριγώνου μιᾶς τῶν πλευρῶν προσεκβληθείσης ἡ ἐκτὸς γωνία ἑκατέρας τῶν ἐντὸς καὶ ἀπεναντίον γωνιῶν μείζων ἐστίν· ὅπερ ἔδει δεῖξαι.

11. Vorbereitender Satz von den Dreieckswinkeln. § 30.

Παντὸς τριγώνου αἱ δύο γωνίαι δύο ὀρθῶν ἐλάσσονές εἰσι πάντῃ μεταλαμβανόμεναι (Fig. 8).

Ἔστω τρίγωνον τὸ ΑΒΓ· λέγω, ὅτι τοῦ ΑΒΓ τριγώνου αἱ δύο γωνίαι δύο ὀρθῶν ἐλάσσονές εἰσι πάντῃ μεταλαμβανόμεναι.

Ἐκβεβλήσθω γὰρ ἡ ΒΓ ἐπὶ τὸ Δ.

Καὶ ἐπεὶ τριγώνου τοῦ ΑΒΓ ἐκτός ἐστι γωνία ἡ ὑπὸ ΑΓΔ, μείζων ἐστὶ τῆς ἐντὸς καὶ ἀπεναντίον τῆς ὑπὸ ΑΒΓ. κοινὴ προσκείσθω ἡ ὑπὸ ΑΓΒ· αἱ ἄρα ὑπὸ ΑΓΔ, ΑΓΒ τῶν ὑπὸ ΑΒΓ, ΑΓΒ μείζονές εἰσιν. ἀλλ' αἱ ὑπὸ ΑΓΔ, ΑΓΒ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· αἱ ἄρα ὑπὸ ΑΒΓ, ΑΓΒ δύο ὀρθῶν ἐλάσσονές εἰσιν. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ αἱ ὑπὸ ΒΑΓ, ΑΓΒ δύο ὀρθῶν ἐλάσσονές εἰσι καὶ ἔτι αἱ ὑπὸ ΓΑΒ, ΑΒΓ.

Παντὸς ἄρα τριγώνου αἱ δύο γωνίαι δύο ὀρθῶν ἐλάσσονές εἰσι πάντῃ μεταλαμβανόμεναι· ὅπερ ἔδει δεῖξαι.

---

11. *Πάντῃ μεταλαμβανόμεναι* beliebig zusammengenommen = welche beiden man auch zusammen auswählt.

§ 31. **12. Zweiter Kongruenzsatz.**

Ἐὰν δύο τρίγωνα τὰς δύο γωνίας δυσὶ γωνίαις ἴσας ἔχῃ ἑκατέραν ἑκατέρᾳ καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην ἤτοι τὴν πρὸς ταῖς ἴσαις γωνίαις ἢ τὴν ὑποτείνουσαν ὑπὸ μίαν τῶν ἴσων γωνιῶν, καὶ τὰς λοιπὰς πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει ἑκατέραν ἑκατέρᾳ καὶ τὴν λοιπὴν γωνίαν τῇ λοιπῇ γωνίᾳ (Fig. 9).

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ τὰς δύο γωνίας τὰς ὑπὸ ΑΒΓ, ΒΓΑ δυσὶ ταῖς ὑπὸ ΔΕΖ, ΕΖΔ ἴσας ἔχοντα ἑκατέραν ἑκατέρᾳ, τὴν μὲν ὑπὸ ΑΒΓ τῇ ὑπὸ ΔΕΖ, τὴν δὲ ὑπὸ ΒΓΑ τῇ ὑπὸ ΕΖΔ· ἐχέτω δὲ καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην, πρότερον τὴν πρὸς ταῖς ἴσαις γωνίαις τὴν ΒΓ τῇ ΕΖ· λέγω, ὅτι καὶ τὰς λοιπὰς πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει ἑκατέραν ἑκατέρᾳ, τὴν μὲν ΑΒ τῇ ΔΕ, τὴν δὲ ΑΓ τῇ ΔΖ, καὶ τὴν λοιπὴν γωνίαν τῇ λοιπῇ γωνίᾳ, τὴν ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΕΔΖ.

Εἰ γὰρ ἄνισός ἐστιν ἡ ΑΒ τῇ ΔΕ, μία αὐτῶν μείζων ἐστίν. ἔστω μείζων ἡ ΑΒ, καὶ κείσθω τῇ ΔΕ ἴση ἡ ΒΗ, καὶ ἐπεζεύχθω ἡ ΗΓ.

Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν ΒΗ τῇ ΔΕ, ἡ δὲ ΒΓ τῇ ΕΖ, δύο δὴ αἱ ΒΗ, ΒΓ δυσὶ ταῖς ΔΕ, ΕΖ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ ΗΒΓ γωνίᾳ τῇ ὑπὸ ΔΕΖ ἴση ἐστίν· βάσις ἄρα ἡ ΗΓ βάσει τῇ ΔΖ ἴση

---

9. Der Beweis ist umständlich, weil der Satz von den drei Innenwinkeln des Dreiecks (§ 35) noch nicht da war.

ἐστίν, καὶ τὸ ΗΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ ἴσον ἐστίν, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἡ ὑπὸ ΗΓΒ γωνία τῇ ὑπὸ ΔΖΕ. ἀλλὰ ἡ ὑπὸ ΔΖΕ τῇ ὑπὸ ΒΓΑ ὑπόκειται ἴση· καὶ ἡ ὑπὸ ΒΓΗ ἄρα τῇ ὑπὸ ΒΓΑ ἴση ἐστίν, ἡ ἐλάσσων τῇ μείζονι· ὅπερ ἀδύνατον. οὐκ ἄρα ἄνισός ἐστιν ἡ ΑΒ τῇ ΔΕ. ἴση ἄρα. ἔστι δὲ καὶ ἡ ΒΓ τῇ ΕΖ ἴση· δύο δὴ αἱ ΑΒ, ΒΓ δυσὶ ταῖς ΔΕ, ΕΖ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ ΑΒΓ γωνίᾳ τῇ ὑπὸ ΔΕΖ ἐστιν ἴση· βάσις ἄρα ἡ ΑΓ βάσει τῇ ΔΖ ἴση ἐστίν, καὶ λοιπὴ γωνία ἡ ὑπὸ ΒΑΓ τῇ λοιπῇ γωνίᾳ τῇ ὑπὸ ΕΔΖ ἴση ἐστίν.

Ἀλλὰ δὴ πάλιν ἔστωσαν αἱ ὑπὸ τὰς ἴσας γωνίας πλευραὶ ὑποτείνουσαι ἴσαι, ὡς ἡ ΑΒ τῇ ΔΕ· λέγω πάλιν, ὅτι καὶ αἱ λοιπαὶ πλευραὶ ταῖς λοιπαῖς πλευραῖς ἴσαι ἔσονται, ἡ μὲν ΑΓ τῇ ΔΖ, ἡ δὲ ΒΓ τῇ ΕΖ, καὶ ἔτι ἡ λοιπὴ γωνία ἡ ὑπὸ ΒΑΓ τῇ λοιπῇ γωνίᾳ τῇ ὑπὸ ΕΔΖ ἴση ἐστίν.

Εἰ γὰρ ἄνισός ἐστιν ἡ ΒΓ τῇ ΕΖ, μία αὐτῶν μείζων ἐστίν. ἔστω μείζων, εἰ δυνατόν, ἡ ΒΓ, καὶ κείσθω τῇ ΕΖ ἴση ἡ ΒΘ, καὶ ἐπεζεύχθω ἡ ΑΘ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΒΘ τῇ ΕΖ, ἡ δὲ ΑΒ τῇ ΔΕ, δύο δὴ αἱ ΑΒ, ΒΘ δυσὶ ταῖς ΔΕ, ΕΖ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ γωνίας ἴσας περιέχουσιν· βάσις ἄρα ἡ ΑΘ βάσει τῇ ΔΖ ἴση ἐστίν, καὶ τὸ ΑΒΘ τρίγωνον τῷ ΔΕΖ τρι-

5. Ὑπόκειται ist vorausgesetzt. — **14.** ὡς (wie) z. B.

γώνῳ ἴσον ἐστίν, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται, ὑφ᾽ ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΒΘΑ γωνία τῇ ὑπὸ ΕΖΔ. ἀλλὰ ἡ ὑπὸ ΕΖΔ τῇ ὑπὸ ΒΓΑ ἐστὶν ἴση· τριγώνου δὴ τοῦ ΑΘΓ ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΒΘΑ ἴση ἐστὶ τῇ ἐντὸς καὶ ἀπεναντίον τῇ ὑπὸ ΒΓΑ· ὅπερ ἀδύνατον. οὐκ ἄρα ἄνισός ἐστιν ἡ ΒΓ τῇ ΕΖ· ἴση ἄρα. ἐστὶ δὲ καὶ ἡ ΑΒ τῇ ΔΕ ἴση. δύο δὴ αἱ ΑΒ, ΒΓ δυσὶ ταῖς ΔΕ, ΕΖ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ γωνίας ἴσας περιέχουσι· βάσις ἄρα ἡ ΑΓ βάσει τῇ ΔΖ ἴση ἐστίν, καὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ ἴσον καὶ λοιπὴ γωνία ἡ ὑπὸ ΒΑΓ τῇ λοιπῇ γωνίᾳ τῇ ὑπὸ ΕΔΖ ἴση.

Ἐὰν ἄρα δύο τρίγωνα τὰς δύο γωνίας δυσὶ γωνίαις ἴσας ἔχῃ ἑκατέραν ἑκατέρᾳ καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην ἤτοι τὴν πρὸς ταῖς ἴσαις γωνίαις, ἢ τὴν ὑποτείνουσαν ὑπὸ μίαν τῶν ἴσων γωνιῶν, καὶ τὰς λοιπὰς πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει καὶ τὴν λοιπὴν γωνίαν τῇ λοιπῇ γωνίᾳ· ὅπερ ἔδει δεῖξαι.

IV. Parallele Linien und Parallelogramme.

13. Winkel bei geschnittenen Parallelen.

§ 32. **A.**

Ἐὰν εἰς δύο εὐθείας εὐθεῖα ἐμπίπτουσα τὰς ἐναλλὰξ γωνίας ἴσας ἀλλήλαις ποιῇ, παράλληλοι ἔσονται ἀλλήλαις αἱ εὐθεῖαι (Fig. 10).

---

22. *Ἐμπίπτειν εἰς* fallen auf, treffen, schneiden. — **23.** *Αἱ ἐναλλὰξ γωνίαι* Wechselwinkel. Schon die Ilias (Ν 359) kennt wenigstens die Form *ἐπαλλάξαντες* = abwechselnd.

Εἰς γὰρ δύο εὐθείας τὰς ΑΒ, ΓΔ εὐθεῖα ἐμπίπτουσα ἡ ΕΖ τὰς ἐναλλὰξ γωνίας τὰς ὑπὸ ΑΕΖ, ΕΖΔ ἴσας ἀλλήλαις ποιείτω· λέγω, ὅτι παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΓΔ.

Εἰ γὰρ μή, ἐκβαλλόμεναι αἱ ΑΒ, ΓΔ συμπεσοῦνται ἤτοι ἐπὶ τὰ Β, Δ μέρη ἢ ἐπὶ τὰ Α, Γ. ἐκβεβλήσθωσαν καὶ συμπιπτέτωσαν ἐπὶ τὰ Β, Δ μέρη κατὰ τὸ Η. τριγώνου δὴ τοῦ ΗΕΖ ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΑΕΖ ἴση ἐστὶ τῇ ἐντὸς καὶ ἀπεναντίον τῇ ὑπὸ ΕΖΗ· ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα αἱ ΑΒ, ΓΔ ἐκβαλλόμεναι συμπεσοῦνται ἐπὶ τὰ Β, Δ μέρη. ὁμοίως δὴ δειχθήσεται, ὅτι οὐδὲ ἐπὶ τὰ Α, Γ· αἱ δὲ ἐπὶ μηδέτερα τὰ μέρη συμπίπτουσαι παράλληλοί εἰσιν· παράλληλος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΓΔ.

Ἐὰν ἄρα εἰς δύο εὐθείας εὐθεῖα ἐμπίπτουσα τὰς ἐναλλὰξ γωνίας ἴσας ἀλλήλαις ποιῇ, παράλληλοι ἔσονται αἱ εὐθεῖαι· ὅπερ ἔδει δεῖξαι.

B. **§ 33.**

Ἐὰν εἰς δύο εὐθείας εὐθεῖα ἐμπίπτουσα τὴν ἐκτὸς γωνίαν τῇ ἐντὸς καὶ ἀπεναντίον καὶ ἐπὶ τὰ αὐτὰ μέρη ἴσην ποιῇ ἢ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη δυσὶν ὀρθαῖς ἴσας, παράλληλοι ἔσονται ἀλλήλαις αἱ εὐθεῖαι (Fig. 11).

Εἰς γὰρ δύο εὐθείας τὰς ΑΒ, ΓΔ εὐθεῖα ἐμπίπτουσα ἡ ΕΖ τὴν ἐκτὸς γωνίαν τὴν ὑπὸ ΕΗΒ τῇ ἐντὸς

---

20. *Τὴν ἐκτὸς γωνίαν τῇ ἐντὸς καὶ ἀπεναντίον καὶ ἐπὶ τὰ αὐτὰ μέρη* Gegenwinkel. — **21.** *Τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη* entgegengesetzte Winkel.

καὶ ἀπεναντίον γωνίᾳ τῇ ὑπὸ ΗΘΔ ἴσην ποιείτω ἢ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη τὰς ὑπὸ ΒΗΘ, ΗΘΔ δυσὶν ὀρθαῖς ἴσας· λέγω, ὅτι παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΓΔ.

Ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ὑπὸ ΕΗΒ τῇ ὑπὸ ΗΘΔ, ἀλλὰ ἡ ὑπὸ ΕΗΒ τῇ ὑπὸ ΑΗΘ ἐστιν ἴση, καὶ ἡ ὑπὸ ΑΗΘ ἄρα τῇ ὑπὸ ΗΘΔ ἐστιν ἴση· καί εἰσιν ἐναλλάξ· παράλληλος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΓΔ.

Πάλιν, ἐπεὶ αἱ ὑπὸ ΒΗΘ, ΗΘΔ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, εἰσὶ δὲ καὶ αἱ ὑπὸ ΑΗΘ, ΒΗΘ δυσὶν ὀρθαῖς ἴσαι, αἱ ἄρα ὑπὸ ΑΗΘ, ΒΗΘ ταῖς ὑπὸ ΒΗΘ, ΗΘΔ ἴσαι εἰσίν· κοινὴ ἀφῃρήσθω ἡ ὑπὸ ΒΗΘ· λοιπὴ ἄρα ἡ ὑπὸ ΑΗΘ λοιπῇ τῇ ὑπὸ ΗΘΔ ἐστὶν ἴση· καί εἰσιν ἐναλλάξ· παράλληλος ἄρα ἐστὶν ἡ ΑΒ τῇ ΓΔ.

Ἐὰν ἄρα εἰς δύο εὐθείας εὐθεῖα ἐμπίπτουσα τὴν ἐκτὸς γωνίαν τῇ ἐντὸς καὶ ἀπεναντίον καὶ ἐπὶ τὰ αὐτὰ μέρη ἴσην ποιῇ ἢ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη δυσὶν ὀρθαῖς ἴσας, παράλληλοι ἔσονται αἱ εὐθεῖαι· ὅπερ ἔδει δεῖξαι.

§ 34. C.

Ἡ εἰς τὰς παραλλήλους εὐθείας εὐθεῖα ἐμπίπτουσα τάς τε ἐναλλὰξ γωνίας ἴσας ἀλλήλαις ποιεῖ καὶ τὴν ἐκτὸς τῇ ἐντὸς καὶ ἀπεναντίον ἴσην καὶ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη δυσὶν ὀρθαῖς ἴσας (Fig. 11).

Εἰς γὰρ παραλλήλους εὐθείας τὰς ΑΒ, ΓΔ εὐθεῖα ἐμπιπτέτω ἡ ΕΖ· λέγω, ὅτι τὰς ἐναλλὰξ γωνίας τὰς ὑπὸ

---

21. Ἐμπίπτουσα steht prädikativ. Wir: Wenn ... schneidet.

ΑΗΘ, ΗΘΔ ἴσας ποιεῖ καὶ τὴν ἐκτὸς γωνίαν τὴν ὑπὸ ΕΗΒ τῇ ἐντὸς καὶ ἀπεναντίον τῇ ὑπὸ ΗΘΔ ἴσην καὶ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη τὰς ὑπὸ ΒΗΘ, ΗΘΔ δυσὶν ὀρθαῖς ἴσας.

Εἰ γὰρ ἄνισός ἐστιν ἡ ὑπὸ ΑΗΘ τῇ ὑπὸ ΗΘΔ, μία αὐτῶν μείζων ἐστίν. ἔστω μείζων ἡ ὑπὸ ΑΗΘ· κοινὴ προσκείσθω ἡ ὑπὸ ΒΗΘ· αἱ ἄρα ὑπὸ ΑΗΘ, ΒΗΘ τῶν ὑπὸ ΒΗΘ, ΗΘΔ μείζονές εἰσιν. ἀλλὰ αἱ ὑπὸ ΑΗΘ, ΒΗΘ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. καὶ αἱ ἄρα ὑπὸ ΒΗΘ, ΗΘΔ δύο ὀρθῶν ἐλάσσονές εἰσιν. αἱ δὲ ἀπ' ἐλασσόνων ἢ δύο ὀρθῶν ἐκβαλλόμεναι εἰς ἄπειρον συμπίπτουσιν· αἱ ἄρα ΑΒ, ΓΔ ἐκβαλλόμεναι εἰς ἄπειρον συμπεσοῦνται· οὐ συμπίπτουσι δὲ διὰ τὸ παραλλήλους αὐτὰς ὑποκεῖσθαι· οὐκ ἄρα ἄνισός ἐστιν ἡ ὑπὸ ΑΗΘ τῇ ὑπὸ ΗΘΔ· ἴση ἄρα. ἀλλὰ ἡ ὑπὸ ΑΗΘ τῇ ὑπὸ ΕΗΒ ἐστιν ἴση· καὶ ἡ ὑπὸ ΕΗΒ ἄρα τῇ ὑπὸ ΗΘΔ ἐστιν ἴση. κοινὴ προσκείσθω ἡ ὑπὸ ΒΗΘ· αἱ ἄρα ὑπὸ ΕΗΒ, ΒΗΘ ταῖς ὑπὸ ΒΗΘ, ΗΘΔ ἴσαι εἰσίν. ἀλλὰ αἱ ὑπὸ ΕΗΒ, ΒΗΘ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· καὶ αἱ ὑπὸ ΒΗΘ, ΗΘΔ ἄρα δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.

Ἡ ἄρα εἰς τὰς παραλλήλους εὐθείας εὐθεῖα ἐμπίπτουσα τάς τε ἐναλλὰξ γωνίας ἴσας ἀλλήλαις ποιεῖ καὶ τὴν ἐκτὸς τῇ ἐντὸς καὶ ἀπεναντίον ἴσην καὶ τὰς ἐντὸς καὶ ἐπὶ τὰ αὐτὰ μέρη δυσὶν ὀρθαῖς ἴσας· ὅπερ ἔδει δεῖξαι.

§ 35. **14. Aufsen- und Innen-Winkel des Dreiecks.**

Παντὸς τριγώνου μιᾶς τῶν πλευρῶν προσεκβληθείσης ἡ ἐκτὸς γωνία δυσὶ ταῖς ἐντὸς καὶ ἀπεναντίον ἴση ἐστίν, καὶ αἱ ἐντὸς τοῦ τριγώνου τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν (Fig. 12).

Ἔστω τρίγωνον τὸ ΑΒΓ, καὶ προσεκβεβλήσθω αὐτοῦ μία πλευρὰ ἡ ΒΓ ἐπὶ τὸ Δ· λέγω, ὅτι ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΑΓΔ ἴση ἐστὶ δυσὶ ταῖς ἐντὸς καὶ ἀπεναντίον ταῖς ὑπὸ ΓΑΒ, ΑΒΓ, καὶ αἱ ἐντὸς τοῦ τριγώνου τρεῖς γωνίαι αἱ ὑπὸ ΑΒΓ, ΒΓΑ, ΓΑΒ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.

Ἤχθω γὰρ διὰ τοῦ Γ σημείου τῇ ΑΒ εὐθείᾳ παράλληλος ἡ ΓΕ.

Καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΓΕ, καὶ εἰς αὐτὰς ἐμπέπτωκεν ἡ ΑΓ, αἱ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ ΒΑΓ, ΑΓΕ ἴσαι ἀλλήλαις εἰσίν. πάλιν, ἐπεὶ παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΓΕ, καὶ εἰς αὐτὰς ἐμπέπτωκεν εὐθεῖα ἡ ΒΔ, ἡ ἐκτὸς γωνία ἡ ὑπὸ ΕΓΔ ἴση ἐστὶ τῇ ἐντὸς καὶ ἀπεναντίον τῇ ὑπὸ ΑΒΓ. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ΑΓΕ τῇ ὑπὸ ΒΑΓ ἴση· ὅλη ἄρα ἡ ὑπὸ ΑΓΔ γωνία ἴση ἐστὶ δυσὶ ταῖς ἐντὸς καὶ ἀπεναντίον ταῖς ὑπὸ ΒΑΓ, ΑΒΓ.

Κοινὴ προσκείσθω ἡ ὑπὸ ΑΓΒ· αἱ ἄρα ὑπὸ ΑΓΔ, ΑΓΒ τρισὶ ταῖς ὑπὸ ΑΒΓ, ΒΓΑ, ΓΑΒ ἴσαι εἰσίν. ἀλλ' αἱ ὑπὸ ΑΓΔ, ΑΓΒ δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· καὶ αἱ ὑπὸ ΑΓΒ, ΓΒΑ, ΓΑΒ ἄρα δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.

Παντὸς ἄρα τριγώνου μιᾶς τῶν πλευρῶν προσεκβληθείσης ἡ ἐκτὸς γωνία δυσὶ ταῖς ἐντὸς καὶ ἀπεναν-

τίον ἴση ἐστίν, καὶ αἱ ἐντὸς τοῦ τριγώνου τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· ὅπερ ἔδει δεῖξαι.

15. Merkmal des Parallelogramms. § 36.

Αἱ τὰς ἴσας τε καὶ παραλλήλους ἐπὶ τὰ αὐτὰ μέρη ἐπιζευγνύουσαι εὐθεῖαι καὶ αὐταὶ ἴσαι τε καὶ παράλληλοί εἰσιν (Fig. 13).

Ἔστωσαν ἴσαι τε καὶ παράλληλοι αἱ ΑΒ, ΓΔ, καὶ ἐπιζευγνύτωσαν αὐτὰς ἐπὶ τὰ αὐτὰ μέρη εὐθεῖαι αἱ ΑΓ, ΒΔ· λέγω, ὅτι καὶ αἱ ΑΓ, ΒΔ ἴσαι τε καὶ παράλληλοί εἰσιν.

Ἐπεζεύχθω ἡ ΒΓ. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΓΔ, καὶ εἰς αὐτὰς ἐμπέπτωκεν ἡ ΒΓ, αἱ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ ΑΒΓ, ΒΓΔ ἴσαι ἀλλήλαις εἰσίν. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒ τῇ ΓΔ, κοινὴ δὲ ἡ ΒΓ, δύο δὴ αἱ ΑΒ, ΒΓ δυσὶ ταῖς ΒΓ, ΓΔ ἴσαι εἰσίν· καὶ γωνία ἡ ὑπὸ ΑΒΓ γωνίᾳ τῇ ὑπὸ ΒΓΔ ἴση· βάσις ἄρα ἡ ΑΓ βάσει τῇ ΒΔ ἐστιν ἴση, καὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΒΓΔ τριγώνῳ ἴσον ἐστίν, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται ἑκατέρα ἑκατέρᾳ, ὑφ᾽ ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἡ ὑπὸ ΑΓΒ γωνία τῇ ὑπὸ ΓΒΔ. καὶ ἐπεὶ εἰς δύο εὐθείας τὰς ΑΓ, ΒΔ εὐθεῖα ἐμπίπτουσα ἡ ΒΓ τὰς ἐναλλὰξ γωνίας ἴσας ἀλλήλαις πεποίηκεν, παράλληλος ἄρα ἐστὶν ἡ ΑΓ τῇ ΒΔ. ἐδείχθη δὲ αὐτῇ καὶ ἴση.

---

4. Wir: Ein Viereck ist ein Parallelogramm, wenn es zwei gleiche parallele Seiten hat. Hier fehlt die Einführung des Wortes ‚Parallelogramm' (§ 2b). — **5.** *Ἐπιζευγνύναι* verbinden. — **5.** *Ἐπὶ τὰ αὐτὰ μέρη*, also nicht etwa *ΑΔ* und *ΒΓ*.

Αἱ ἄρα τὰς ἴσας τε καὶ παραλλήλους ἐπὶ τὰ αὐτὰ μέρη ἐπιζευγνύουσαι εὐθεῖαι καὶ αὐταὶ ἴσαι τε καὶ παράλληλοί εἰσιν· ὅπερ ἔδει δεῖξαι.

§ 37. **16. Winkel, Seiten, Diagonale des Parallelogramms.**

Τῶν παραλληλογράμμων χωρίων αἱ ἀπεναντίον πλευραί τε καὶ γωνίαι ἴσαι ἀλλήλαις εἰσίν, καὶ ἡ διάμετρος αὐτὰ δίχα τέμνει (Fig. 13).

Ἔστω παραλληλόγραμμον χωρίον τὸ ΑΓΔΒ, διάμετρος δὲ αὐτοῦ ἡ ΒΓ· λέγω, ὅτι τοῦ ΑΓΔΒ παραλληλογράμμου αἱ ἀπεναντίον πλευραί τε καὶ γωνίαι ἴσαι ἀλλήλαις εἰσίν, καὶ ἡ ΒΓ διάμετρος αὐτὸ δίχα τέμνει.

Ἐπεὶ γὰρ παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΓΔ, καὶ εἰς αὐτὰς ἐμπέπτωκεν εὐθεῖα ἡ ΒΓ, αἱ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ ΑΒΓ, ΒΓΔ ἴσαι ἀλλήλαις εἰσίν. πάλιν ἐπεὶ παράλληλός ἐστιν ἡ ΑΓ τῇ ΒΔ, καὶ εἰς αὐτὰς ἐμπέπτωκεν ἡ ΒΓ, αἱ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ ΑΓΒ, ΓΒΔ ἴσαι ἀλλήλαις εἰσίν. δύο δὴ τρίγωνά ἐστι τὰ ΑΒΓ, ΒΓΔ τὰς δύο γωνίας τὰς ὑπὸ ΑΒΓ, ΒΓΑ δυσὶ ταῖς ὑπὸ ΒΓΔ, ΓΒΔ ἴσας ἔχοντα ἑκατέραν ἑκατέρᾳ καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην τὴν πρὸς ταῖς ἴσαις γωνίαις κοινὴν αὐτῶν τὴν ΒΓ· καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς ἴσας ἕξει ἑκατέραν ἑκατέρᾳ καὶ τὴν λοιπὴν γωνίαν τῇ λοιπῇ γωνίᾳ· ἴση ἄρα ἡ μὲν ΑΒ πλευρὰ τῇ ΓΔ, ἡ δὲ ΑΓ τῇ ΒΔ, καὶ ἔτι ἴση ἐστὶν ἡ ὑπὸ ΒΑΓ γωνία τῇ ὑπὸ ΓΔΒ. καὶ ἐπεὶ

---

7. *Διάμετρος* Diagonale. Der Ausdruck *διαγώνιος* (von Winkel zu Winkel laufend), wovon das lateinische Adjektiv *diagonalis* kommt, ist nacheuclidisch.

ἐστὶν ἡ μὲν ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΒΓΔ, ἡ δὲ ὑπὸ ΓΒΔ τῇ ὑπὸ ΑΓΒ, ὅλη ἄρα ἡ ὑπὸ ΑΒΔ ὅλῃ τῇ ὑπὸ ΑΓΔ ἐστιν ἴση. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΓΔΒ ἴση.

Τῶν ἄρα παραλληλογράμμων χωρίων αἱ ἀπεναντίον πλευραί τε καὶ γωνίαι ἴσαι ἀλλήλαις εἰσίν.

Λέγω δή, ὅτι καὶ ἡ διάμετρος αὐτὰ δίχα τέμνει. ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ΑΒ τῇ ΓΔ, κοινὴ δὲ ἡ ΒΓ, δύο δὴ αἱ ΑΒ, ΒΓ δυσὶ ταῖς ΓΔ, ΒΓ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ ΑΒΓ γωνίᾳ τῇ ὑπὸ ΒΓΔ ἴση. καὶ βάσις ἄρα ἡ ΑΓ τῇ ΔΒ ἴση. καὶ τὸ ΑΒΓ ἄρα τρίγωνον τῷ ΒΓΔ τριγώνῳ ἴσον ἐστίν.

Ἡ ἄρα ΒΓ διάμετρος δίχα τέμνει τὸ ΑΒΓΔ παραλληλόγραμμον· ὅπερ ἔδει δεῖξαι.

17. Parallelogramme mit derselben Basis und Höhe. § 38.

Τὰ παραλληλόγραμμα τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἴσα ἀλλήλοις ἐστίν (Fig. 14).

Ἔστω παραλληλόγραμμα τὰ ΑΒΓΔ, ΕΒΓΖ ἐπὶ τῆς αὐτῆς βάσεως τῆς ΒΓ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΑΖ, ΒΓ· λέγω, ὅτι ἴσον ἐστὶ τὸ ΑΒΓΔ τῷ ΕΒΓΖ παραλληλογράμμῳ.

Ἐπεὶ γὰρ παραλληλόγραμμόν ἐστι τὸ ΑΒΓΔ, ἴση ἐστὶν ἡ ΑΔ τῇ ΒΓ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΕΖ τῇ ΒΓ

---

17. *Ἐν ταῖς αὐταῖς παραλλήλοις* zwischen denselben Parallelen. Wir: von gleicher Höhe.

ἐστιν ἴση· ὥστε καὶ ἡ ΑΔ τῇ ΕΖ ἐστιν ἴση· καὶ κοινὴ ἡ ΔΕ· ὅλη ἄρα ἡ ΑΕ ὅλῃ τῇ ΔΖ ἐστιν ἴση. ἔστι δὲ καὶ ἡ ΑΒ τῇ ΔΓ ἴση. δύο δὴ αἱ ΑΕ, ΑΒ δυσὶ ταῖς ΔΖ, ΔΓ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ ΖΔΓ γωνίᾳ τῇ ὑπὸ ΕΑΒ ἐστιν ἴση ἡ ἐκτὸς τῇ ἐντός· βάσις ἄρα ἡ ΕΒ βάσει τῇ ΖΓ ἴση ἐστίν, καὶ τὸ ΕΑΒ τρίγωνον τῷ ΖΔΓ τριγώνῳ ἴσον ἔσται· κοινὸν ἀφῃρήσθω τὸ ΔΗΕ· λοιπὸν ἄρα τὸ ΑΒΗΔ τραπέζιον λοιπῷ τῷ ΕΗΓΖ τραπεζίῳ ἐστὶν ἴσον· κοινὸν προσκείσθω τὸ ΗΒΓ τρίγωνον· ὅλον ἄρα τὸ ΑΒΓΔ παραλληλόγραμμον ὅλῳ τῷ ΕΒΓΖ παραλληλογράμμῳ ἴσον ἐστίν.

Τὰ ἄρα παραλληλόγραμμα τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἴσα ἀλλήλοις ἐστίν· ὅπερ ἔδει δεῖξαι.

§ 39. **18. Parallelogramme mit gleicher Basis und Höhe.**

Τὰ παραλληλόγραμμα τὰ ἐπὶ ἴσων βάσεων ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἴσα ἀλλήλοις ἐστίν (Fig. 15).

Ἔστω παραλληλόγραμμα τὰ ΑΒΓΔ, ΕΖΗΘ ἐπὶ ἴσων βάσεων ὄντα τῶν ΒΓ, ΖΗ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΑΘ, ΒΗ· λέγω, ὅτι ἴσον ἐστὶ τὸ ΑΒΓΔ παραλληλόγραμμον τῷ ΕΖΗΘ.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΒΕ, ΓΘ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΓ τῇ ΖΗ, ἀλλὰ ἡ ΖΗ τῇ ΕΘ ἐστιν ἴση, καὶ ἡ ΒΓ ἄρα τῇ ΕΘ ἐστιν ἴση. εἰσὶ δὲ καὶ παράλληλοι. καὶ

---

8. *Τραπέζιον* § 17 ι.

ἐπιζευγνύουσιν αὐτὰς αἱ ΕΒ, ΘΓ· αἱ δὲ τὰς ἴσας τε καὶ παραλλήλους ἐπὶ τὰ αὐτὰ μέρη ἐπιζευγνύουσαι ἴσαι τε καὶ παράλληλοί εἰσι· καὶ αἱ ΕΒ, ΘΓ ἄρα ἴσαι τέ εἰσι καὶ παράλληλοι. παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΕΒΓΘ. καί ἐστιν ἴσον τῷ ΑΒΓΔ· βάσιν τε γὰρ αὐτῷ τὴν αὐτὴν ἔχει τὴν ΒΓ, καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστὶν αὐτῷ ταῖς ΒΓ, ΑΘ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΕΖΗΘ τῷ αὐτῷ τῷ ΕΒΓΘ ἐστιν ἴσον· ὥστε καὶ τὸ ΑΒΓΔ παραλληλόγραμμον τῷ ΕΖΗΘ ἐστιν ἴσον.

Τὰ ἄρα παραλληλόγραμμα τὰ ἐπὶ ἴσων βάσεων ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἴσα ἀλλήλοις ἐστίν· ὅπερ ἔδει δεῖξαι.

19. Dreiecke mit derselben Basis und Höhe. § 40.

Τὰ τρίγωνα τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα, καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἴσα ἀλλήλοις ἐστίν (Fig. 16).

Ἔστω τρίγωνα τὰ ΑΒΓ, ΔΒΓ ἐπὶ τῆς αὐτῆς βάσεως τῆς ΒΓ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΑΔ, ΒΓ· λέγω, ὅτι ἴσον ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΒΓ τριγώνῳ.

Ἐκβεβλήσθω ἡ ΑΔ ἐφ' ἑκάτερα τὰ μέρη ἐπὶ τὰ Ε, Ζ, καὶ διὰ μὲν τοῦ Β τῇ ΓΑ παράλληλος ἤχθω ἡ ΒΕ, διὰ δὲ τοῦ Γ τῇ ΒΔ παράλληλος ἤχθω ἡ ΓΖ. παραλληλόγραμμον ἄρα ἐστὶν ἑκάτερον τῶν ΕΒΓΑ, ΔΒΓΖ· καί εἰσιν ἴσα· ἐπί τε γὰρ τῆς αὐτῆς βάσεώς εἰσι τῆς ΒΓ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΒΓ, ΕΖ· καί ἐστι τοῦ μὲν

ΕΒΓΑ παραλληλογράμμου ἥμισυ τὸ ΑΒΓ τρίγωνον· ἡ γὰρ ΑΒ διάμετρος αὐτὸ δίχα τέμνει· τοῦ δὲ ΔΒΓΖ παραλληλογράμμου ἥμισυ τὸ ΔΒΓ τρίγωνον· ἡ γὰρ ΔΓ διάμετρος αὐτὸ δίχα τέμνει. τὰ δὲ τῶν ἴσων ἡμίση ἴσα ἀλλήλοις ἐστίν. ἴσον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΒΓ τριγώνῳ.

Τὰ ἄρα τρίγωνα τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἴσα ἀλλήλοις ἐστίν· ὅπερ ἔδει δεῖξαι.

§ 41. **20. Dreiecke mit gleicher Basis und Höhe.**

Τὰ τρίγωνα τὰ ἐπὶ ἴσων βάσεων ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἴσα ἀλλήλοις ἐστίν (Fig. 17).

Ἔστω τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ ἐπὶ ἴσων βάσεων τῶν ΒΓ, ΕΖ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΒΖ, ΑΔ· λέγω, ὅτι ἴσον ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ.

Ἐκβεβλήσθω γὰρ ἡ ΑΔ ἐφ' ἑκάτερα τὰ μέρη ἐπὶ τὰ Η, Θ, καὶ διὰ μὲν τοῦ Β τῇ ΓΑ παράλληλος ἤχθω ἡ ΒΗ, διὰ δὲ τοῦ Ζ τῇ ΔΕ παράλληλος ἤχθω ἡ ΖΘ. παραλληλόγραμμον ἄρα ἐστὶν ἑκάτερον τῶν ΗΒΓΑ, ΔΕΖΘ· καὶ ἴσον τὸ ΗΒΓΑ τῷ ΔΕΖΘ· ἐπί τε γὰρ ἴσων βάσεών εἰσι τῶν ΒΓ, ΕΖ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΒΖ, ΗΘ· καί ἐστι τοῦ μὲν ΗΒΓΑ παραλληλογράμμου ἥμισυ τὸ ΑΒΓ τρίγωνον· ἡ γὰρ ΑΒ διάμετρος αὐτὸ δίχα τέμνει· τοῦ δὲ ΔΕΖΘ παραλληλογράμμου ἥμισυ τὸ ΔΕΖ τρίγωνον· ἡ γὰρ ΔΖ διάμετρος αὐτὸ δίχα τέμνει. τὰ δὲ τῶν ἴσων ἡμίση ἴσα ἀλλήλοις ἐστίν. ἴσον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ.

Τὰ ἄρα τρίγωνα τὰ ἐπὶ ἴσων βάσεων ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἴσα ἀλλήλοις ἐστίν· ὅπερ ἔδει δεῖξαι.

21. Parallelogramm und Dreieck mit derselben Basis und Höhe. § 42.

Ἐὰν παραλληλόγραμμον τριγώνῳ βάσιν τε ἔχῃ τὴν αὐτὴν καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ᾖ, διπλάσιόν ἐστι τὸ παραλληλόγραμμον τοῦ τριγώνου (Fig. 18).

Παραλληλόγραμμον γὰρ τὸ ΑΒΓΔ τριγώνῳ τῷ ΕΒΓ βάσιν τε ἐχέτω τὴν αὐτὴν τὴν ΒΓ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἔστω ταῖς ΒΓ, ΑΕ· λέγω, ὅτι διπλάσιόν ἐστι τὸ ΑΒΓΔ παραλληλόγραμμον τοῦ ΕΒΓ τριγώνου.

Ἐπεζεύχθω γὰρ ἡ ΑΓ. ἴσον δή ἐστι τὸ ΑΒΓ τρίγωνον τῷ ΕΒΓ τριγώνῳ· ἐπί τε γὰρ τῆς αὐτῆς βάσεώς ἐστιν αὐτῷ τῆς ΒΓ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΒΓ, ΑΕ. ἀλλὰ τὸ ΑΒΓΔ παραλληλόγραμμον διπλάσιόν ἐστι τοῦ ΑΒΓ τριγώνου· ἡ γὰρ ΑΓ διάμετρος αὐτὸ δίχα τέμνει· ὥστε τὸ ΑΒΓΔ παραλληλόγραμμον καὶ τοῦ ΕΒΓ τριγώνου ἐστὶ διπλάσιον.

Ἐὰν ἄρα παραλληλόγραμμον τριγώνῳ βάσιν τε ἔχῃ τὴν αὐτὴν καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ᾖ, διπλάσιόν ἐστι τὸ παραλληλόγραμμον τοῦ τριγώνου· ὅπερ ἔδει δεῖξαι.

V. Pythagoreischer Lehrsatz.

22. Hypotenusen- und Katheten-Quadrate. § 43.

Ἐν τοῖς ὀρθογωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ὀρθὴν γωνίαν ὑποτεινούσης πλευρᾶς τετρά-

γωνον ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν τὴν ὀρθὴν γωνίαν περιεχουσῶν πλευρῶν τετραγώνοις (Fig. 19).

Ἔστω τρίγωνον ὀρθογώνιον τὸ *ΑΒΓ* ὀρθὴν ἔχον τὴν ὑπὸ *ΒΑΓ* γωνίαν· λέγω, ὅτι τὸ ἀπὸ τῆς *ΒΓ* τετράγωνον ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν *ΒΑ*, *ΑΓ* τετραγώνοις.

Ἀναγεγράφθω γὰρ ἀπὸ μὲν τῆς *ΒΓ* τετράγωνον τὸ *ΒΔΕΓ*, ἀπὸ δὲ τῶν *ΒΑ*, *ΑΓ* τὰ *ΗΒ*, *ΘΓ*, καὶ διὰ τοῦ *Α* ὁποτέρᾳ τῶν *ΒΔ*, *ΓΕ* παράλληλος ἤχθω ἡ *ΑΛ*· καὶ ἐπεζεύχθωσαν αἱ *ΑΔ*, *ΖΓ*. καὶ ἐπεὶ ὀρθή ἐστιν ἑκατέρα τῶν ὑπὸ *ΒΑΓ*, *ΒΑΗ* γωνιῶν, πρὸς δή τινι εὐθείᾳ τῇ *ΒΑ* καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ *Α* δύο εὐθεῖαι αἱ *ΑΓ*, *ΑΗ* μὴ ἐπὶ τὰ αὐτὰ μέρη κείμεναι τὰς ἐφεξῆς γωνίας δυσὶν ὀρθαῖς ἴσας ποιοῦσιν· ἐπ' εὐθείας ἄρα ἐστὶν ἡ *ΓΑ* τῇ *ΑΗ*. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ *ΒΑ* τῇ *ΑΘ* ἐστιν ἐπ' εὐθείας. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ *ΔΒΓ* γωνία τῇ ὑπὸ *ΖΒΑ* (ὀρθὴ γὰρ ἑκατέρα), κοινὴ προσκείσθω ἡ ὑπὸ *ΑΒΓ*· ὅλη ἄρα ἡ ὑπὸ *ΔΒΑ* ὅλῃ τῇ ὑπὸ *ΖΒΓ* ἐστιν ἴση. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν *ΔΒ* τῇ *ΒΓ*, ἡ δὲ *ΖΒ* τῇ *ΒΑ*, δύο δὴ αἱ *ΔΒ*, *ΒΑ* δυσὶ ταῖς *ΖΒ*, *ΒΓ* ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ *ΔΒΑ* γωνίᾳ τῇ ὑπὸ *ΖΒΓ* ἴση· βάσις ἄρα ἡ *ΑΔ* βάσει τῇ *ΖΓ* ἐστιν ἴση, καὶ τὸ *ΑΒΔ* τρίγωνον τῷ *ΖΒΓ* τριγώνῳ ἐστὶν ἴσον· καί ἐστι τοῦ μὲν *ΑΒΔ* τριγώνου διπλάσιον τὸ *ΒΛ* παραλληλόγραμμον· βάσιν τε γὰρ τὴν αὐτὴν ἔχουσι τὴν *ΒΔ* καὶ ἐν ταῖς αὐταῖς εἰσι

---

15. Ἐστὶν ἐπ' εὐθείας bildet eine gerade Linie. Der Ausdruck erinnert an ἐπ' ἴσης oder ἐξ ἴσου = auf gleichem Niveau, im Gleichgewicht, horizontal (S. 31, 11).

παραλλήλοις ταῖς ΒΔ, ΑΛ· τοῦ δὲ ΖΒΓ τριγώνου διπλάσιον τὸ ΗΒ τετράγωνον· βάσιν τε γὰρ πάλιν τὴν αὐτὴν ἔχουσι τὴν ΖΒ καὶ ἐν ταῖς αὐταῖς εἰσι παραλλήλοις ταῖς ΖΒ, ΗΓ. τὰ δὲ τῶν ἴσων διπλάσια ἴσα ἀλλήλοις ἐστίν· ἴσον ἄρα ἐστὶ καὶ τὸ ΒΛ παραλληλόγραμμον τῷ ΗΒ τετραγώνῳ. ὁμοίως δὴ ἐπιζευγνυμένων τῶν ΑΕ, ΒΚ δειχθήσεται καὶ τὸ ΓΛ παραλληλόγραμμον ἴσον τῷ ΘΓ τετραγώνῳ· ὅλον ἄρα τὸ ΒΔΕΓ τετράγωνον δυσὶ τοῖς ΗΒ, ΘΓ τετραγώνοις ἴσον ἐστίν. καί ἐστι τὸ μὲν ΒΔΕΓ τετράγωνον ἀπὸ τῆς ΒΓ ἀναγραφέν, τὰ δὲ ΗΒ, ΘΓ ἀπὸ τῶν ΒΑ, ΑΓ. τὸ ἄρα ἀπὸ τῆς ΒΓ πλευρᾶς τετράγωνον ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΒΑ, ΑΓ πλευρῶν τετραγώνοις.

Ἐν ἄρα τοῖς ὀρθογωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ὀρθὴν γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν τὴν ὀρθὴν γωνίαν περιεχουσῶν πλευρῶν τετραγώνοις· ὅπερ ἔδει δεῖξαι.

VI. Rechteck und Teilrechtecke.

23. Multiplikation einer Summe. § 44.

Ἐὰν ὦσι δύο εὐθεῖαι, τμηθῇ δὲ ἡ ἑτέρα αὐτῶν εἰς ὁσαδηποτοῦν τμήματα, τὸ περιεχόμενον ὀρθογώνιον ὑπὸ τῶν δύο εὐθειῶν ἴσον ἐστὶ τοῖς ὑπό τε

---

10. *Ἀπὸ τῆς ΒΓ ἀναγραφέν* von *ΒΓ* aus aufgezeichnet. Denn *γράφω* = zeichnen, *καταγραφή* = ‚Figur'. — **20.** *Ὁσαδηποτοῦν* = *ὅσα δήποτε οὖν* beliebig viele.

τῆς ἀτμήτου καὶ ἑκάστου τῶν τμημάτων περιεχομένοις ὀρθογωνίοις (Fig. 20).

Ἔστωσαν δύο εὐθεῖαι αἱ Α, ΒΓ, καὶ τετμήσθω ἡ ΒΓ, ὡς ἔτυχεν, κατὰ τὰ Δ, Ε σημεῖα· λέγω, ὅτι τὸ ὑπὸ τῶν Α, ΒΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ τε ὑπὸ τῶν Α, ΒΔ περιεχομένῳ ὀρθογωνίῳ καὶ τῷ ὑπὸ τῶν Α, ΔΕ καὶ ἔτι τῷ ὑπὸ τῶν Α, ΕΓ.

Ἤχθω γὰρ ἀπὸ τοῦ Β τῇ ΒΓ πρὸς ὀρθὰς ἡ ΒΖ, καὶ κείσθω τῇ Α ἴση ἡ ΒΗ, καὶ διὰ μὲν τοῦ Η τῇ ΒΓ παράλληλος ἤχθω ἡ ΗΘ, διὰ δὲ τῶν Δ, Ε, Γ τῇ ΒΗ παράλληλοι ἤχθωσαν αἱ ΔΚ, ΕΛ, ΓΘ.

Ἴσον δή ἐστι τὸ ΒΘ τοῖς ΒΚ, ΔΛ, ΕΘ. καί ἐστι τὸ μὲν ΒΘ τὸ ὑπὸ τῶν Α, ΒΓ· περιέχεται μὲν γὰρ ὑπὸ τῶν ΗΒ, ΒΓ, ἴση δὲ ἡ ΒΗ τῇ Α· τὸ δὲ ΒΚ τὸ ὑπὸ τῶν Α, ΒΔ· περιέχεται μὲν γὰρ ὑπὸ τῶν ΗΒ, ΒΔ, ἴση δὲ ἡ ΒΗ τῇ Α. τὸ δὲ ΔΛ τὸ ὑπὸ τῶν Α, ΔΕ· ἴση γὰρ ἡ ΔΚ, τουτέστιν ἡ ΒΗ, τῇ Α. καὶ ἔτι ὁμοίως τὸ ΕΘ τὸ ὑπὸ τῶν Α, ΕΓ· τὸ ἄρα ὑπὸ τῶν Α, ΒΓ ἴσον ἐστὶ τῷ τε ὑπὸ Α, ΒΔ καὶ τῷ ὑπὸ Α, ΔΕ καὶ ἔτι τῷ Α, ΕΓ.

Ἐὰν ἄρα ὦσι δύο εὐθεῖαι, τμηθῇ δὲ ἡ ἑτέρα αὐτῶν εἰς ὁσαδηποτοῦν τμήματα, τὸ περιεχόμενον ὀρθογώνιον ὑπὸ τῶν δύο εὐθειῶν ἴσον ἐστὶ τοῖς ὑπό τε τῆς ἀτμήτου καὶ ἑκάστου τῶν τμημάτων περιεχομένοις ὀρθογωνίοις· ὅπερ ἔδει δεῖξαι.

---

2. Arithmetisch: $a(b + c + d) = ab + ac + ad$. — **4.** Ὡς ἔτυχεν beliebig.

VII. Winkel im Kreise.

24. Centri- und Peripherie-Winkel. § 45.

Ἐν κύκλῳ ἡ πρὸς τῷ κέντρῳ γωνία διπλασίων ἐστὶ τῆς πρὸς τῇ περιφερείᾳ, ὅταν τὴν αὐτὴν περιφέρειαν βάσιν ἔχωσιν αἱ γωνίαι (Fig. 21).

Ἔστω κύκλος ὁ ΑΒΓ, καὶ πρὸς μὲν τῷ κέντρῳ αὐτοῦ γωνία ἔστω ἡ ὑπὸ ΒΕΓ, πρὸς δὲ τῇ περιφερείᾳ ἡ ὑπὸ ΒΑΓ, ἐχέτωσαν δὲ τὴν αὐτὴν περιφέρειαν βάσιν τὴν ΒΓ· λέγω, ὅτι διπλασίων ἐστὶν ἡ ὑπὸ ΒΕΓ γωνία τῆς ὑπὸ ΒΑΓ.

Ἐπιζευχθεῖσα γὰρ ἡ ΑΕ διήχθω ἐπὶ τὸ Ζ.

Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΕΑ τῇ ΕΒ, ἴση καὶ γωνία ἡ ὑπὸ ΕΑΒ τῇ ὑπὸ ΕΒΑ· αἱ ἄρα ὑπὸ ΕΑΒ, ΕΒΑ γωνίαι τῆς ὑπὸ ΕΑΒ διπλασίους εἰσίν. ἴση δὲ ἡ ὑπὸ ΒΕΖ ταῖς ὑπὸ ΕΑΒ, ΕΒΑ· καὶ ἡ ὑπὸ ΒΕΖ ἄρα τῆς ὑπὸ ΕΑΒ ἐστι διπλῆ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΖΕΓ τῆς ὑπὸ ΕΑΓ ἐστι διπλῆ. ὅλη ἄρα ἡ ὑπὸ ΒΕΓ ὅλης τῆς ὑπὸ ΒΑΓ ἐστι διπλῆ.

Κεκλάσθω δὴ πάλιν, καὶ ἔστω ἑτέρα γωνία ἡ ὑπὸ ΒΔΓ, καὶ ἐπιζευχθεῖσα ἡ ΔΕ ἐκβεβλήσθω ἐπὶ τὸ Η. ὁμοίως δὴ δείξομεν, ὅτι διπλῆ ἐστιν ἡ ὑπὸ ΗΕΓ γωνία

---

3. Διπλασίων (gen. -ίονος) jüngere Form für διπλάσιος. — **5.** Τὴν αὐτὴν περιφέρειαν βάσιν ἔχειν über demselben Kreisbogen stehen. — **19.** Κεκλάσθω. Hier taucht ganz unvermittelt der Begriff einer ‚gebrochenen' Linie (ΒΔΓ) auf; vgl. § 2. Dieser Begriff steckt auch in dem Wort γωνία (= geknickte Linie), das von γόνυ abgeleitet ist; vgl. das Homerische γουνῷ ἀλωῆς Σ 438.

τῆς ὑπὸ ΕΔΓ, ὧν ἡ ὑπὸ ΗΕΒ διπλῆ ἐστι τῆς ὑπὸ ΕΔΒ· λοιπὴ ἄρα ἡ ὑπὸ ΒΕΓ διπλῆ ἐστι τῆς ὑπὸ ΒΔΓ.

Ἐν κύκλῳ ἄρα ἡ πρὸς τῷ κέντρῳ γωνία διπλασίων ἐστὶ τῆς πρὸς τῇ περιφερείᾳ, ὅταν τὴν αὐτὴν περιφέρειαν βάσιν ἔχωσιν αἱ γωνίαι· ὅπερ ἔδει δεῖξαι.

§ 46. **25. Winkel über gleichen Kreisbogen.**

Ἐν κύκλῳ αἱ ἐν τῷ αὐτῷ τμήματι γωνίαι ἴσαι ἀλλήλαις εἰσίν (Fig. 22).

Ἔστω κύκλος ὁ ΑΒΓΔ, καὶ ἐν τῷ αὐτῷ τμήματι τῷ ΒΑΕΔ γωνίαι ἔστωσαν αἱ ὑπὸ ΒΑΔ, ΒΕΔ· λέγω, ὅτι αἱ ὑπὸ ΒΑΔ, ΒΕΔ γωνίαι ἴσαι ἀλλήλαις εἰσίν.

Εἰλήφθω γὰρ τοῦ ΑΒΓΔ κύκλου τὸ κέντρον, καὶ ἔστω τὸ Ζ, καὶ ἐπεζεύχθωσαν αἱ ΒΖ, ΖΔ.

Καὶ ἐπεὶ ἡ μὲν ὑπὸ ΒΖΔ γωνία πρὸς τῷ κέντρῳ ἐστίν, ἡ δὲ ὑπὸ ΒΑΔ πρὸς τῇ περιφερείᾳ, καὶ ἔχουσι τὴν αὐτὴν περιφέρειαν βάσιν τὴν ΒΓΔ, ἡ ἄρα ὑπὸ ΒΖΔ γωνία διπλασίων ἐστὶ τῆς ὑπὸ ΒΑΔ. διὰ τὰ αὐτὰ δὴ ἡ ὑπὸ ΒΖΔ καὶ τῆς ὑπὸ ΒΕΔ ἐστι διπλασίων· ἴση ἄρα ἡ ὑπὸ ΒΑΔ τῇ ὑπὸ ΒΕΔ.

Ἐν κύκλῳ ἄρα αἱ ἐν τῷ αὐτῷ τμήματι γωνίαι ἴσαι ἀλλήλαις εἰσίν· ὅπερ ἔδει δεῖξαι.

---

21. Die Einteilung des Kreises in 360 Grade und die Winkelmessung mit Hilfe dieser Gradeinteilung ist dem Euclid noch fremd In der griechischen Litteratur begegnet sie zuerst um —150 beim Hypsicles (§ 3).

VIII. Satz des Thales.

26. Winkel im Halbkreis. § 47.

Ἡ ἐν τῷ ἡμικυκλίῳ γωνία ὀρθή ἐστιν (Fig. 23).

Ἔστω κύκλος ὁ ΑΒΓΔ, διάμετρος δὲ αὐτοῦ ἔστω ἡ ΒΓ, κέντρον δὲ τὸ Ε, καὶ ἐπεζεύχθωσαν αἱ ΒΑ, ΑΓ· λέγω, ὅτι ἡ μὲν ἐν τῷ ΒΑΓ ἡμικυκλίῳ γωνία ἡ ὑπὸ ΒΑΓ ὀρθή ἐστιν.

Ἐπεζεύχθω ἡ ΑΕ, καὶ διήχθω ἡ ΒΑ ἐπὶ τὸ Ζ.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΕ τῇ ΕΑ, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ ΑΒΕ τῇ ὑπὸ ΒΑΕ. πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ ΓΕ τῇ ΕΑ, ἴση ἐστὶ καὶ ἡ ὑπὸ ΑΓΕ τῇ ὑπὸ ΓΑΕ· ὅλη ἄρα ἡ ὑπὸ ΒΑΓ δυσὶ ταῖς ὑπὸ ΑΒΓ, ΑΓΒ ἴση ἐστίν. ἐστὶ δὲ καὶ ἡ ὑπὸ ΖΑΓ ἐκτὸς τοῦ ΑΒΓ τριγώνου δυσὶ ταῖς ὑπὸ ΑΒΓ, ΑΓΒ γωνίαις ἴση· ἴση ἄρα καὶ ἡ ὑπὸ ΒΑΓ γωνία τῇ ὑπὸ ΖΑΓ· ὀρθὴ ἄρα ἑκατέρα· ἡ ἄρα ἐν τῷ ΒΑΓ ἡμικυκλίῳ γωνία ἡ ὑπὸ ΒΑΓ ὀρθή ἐστιν.

IX. Lehre von den Proportionen der Strecken.

27. Umformung einer Proportion durch Addition.

A. § 48.

Ἐὰν ᾖ ὁποσαοῦν μεγέθη ὁποσωνοῦν μεγεθῶν, ἴσων τὸ πλῆθος, ἕκαστον ἑκάστου ἰσάκις πολλα-

---

1. Der Satz des Thales erscheint bei Euclid weder unter diesem Namen noch in dieser Kürze. Der betreffende Lehrsatz lautet (Buch III, Prop. 31): *Ἐν κύκλῳ ἡ μὲν ἐν τῷ ἡμικυκλίῳ γωνία ὀρθή ἐστιν, ἡ δὲ ἐν τῷ μείζονι τμήματι ἐλάττων ὀρθῆς, ἡ δὲ ἐν τῷ ἐλάττονι τμήματι μείζων ὀρθῆς κ. τ. λ.* Die Lettern *κ. τ. λ.* bedeuten: *καὶ τὰ λοιπά* = *et cetera*. — **20.** Wir: Wenn $a : b = c : d$, dann $a + c : b + d = a : b$. — **20.** *Ὁποσοσοῦν* beliebigviel. — **21.** *Πλῆθος* Anzahl, *ἴσων τὸ πλῆθος* gleichviel.

πλάσιον, ὁσαπλάσιόν ἐστιν ἓν τῶν μεγεθῶν ἑνός, τοσαυταπλάσια ἔσται καὶ τὰ πάντα τῶν πάντων (Fig. 24).

Ἔστω ὁποσαοῦν μεγέθη τὰ ΑΒ, ΓΔ ὁποσωνοῦν μεγεθῶν τῶν Ε, Ζ, ἴσων τὸ πλῆθος, ἕκαστον ἑκάστου ἰσάκις πολλαπλάσιον· λέγω, ὅτι ὁσαπλάσιόν ἐστι τὸ ΑΒ τοῦ Ε, τοσαυταπλάσια ἔσται καὶ τὰ ΑΒ, ΓΔ τῶν Ε, Ζ.

Ἐπεὶ γὰρ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΑΒ τοῦ Ε καὶ τὸ ΓΔ τοῦ Ζ, ὅσα ἄρα ἐστὶν ἐν τῷ ΑΒ μεγέθη ἴσα τῷ Ε, τοσαῦτα καὶ ἐν τῷ ΓΔ ἴσα τῷ Ζ. διῃρήσθω τὸ μὲν ΑΒ εἰς τὰ τῷ Ε μεγέθη ἴσα τὰ ΑΗ, ΗΒ, τὸ δὲ ΓΔ εἰς τὰ τῷ Ζ ἴσα τὰ ΓΘ, ΘΔ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΑΗ, ΗΒ τῷ πλήθει τῶν ΓΘ, ΘΔ. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ μὲν ΑΗ τῷ Ε, τὸ δὲ ΓΘ τῷ Ζ, ἴσον ἄρα καὶ τὰ ΑΗ, ΓΘ τοῖς Ε, Ζ. διὰ τὰ αὐτὰ δὴ ἴσον ἐστὶ τὸ ΗΒ τῷ Ε, καὶ τὰ ΗΒ, ΘΔ τοῖς Ε, Ζ· ὅσα ἄρα ἐστὶν ἐν τῷ ΑΒ ἴσα τῷ Ε, τοσαῦτα καὶ ἐν τοῖς ΑΒ, ΓΔ ἴσα τοῖς Ε, Ζ· ὁσαπλάσιον ἄρα ἐστὶ τὸ ΑΒ τοῦ Ε, τοσαυταπλάσια ἔσται καὶ τὰ ΑΒ, ΓΔ τῶν Ε, Ζ.

Ἐὰν ἄρα ᾖ ὁποσαοῦν μεγέθη ὁποσωνοῦν μεγεθῶν, ἴσων τὸ πλῆθος, ἕκαστον ἑκάστου ἰσάκις πολλαπλάσιον,

---

2. *Τὰ πάντα* ihre Summe. — **7.** Da Euclid keine Brüche kennt, setzt er stets zwei Zahlen in ein Verhältnis, die in einander aufgehen. Dies überträgt er auch auf die Strecken. Da er ferner stets die messende Strecke (Divisor) an die zweite Stelle, die gemessene Strecke (Dividendus) an die erste Stelle setzt, so ergiebt sich aus dem Verhältnis $a:b$ der Quotient $\frac{b}{a}$. Wir sagen gewöhnlich $\frac{a}{b}$. Sachlich kommt beides auf eins heraus.

ὁσαπλάσιόν ἐστιν ἓν τῶν μεγεθῶν ἑνός, τοσαυταπλάσια ἔσται καὶ τὰ πάντα τῶν πάντων· ὅπερ ἔδει δεῖξαι.

B. § 49.

Ἐὰν πρῶτον δευτέρου ἰσάκις ᾖ πολλαπλάσιον καὶ τρίτον τετάρτου, ᾖ δὲ καὶ πέμπτον δευτέρου ἰσάκις πολλαπλάσιον καὶ ἕκτον τετάρτου, καὶ συντεθὲν πρῶτον καὶ πέμπτον δευτέρου ἰσάκις ἔσται πολλαπλάσιον καὶ τρίτον καὶ ἕκτον τετάρτου (Fig. 25).

Πρῶτον γὰρ τὸ *ΑΒ* δευτέρου τοῦ *Γ* ἰσάκις ἔστω πολλαπλάσιον καὶ τρίτον τὸ *ΔΕ* τετάρτου τοῦ *Ζ*, ἔστω δὲ καὶ πέμπτον τὸ *ΒΗ* δευτέρου τοῦ *Γ* ἰσάκις πολλαπλάσιον καὶ ἕκτον τὸ *ΕΘ* τετάρτου τοῦ *Ζ*· λέγω, ὅτι καὶ συντεθὲν πρῶτον καὶ πέμπτον τὸ *ΑΗ* δευτέρου τοῦ *Γ* ἰσάκις ἔσται πολλαπλάσιον καὶ τρίτον καὶ ἕκτον τὸ *ΔΘ* τετάρτου τοῦ *Ζ*.

Ἐπεὶ γὰρ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ *ΑΒ* τοῦ *Γ* καὶ τὸ *ΔΕ* τοῦ *Ζ*, ὅσα ἄρα ἐστὶν ἐν τῷ *ΑΒ* ἴσα τῷ *Γ*, τοσαῦτα καὶ ἐν τῷ *ΔΕ* ἴσα τῷ *Ζ*. διὰ τὰ αὐτὰ δὴ καὶ ὅσα ἐστὶν ἐν τῷ *ΒΗ* ἴσα τῷ *Γ*, τοσαῦτα καὶ ἐν τῷ *ΕΘ* ἴσα τῷ *Ζ*· ὅσα ἄρα ἐστὶν ἐν ὅλῳ τῷ *ΑΗ* ἴσα τῷ *Γ*, τοσαῦτα καὶ ἐν ὅλῳ τῷ *ΔΘ* ἴσα τῷ *Ζ*· ὁσαπλάσιον ἄρα ἐστὶ τὸ *ΑΗ* τοῦ *Γ*, τοσαυταπλάσιον ἔσται καὶ τὸ *ΔΘ*

---

4. Wir: Wenn $a:b=c:d=e:f$, dann $a+e:b=c+f:d$. Also ist der Ausdruck *ἐὰν πρῶτον δευτέρου ἰσάκις ᾖ πολλαπλάσιον καὶ* (wie) *τρίτον τετάρτου*, der sich im folgenden immer wiederholt, soviel wie: Wenn $a:b=c:d$.

τοῦ Z. καὶ συντεθὲν ἄρα πρῶτον καὶ πέμπτον τὸ ΔH δευτέρου τοῦ Γ ἰσάκις ἔσται πολλαπλάσιον καὶ τρίτον καὶ ἕκτον τὸ ΔΘ τετάρτου τοῦ Z.

Ἐὰν ἄρα πρῶτον δευτέρου ἰσάκις ᾖ πολλαπλάσιον καὶ τρίτον τετάρτου, ᾖ δὲ καὶ πέμπτον δευτέρου ἰσάκις πολλαπλάσιον καὶ ἕκτον τετάρτου, καὶ συντεθὲν πρῶτον καὶ πέμπτον δευτέρου ἰσάκις ἔσται πολλαπλάσιον καὶ τρίτον καὶ ἕκτον τετάρτου· ὅπερ ἔδει δεῖξαι.

28. Umformung einer Proportion durch Multiplikation.

§ 50. **A.**

Ἐὰν πρῶτον δευτέρου ἰσάκις ᾖ πολλαπλάσιον καὶ τρίτον τετάρτου, ληφθῇ δὲ ἰσάκις πολλαπλάσια τοῦ τε πρώτου καὶ τρίτου, καὶ δι' ἴσου τῶν ληφθέντων ἑκάτερον ἑκατέρου ἰσάκις ἔσται πολλαπλάσιον, τὸ μὲν τοῦ δευτέρου, τὸ δὲ τοῦ τετάρτου (Fig. 26).

Πρῶτον γὰρ τὸ A δευτέρου τοῦ B ἰσάκις ἔστω πολλαπλάσιον καὶ τρίτον τὸ Γ τετάρτου τοῦ Δ, καὶ εἰλήφθω τῶν A, Γ ἰσάκις πολλαπλάσια τὰ EZ, HΘ· λέγω, ὅτι ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ EZ τοῦ B καὶ τὸ HΘ τοῦ Δ.

Ἐπεὶ γὰρ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ EZ τοῦ A καὶ τὸ HΘ τοῦ Γ, ὅσα ἄρα ἐστὶν ἐν τῷ EZ ἴσα τῷ A,

---

11. Wir: Wenn $a:b = c:d$, dann $an:b = cn:d$. — **12.** *Ληφθέντα ἰσάκις.* Auch wir sagen: gleich vielmal ‚nehmen'. — **13.** *Δι' ἴσου* in gleicher Reihenfolge. — **21.** Der Beweis führt diesen Multiplikationssatz auf den Additionssatz des § 49 zurück. Darin liegt die Erkenntnis angedeutet, daſs die Multiplikation eine Art der Addition ist.

τοσαῦτα καὶ ἐν τῷ ΗΘ ἴσα τῷ Γ. διῃρήσθω τὸ μὲν ΕΖ εἰς τὰ τῷ Α μεγέθη ἴσα τὰ ΕΚ, ΚΖ, τὸ δὲ ΗΘ εἰς τὰ τῷ Γ ἴσα τὰ ΗΛ, ΛΘ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΕΚ, ΚΖ τῷ πλήθει τῶν ΗΛ, ΛΘ. καὶ ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ Α τοῦ Β καὶ τὸ Γ τοῦ Δ, ἴσον δὲ τὸ μὲν ΕΚ τῷ Α, τὸ δὲ ΗΛ τῷ Γ, ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΕΚ τοῦ Β καὶ τὸ ΗΛ τοῦ Δ. διὰ τὰ αὐτὰ δὴ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΚΖ τοῦ Β καὶ τὸ ΛΘ τοῦ Δ. ἐπεὶ οὖν πρῶτον τὸ ΕΚ δευτέρου τοῦ Β ἰσάκις ἐστὶ πολλαπλάσιον καὶ τρίτον τὸ ΗΛ τετάρτου τοῦ Δ, ἔστι δὲ καὶ πέμπτον τὸ ΚΖ δευτέρου τοῦ Β ἰσάκις πολλαπλάσιον καὶ ἕκτον τὸ ΛΘ τετάρτου τοῦ Δ, καὶ συντεθὲν ἄρα πρῶτον καὶ πέμπτον τὸ ΕΖ δευτέρου τοῦ Β ἰσάκις ἐστὶ πολλαπλάσιον καὶ τρίτον καὶ ἕκτον τὸ ΗΘ τετάρτου τοῦ Δ.

Ἐὰν ἄρα πρῶτον δευτέρου ἰσάκις ᾖ πολλαπλάσιον καὶ τρίτον τετάρτου, ληφθῇ δὲ τοῦ πρώτου καὶ τρίτου ἰσάκις πολλαπλάσια, καὶ δι' ἴσου τῶν ληφθέντων ἑκάτερον ἑκάτερου ἰσάκις ἔσται πολλαπλάσιον, τὸ μὲν τοῦ δευτέρου, τὸ δὲ τοῦ τετάρτου· ὅπερ ἔδει δεῖξαι.

B. **§ 51.**

Ἐὰν π ρ ῶ τ ο ν π ρ ὸ ς δ ε ύ τ ε ρ ο ν τ ὸ ν α ὐ τ ὸ ν ἔ χ ῃ λ ό γ ο ν κ α ὶ τ ρ ί τ ο ν π ρ ὸ ς τ έ τ α ρ τ ο ν, κ α ὶ τ ὰ ἰ σ ά κ ι ς π ο λ λ α π λ ά σ ι α τ ο ῦ τ ε π ρ ώ τ ο υ κ α ὶ τ ρ ί τ ο ῦ π ρ ὸ ς τ ὰ ἰ σ ά κ ι ς π ο λ λ α π λ ά σ ι α τ ο ῦ δ ε υ τ έ ρ ο υ κ α ὶ τ ε τ ά ρ τ ο υ

---

22. Wir: Wenn $a:b=c:d$, dann $an:bm=cn:dm$.

καθ' ὁποιονοῦν πολλαπλασιασμὸν τὸν αὐτὸν ἕξει λόγον ληφθέντα κατάλληλα (Fig. 27).

Πρῶτον γὰρ τὸ Α πρὸς δεύτερον τὸ Β τὸν αὐτὸν ἐχέτω λόγον καὶ τρίτον τὸ Γ πρὸς τέταρτον τὸ Δ, καὶ εἰλήφθω τῶν μὲν Α, Γ ἰσάκις πολλαπλάσια τὰ Ε, Ζ, τῶν δὲ Β, Δ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Η, Θ· λέγω, ὅτι ἐστὶν ὡς τὸ Ε πρὸς τὸ Η, οὕτως τὸ Ζ πρὸς τὸ Θ.

Εἰλήφθω γὰρ τῶν μὲν Ε, Ζ ἰσάκις πολλαπλάσια τὰ Κ, Λ, τῶν δὲ Η, Θ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Μ, Ν.

Καὶ ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ μὲν Ε τοῦ Α, τὸ δὲ Ζ τοῦ Γ, καὶ εἴληπται τῶν Ε, Ζ ἰσάκις πολλαπλάσια τὰ Κ, Λ, ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ Κ τοῦ Α καὶ τὸ Λ τοῦ Γ. διὰ τὰ αὐτὰ δὴ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ Μ τοῦ Β καὶ τὸ Ν τοῦ Δ. καὶ ἐπεί ἐστιν ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ, καὶ εἴληπται τῶν μὲν Α, Γ ἰσάκις πολλαπλάσια τὰ Κ, Λ, τῶν δὲ Β, Δ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Μ, Ν, εἰ ἄρα ὑπερέχει τὸ Κ τοῦ Μ, ὑπερέχει καὶ τὸ Λ τοῦ Ν, καὶ εἰ ἴσον, ἴσον, καὶ εἰ ἔλασσον, ἔλασσον. καί ἐστι τὰ μὲν Κ, Λ τῶν Ε, Ζ ἰσάκις πολλαπλάσια, τὰ δὲ Μ, Ν τῶν Η, Θ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια· ἔστιν ἄρα ὡς τὸ Ε πρὸς τὸ Η, οὕτως τὸ Ζ πρὸς τὸ Θ.

1. *Ὁποιοσοῦν* beliebig geartet, jeder beliebige. — **2.** *Ληφθέντα κατάλληλα* entsprechend (in gleicher Beziehung, Folge) genommen. — **6.** *Ἃ ἔτυχεν* die ersten besten.

Ἐὰν ἄρα πρῶτον πρὸς δεύτερον τὸν αὐτὸν ἔχῃ λόγον καὶ τρίτον πρὸς τέταρτον, καὶ τὰ ἰσάκις πολλαπλάσια τοῦ τε πρώτου καὶ τρίτου πρὸς τὰ ἰσάκις πολλαπλάσια τοῦ δευτέρου καὶ τετάρτου τὸν αὐτὸν ἕξει λόγον καθ' ὁποιονοῦν πολλαπλασιασμὸν ληφθέντα κατάλληλα· ὅπερ ἔδει δεῖξαι.

29. Identische Verhältnisse. § 52.

Τὰ ἴσα πρὸς τὸ αὐτὸ τὸν αὐτὸν ἔχει λόγον καὶ τὸ αὐτὸ πρὸς τὰ ἴσα (Fig. 28).

Ἔστω ἴσα μεγέθη τὰ Α, Β, ἄλλο δέ τι, ὃ ἔτυχεν, μέγεθος τὸ Γ· λέγω, ὅτι ἑκάτερον τῶν Α, Β πρὸς τὸ Γ τὸν αὐτὸν ἔχει λόγον, καὶ τὸ Γ πρὸς ἑκάτερον τῶν Α, Β.

Εἰλήφθω γὰρ τῶν μὲν Α, Β ἰσάκις πολλαπλάσια τὰ Δ, Ε, τοῦ δὲ Γ ἄλλο, ὃ ἔτυχεν, πολλαπλάσιον τὸ Ζ.

Ἐπεὶ οὖν ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ Δ τοῦ Α καὶ τὸ Ε τοῦ Β, ἴσον δὲ τὸ Α τῷ Β, ἴσον ἄρα καὶ τὸ Δ τῷ Ε. ἄλλο δέ, ὃ ἔτυχεν, τὸ Ζ. Εἰ ἄρα ὑπερέχει τὸ Δ τοῦ Ζ, ὑπερέχει καὶ τὸ Ε τοῦ Ζ, καὶ εἰ ἴσον, ἴσον, καὶ εἰ ἔλασσον, ἔλασσον. καί ἐστι τὰ μὲν Δ, Ε τῶν Α, Β ἰσάκις πολλαπλάσια, τὸ δὲ Ζ τοῦ Γ ἄλλο, ὃ ἔτυχεν, πολλαπλάσιον· ἔστιν ἄρα ὡς τὸ Α πρὸς τὸ Γ, οὕτως τὸ Β πρὸς τὸ Γ.

Λέγω δή, ὅτι καὶ τὸ Ε πρὸς ἑκάτερον τῶν Α, Β τὸν αὐτὸν ἔχει λόγον.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων ὁμοίως δείξομεν, ὅτι ἴσον ἐστὶ τὸ Δ τῷ Ε· ἄλλο δέ τι τὸ Ζ· εἰ ἄρα

8. Wir: Wenn $a = b$, dann 1. $a : c = b : c$, und 2. $c : a = c : b$.

ὑπερέχει τὸ Ζ τοῦ Δ, ὑπερέχει καὶ τοῦ Ε, καὶ εἰ ἴσον, ἴσον, καὶ εἰ ἔλασσον, ἔλασσον. καί ἐστι τὸ μὲν Ζ τοῦ Γ πολλαπλάσιον, τὰ δὲ Δ, Ε τῶν Α, Β ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια· ἔστιν ἄρα ὡς τὸ Γ πρὸς τὸ Α, οὕτως τὸ Γ πρὸς τὸ Β.

Τὰ ἴσα ἄρα πρὸς τὸ αὐτὸ τὸν αὐτὸν ἔχει λόγον καὶ τὸ αὐτὸ πρὸς τὰ ἴσα.

Πόρισμα.

Ἐκ δὴ τούτου φανερόν, ὅτι, ἐὰν μεγέθη τινὰ ἀνάλογον ᾖ, καὶ ἀνάπαλιν ἀνάλογον ἔσται. ὅπερ ἔδει δεῖξαι.

§ 52.

30. Ungleiche Verhältnisse.

Τῶν ἀνίσων μεγεθῶν τὸ μεῖζον πρὸς τὸ αὐτὸ μείζονα λόγον ἔχει ἤπερ τὸ ἔλασσον. καὶ τὸ αὐτὸ πρὸς τὸ ἔλασσον μείζονα λόγον ἔχει ἤπερ πρὸς τὸ μεῖζον (Fig. 29).

Ἔστω ἄνισα μεγέθη τὰ ΑΒ, Γ, καὶ ἔστω μεῖζον τὸ ΑΒ, ἄλλο δέ, ὃ ἔτυχεν, τὸ Δ· λέγω, ὅτι τὸ ΑΒ πρὸς τὸ Δ μείζονα λόγον ἔχει ἤπερ τὸ Γ πρὸς τὸ Δ, καὶ τὸ Δ πρὸς τὸ Γ μείζονα λόγον ἔχει ἤπερ πρὸς τὸ ΑΒ.

Ἐπεὶ γὰρ μεῖζόν ἐστι τὸ ΑΒ τοῦ Γ, κείσθω τῷ Γ ἴσον τὸ ΒΕ· τὸ δὴ ἔλασσον τῶν ΑΕ, ΕΒ πολλαπλασιαζόμενον ἔσται ποτὲ τοῦ Δ μεῖζον. ἔστω πρότερον τὸ ΑΕ ἔλασσον τοῦ ΕΒ, καὶ πεπολλαπλασιάσθω τὸ ΑΕ,

8. *Πόρισμα* ist ‚unmittelbare Folge', was wir ‚Folgerung' nennen. Eigentlich ‚Verdienst, Gewinn', was nebenbei abfällt oder einem zufällt. — **11.** Wir: Wenn $a > b$, dann 1. $a : c > b : c$, und 2. $c : b > c : a$.

καὶ ἔστω αὐτοῦ πολλαπλάσιον τὸ ΖΗ μεῖζον ὂν τοῦ Δ, καὶ ὁσαπλάσιόν ἐστι τὸ ΖΗ τοῦ ΑΕ, τοσαυταπλάσιον γεγονέτω καὶ τὸ μὲν ΗΘ τοῦ ΕΒ, τὸ δὲ Κ τοῦ Γ· καὶ εἰλήφθω τοῦ Δ διπλάσιον μὲν τὸ Λ, τριπλάσιον δὲ τὸ Μ, καὶ ἑξῆς ἑνὶ πλεῖον, ἕως ἂν τὸ λαμβανόμενον πολλαπλάσιον μὲν γένηται τοῦ Δ, πρώτως δὲ μεῖζον τοῦ Κ. εἰλήφθω, καὶ ἔστω τὸ Ν τετραπλάσιον μὲν τοῦ Δ, πρώτως δὲ μεῖζον τοῦ Κ.

Ἐπεὶ οὖν τὸ Κ τοῦ Ν πρώτως ἐστὶν ἔλαττον, τὸ Κ ἄρα τοῦ Μ οὐκ ἔστιν ἔλασσον. καὶ ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΖΗ τοῦ ΑΕ καὶ τὸ ΗΘ τοῦ ΕΒ, ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΖΗ τοῦ ΑΕ καὶ τὸ ΖΘ τοῦ ΑΒ. ἰσάκις δέ ἐστι πολλαπλάσιον τὸ ΖΗ τοῦ ΑΕ καὶ τὸ Κ τοῦ Γ· ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΖΘ τοῦ ΑΒ καὶ τὸ Κ τοῦ Γ. τὰ ΖΘ, Κ ἄρα τῶν ΑΒ, Γ ἰσάκις ἐστὶ πολλαπλάσια. πάλιν, ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΗΘ τοῦ ΕΒ καὶ τὸ Κ τοῦ Γ, ἴσον δὲ τὸ ΕΒ τῷ Γ, ἴσον ἄρα καὶ τὸ ΗΘ τῷ Κ. τὸ δὲ Κ τοῦ Μ οὐκ ἔστιν ἔλασσον· οὐδ' ἄρα τὸ ΗΘ τοῦ Μ ἔλασσόν ἐστιν. μεῖζον δὲ τὸ ΖΗ τοῦ Δ· ὅλον ἄρα τὸ ΖΘ συναμφοτέρων τῶν Δ, Μ μεῖζόν ἐστιν. ἀλλὰ συναμφότερα τὰ Δ, Μ τῷ Ν ἐστιν ἴσα, ἐπειδήπερ τὸ Μ τοῦ Δ τριπλάσιόν ἐστιν, συναμφότερα δὲ τὰ Μ, Δ τοῦ Δ ἐστι τετραπλάσια, ἔστι δὲ καὶ τὸ Ν τοῦ Δ τετραπλάσιον· συναμφότερα ἄρα τὰ Μ, Δ τῷ Ν ἴσα ἐστίν. ἀλλὰ τὸ ΖΘ τῶν Μ, Δ μεῖζόν ἐστιν· τὸ ΖΘ ἄρα τοῦ Ν ὑπερέχει· τὸ δὲ Κ τοῦ Ν οὐχ ὑπερέχει. καί ἐστι τὰ μὲν ΖΘ, Κ τῶν ΑΒ, Γ ἰσάκις

πολλαπλάσια, τὸ δὲ Ν τοῦ Δ ἄλλο, ὃ ἔτυχεν, πολλαπλάσιον· τὸ ΑΒ ἄρα πρὸς τὸ Δ μείζονα λόγον ἔχει ἤπερ τὸ Γ πρὸς τὸ Δ.

Λέγω δή, ὅτι καὶ τὸ Δ πρὸς τὸ Γ μείζονα λόγον ἔχει ἤπερ τὸ Δ πρὸς τὸ ΑΒ.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων ὁμοίως δείξομεν, ὅτι τὸ μὲν Ν τοῦ Κ ὑπερέχει, τὸ δὲ Ν τοῦ ΖΘ οὐχ ὑπερέχει. καί ἐστι τὸ μὲν Ν τοῦ Δ πολλαπλάσιον, τὰ δὲ ΖΘ, Κ τῶν ΑΒ, Γ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια· τὸ Δ ἄρα πρὸς τὸ Γ μείζονα λόγον ἔχει ἤπερ τὸ Δ πρὸς τὸ ΑΒ.

Ἀλλὰ δὴ τὸ ΑΕ τοῦ ΕΒ μεῖζον ἔστω. τὸ δὴ ἔλασσον τὸ ΕΒ πολλαπλασιαζόμενον ἔσται ποτὲ τοῦ Δ μεῖζον. πεπολλαπλασιάσθω, καὶ ἔστω τὸ ΗΘ πολλαπλάσιον μὲν τοῦ ΕΒ, μεῖζον δὲ τοῦ Δ· καὶ ὁσαπλάσιόν ἐστι τὸ ΗΘ τοῦ ΕΒ, τοσαυταπλάσιον γεγονέτω καὶ τὸ μὲν ΖΗ τοῦ ΑΕ, τὸ δὲ Κ τοῦ Γ. ὁμοίως δὴ δείξομεν, ὅτι τὰ ΖΘ, Κ τῶν ΑΒ, Γ ἰσάκις ἐστὶ πολλαπλάσια· καὶ εἰλήφθω ὁμοίως τὸ Ν πολλαπλάσιον μὲν τοῦ Δ, πρώτως δὲ μεῖζον τοῦ ΖΗ· ὥστε πάλιν τὸ ΖΗ τοῦ Μ οὐκ ἔστιν ἔλασσον. μεῖζον δὲ τὸ ΗΘ τοῦ Δ· ὅλον ἄρα τὸ ΖΘ τῶν Δ, Μ, τουτέστι τοῦ Ν, ὑπερέχει. τὸ δὲ Κ τοῦ Ν οὐχ ὑπερέχει, ἐπειδήπερ καὶ τὸ ΖΗ μεῖζον ὂν τοῦ ΗΘ, τουτέστι τοῦ Κ, τοῦ Ν οὐχ ὑπερέχει. καὶ ὡσαύτως κατακολουθοῦντες τοῖς ἐπάνω περαίνομεν τὴν ἀπόδειξιν.

Τῶν ἄρα ἀνίσων μεγεθῶν τὸ μεῖζον πρὸς τὸ αὐτὸ μείζονα λόγον ἔχει ἤπερ τὸ ἔλασσον· καὶ τὸ αὐτὸ πρὸς

τὸ ἔλασσον μείζονα λόγον ἔχει ἤπερ πρὸς τὸ μεῖζον. ὅπερ ἔδει δεῖξαι.

31. Gleiche Verhältnisse mit gleichen Hinter- oder Vorder-Gliedern. § 54.

Τὰ πρὸς τὸ αὐτὸ τὸν αὐτὸν ἔχοντα λόγον ἴσα ἀλλήλοις ἐστίν· καὶ πρὸς ἃ τὸ αὐτὸ τὸν αὐτὸν ἔχει λόγον, ἐκεῖνα ἴσα ἐστίν (Fig. 30).

Ἐχέτω γὰρ ἑκάτερον τῶν Α, Β πρὸς τὸ Γ τὸν αὐτὸν λόγον· λέγω, ὅτι ἴσον ἐστὶ τὸ Α τῷ Β.

Εἰ γὰρ μή, οὐκ ἂν ἑκάτερον τῶν Α, Β πρὸς τὸ Γ τὸν αὐτὸν εἶχε λόγον· ἔχει δέ· ἴσον ἄρα ἐστὶ τὸ Α τῷ Β.

Ἐχέτω δὴ πάλιν τὸ Γ πρὸς ἑκάτερον τῶν Α, Β τὸν αὐτὸν λόγον· λέγω, ὅτι ἴσον ἐστὶ τὸ Α τῷ Β.

Εἰ γὰρ μή, οὐκ ἂν τὸ Γ πρὸς ἑκάτερον τῶν Α, Β τὸν αὐτὸν εἶχε λόγον· ἔχει δέ· ἴσον ἄρα ἐστὶ τὸ Α τῷ Β.

Τὰ ἄρα πρὸς τὸ αὐτὸ τὸν αὐτὸν ἔχοντα λόγον ἴσα ἀλλήλοις ἐστίν· καὶ πρὸς ἃ τὸ αὐτὸ τὸν αὐτὸν ἔχει λόγον, ἐκεῖνα ἴσα ἐστίν· ὅπερ ἔδει δεῖξαι.

32. Ungleiche Verhältnisse mit gleichen Hinter- oder Vorder-Gliedern. § 55.

Τῶν πρὸς τὸ αὐτὸ λόγον ἐχόντων τὸ μείζονα λόγον ἔχον ἐκεῖνο μεῖζόν ἐστιν· πρὸς ὃ δὲ τὸ αὐτὸ μείζονα λόγον ἔχει, ἐκεῖνο ἔλασσόν ἐστιν (Fig. 31).

---

7. Wir: 1. Wenn $a:c=b:c$, dann $a=b$; und 2. Wenn $a:b=a:c$, dann $b=c$. — **21.** Wir: 1. Wenn $a:c>b:c$, dann $a>b$; und 2. Wenn $a:b>a:c$, dann $b<c$.

Ἐχέτω γὰρ τὸ Α πρὸς τὸ Γ μείζονα λόγον ἤπερ τὸ Β πρὸς τὸ Γ· λέγω, ὅτι μεῖζόν ἐστι τὸ Α τοῦ Β.

Εἰ γὰρ μή, ἤτοι ἴσον ἐστὶ τὸ Α τῷ Β ἢ ἔλασσον. ἴσον μὲν οὖν οὐκ ἔστι τὸ Α τῷ Β· ἑκάτερον γὰρ ἂν τῶν Α, Β πρὸς τὸ Γ τὸν αὐτὸν εἶχε λόγον. οὐκ ἔχει δέ· οὐκ ἄρα ἴσον ἐστὶ τὸ Α τῷ Β. οὐδὲ μὴν ἔλασσόν ἐστι τὸ Α τοῦ Β· τὸ Α γὰρ ἂν πρὸς τὸ Γ ἐλάσσονα λόγον εἶχεν ἤπερ τὸ Β πρὸς τὸ Γ. οὐκ ἔχει δέ· οὐκ ἄρα ἔλασσόν ἐστι τὸ Α τοῦ Β. ἐδείχθη δὲ οὐδὲ ἴσον· μεῖζον ἄρα ἐστὶ τὸ Α τοῦ Β.

Ἐχέτω δὴ πάλιν τὸ Γ πρὸς τὸ Β μείζονα λόγον ἤπερ τὸ Γ πρὸς τὸ Α· λέγω, ὅτι ἔλασσόν ἐστι τὸ Β τοῦ Α.

Εἰ γὰρ μή, ἤτοι ἴσον ἐστὶν ἢ μεῖζον. ἴσον μὲν οὖν οὐκ ἔστι τὸ Β τῷ Α· τὸ Γ γὰρ ἂν πρὸς ἑκάτερον τῶν Α, Β τὸν αὐτὸν εἶχε λόγον. οὐκ ἔχει δέ· οὐκ ἄρα ἴσον ἐστὶ τὸ Α τῷ Β. οὐδὲ μὴν μεῖζόν ἐστι τὸ Β τοῦ Α· τὸ Γ γὰρ ἂν πρὸς τὸ Β ἐλάσσονα λόγον εἶχεν ἤπερ πρὸς τὸ Α. οὐκ ἔχει δέ· οὐκ ἄρα μεῖζόν ἐστι τὸ Β τοῦ Α. ἐδείχθη δέ, ὅτι οὐδὲ ἴσον· ἔλασσον ἄρα ἐστὶ τὸ Β τοῦ Α.

Τῶν ἄρα πρὸς τὸ αὐτὸ λόγον ἐχόντων τὸ μείζονα λόγον ἔχον μεῖζόν ἐστιν· καὶ πρὸς ὃ τὸ αὐτὸ μείζονα λόγον ἔχει, ἐκεῖνο ἔλασσόν ἐστιν· ὅπερ ἔδει δεῖξαι.

§ 56. **33. Drei gleiche Verhältnisse.**

Οἱ τῷ αὐτῷ λόγῳ οἱ αὐτοὶ καὶ ἀλλήλοις εἰσὶν οἱ αὐτοί (Fig. 32).

---

24. Wir: Wenn $a:b=c:d$, und ferner $c:d=e:f$, dann $a:b=e:f$.

Ἔστωσαν γὰρ ὡς μὲν τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ, ὡς δὲ τὸ Γ πρὸς τὸ Δ, οὕτως τὸ Ε πρὸς τὸ Ζ· λέγω, ὅτι ἐστὶν ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Ε πρὸς τὸ Ζ.

Εἰλήφθω γὰρ τῶν Α, Γ, Ε ἰσάκις πολλαπλάσια τὰ Η, Θ, Κ, τῶν δὲ Β, Δ, Ζ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Λ, Μ, Ν.

Καὶ ἐπεί ἐστιν ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ, καὶ εἴληπται τῶν μὲν Α, Γ ἰσάκις πολλαπλάσια τὰ Η, Θ, τῶν δὲ Β, Δ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Λ, Μ, εἰ ἄρα ὑπερέχει τὸ Η τοῦ Λ, ὑπερέχει καὶ τὸ Θ τοῦ Μ, καὶ εἰ ἴσον ἐστίν, ἴσον, καὶ εἰ ἐλλείπει, ἐλλείπει. πάλιν, ἐπεί ἐστιν ὡς τὸ Γ πρὸς τὸ Δ, οὕτως τὸ Ε πρὸς τὸ Ζ, καὶ εἴληπται τῶν Γ, Ε ἰσάκις πολλαπλάσια τὰ Θ, Κ, τῶν δὲ Δ, Ζ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Μ, Ν, εἰ ἄρα ὑπερέχει τὸ Θ τοῦ Μ, ὑπερέχει καὶ τὸ Κ τοῦ Ν, καὶ εἰ ἴσον, ἴσον, καὶ εἰ ἔλασσον, ἔλασσον. ἀλλὰ εἰ ὑπερεῖχε τὸ Θ τοῦ Μ, ὑπερεῖχε καὶ τὸ Η τοῦ Λ, καὶ εἰ ἴσον, ἴσον, καὶ εἰ ἔλασσον, ἔλασσον· ὥστε καὶ εἰ ὑπερέχει τὸ Η τοῦ Λ, ὑπερέχει καὶ τὸ Κ τοῦ Ν, καὶ εἰ ἴσον, ἴσον, καὶ εἰ ἔλασσον, ἔλασσον. καί ἐστι τὰ μὲν Η, Κ τῶν Α, Ε ἰσάκις πολλαπλάσια, τὰ δὲ Λ, Ν τῶν Β, Ζ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια· ἔστιν ἄρα ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Ε πρὸς τὸ Ζ.

Οἱ ἄρα τῷ αὐτῷ λόγῳ οἱ αὐτοὶ καὶ ἀλλήλοις εἰσὶν οἱ αὐτοί· ὅπερ ἔδει δεῖξαι.

§ 57. 34. Umformung fortlaufender Proportionen durch Addition.

Ἐὰν ᾖ ὁποσαοῦν μεγέθη ἀνάλογον, ἔσται ὡς ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων, οὕτως ἅπαντα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ ἑπόμενα (Fig. 33).

Ἔστωσαν ὁποσαοῦν μεγέθη ἀνάλογον τὰ Α, Β, Γ, Δ, Ε, Ζ, ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ, καὶ τὸ Ε πρὸς τὸ Ζ· λέγω, ὅτι ἐστὶν ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὰ Α, Γ, Ε πρὸς τὰ Β, Δ, Ζ.

Εἰλήφθω γὰρ τῶν μὲν Α, Γ, Ε ἰσάκις πολλαπλάσια τὰ Η, Θ, Κ, τῶν δὲ Β, Δ, Ζ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Λ, Μ, Ν.

Καὶ ἐπεί ἐστιν ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ, καὶ τὸ Ε πρὸς τὸ Ζ, καὶ εἴληπται τῶν μὲν Α, Γ, Ε ἰσάκις πολλαπλάσια τὰ Η, Θ, Κ τῶν δὲ Β, Δ, Ζ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Λ, Μ, Ν, εἰ ἄρα ὑπερέχει τὸ Η τοῦ Λ, ὑπερέχει καὶ τὸ Θ τοῦ Μ, καὶ τὸ Κ τοῦ Ν, καὶ εἰ ἴσον, ἴσον, καὶ εἰ ἔλασσον, ἔλασσον. ὥστε καὶ εἰ ὑπερέχει τὸ Η τοῦ Λ, ὑπερέχει καὶ τὰ Η, Θ, Κ τῶν Λ, Μ, Ν, καὶ εἰ ἴσον, ἴσα, καὶ εἰ ἔλασσον, ἐλάσσονα. καί ἐστι τὸ μὲν Η καὶ τὰ Η, Θ, Κ τοῦ Α καὶ τῶν Α, Γ, Ε ἰσάκις πολλαπλάσια, ἐπειδήπερ ἐὰν ᾖ ὁποσαοῦν μεγέθη ὁποσωνοῦν μεγεθῶν ἴσων τὸ πλῆθος ἕκαστον ἑκάστου ἰσάκις πολλαπλάσιον, ὁσαπλάσιόν ἐστιν ἓν τῶν μεγεθῶν ἑνός, τοσαυταπλάσια ἔσται καὶ τὰ πάντα

---

2. Wir: Wenn $a:b = c:d = e:f$, dann $a:b = a+c+e : b+d+f$. Eine Erweiterung des § 48.

τῶν πάντων. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ Λ καὶ τὰ Λ, Μ, Ν τοῦ Β καὶ τῶν Β, Δ, Ζ ἰσάκις ἐστὶ πολλαπλάσια· ἔστιν ἄρα ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὰ Α, Γ, Ε πρὸς τὰ Β, Δ, Ζ.

Ἐὰν ἄρα ᾖ ὁποσαοῦν μεγέθη ἀνάλογον, ἔσται ὡς ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων, οὕτως ἅπαντα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ ἑπόμενα· ὅπερ ἔδει δεῖξαι.

35. Gröſsen-Vergleichung der Vorder- und Hinter-Glieder. § 58.

Ἐὰν *πρῶτον πρὸς δεύτερον τὸν αὐτὸν ἔχῃ λόγον καὶ τρίτον πρὸς τέταρτον, τὸ δὲ πρῶτον τοῦ τρίτου μεῖζον ᾖ, καὶ τὸ δεύτερον τοῦ τετάρτου μεῖζον ἔσται, κἂν ἴσον, ἴσον, κἂν ἔλασσον, ἔλασσον* (Fig. 34).

Πρῶτον γὰρ τὸ Α πρὸς δεύτερον τὸ Β τὸν αὐτὸν ἐχέτω λόγον καὶ τρίτον τὸ Γ πρὸς τέταρτον τὸ Δ, μεῖζον δὲ ἔστω τὸ Α τοῦ Γ· λέγω, ὅτι καὶ τὸ Β τοῦ Δ μεῖζόν ἐστιν.

Ἐπεὶ γὰρ τὸ Α τοῦ Γ μεῖζόν ἐστιν, ἄλλο δέ, ὃ ἔτυχεν, μέγεθος τὸ Β, τὸ Α ἄρα πρὸς τὸ Β μείζονα λόγον ἔχει ἤπερ τὸ Γ πρὸς τὸ Β. ὡς δὲ τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Γ πρὸς τὸ Δ, καὶ τὸ Γ ἄρα πρὸς τὸ Δ μείζονα λόγον ἔχει ἤπερ τὸ Γ πρὸς τὸ Β. πρὸς ὃ δὲ τὸ αὐτὸ μείζονα λόγον ἔχει, ἐκεῖνο ἔλασσόν ἐστιν· ἔλασσον ἄρα τὸ Δ τοῦ Β· ὥστε μεῖζόν ἐστι Β τοῦ Δ.

---

9. Wir: Wenn $a:b=c:d$, und ferner $a \gtreqless c$, dann auch $b \gtreqless d$. Erweiterung der zweiten Hälfte des § 54.

Ὁμοίως δὴ δείξομεν, ὅτι, κἂν ἴσον ᾖ τὸ Α τῷ Γ, ἴσον ἔσται καὶ τὸ Β τῷ Δ, κἂν ἔλασσον ᾖ τὸ Α τοῦ Γ, ἔλασσον ἔσται καὶ τὸ Β τοῦ Δ.

Ἐὰν ἄρα πρῶτον πρὸς δεύτερον τὸν αὐτὸν ἔχῃ λόγον καὶ τρίτον πρὸς τέταρτον, τὸ δὲ πρῶτον τοῦ τρίτου μεῖζον ᾖ, καὶ τὸ δεύτερον τοῦ τετάρτου μεῖζον ἔσται, κἂν ἴσον, ἴσον, κἂν ἔλασσον, ἔλασσον· ὅπερ ἔδει δεῖξαι.

§ 59. **36. Erweiterung eines Verhältnisses.**

Τὰ μέρη τοῖς ὡσαύτως πολλαπλασίοις τὸν αὐτὸν ἔχει λόγον ληφθέντα κατάλληλα (Fig. 35).

Ἔστω γὰρ ἰσάκις πολλαπλάσιον τὸ ΑΒ τοῦ Γ καὶ τὸ ΔΕ τοῦ Ζ· λέγω, ὅτι ἐστὶν ὡς τὸ Γ πρὸς τὸ Ζ, οὕτως τὸ ΑΒ πρὸς τὸ ΔΕ.

Ἐπεὶ γὰρ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΑΒ τοῦ Γ καὶ τὸ ΔΕ τοῦ Ζ, ὅσα ἄρα ἐστὶν ἐν τῷ ΑΒ μεγέθη ἴσα Γ, τοσαῦτα καὶ ἐν τῷ ΔΕ ἴσα τῷ Ζ. διῃρήσθω τὸ μὲν ΑΒ εἰς τὰ τῷ Γ ἴσα τὰ ΑΗ, ΗΘ, ΘΒ, τὸ δὲ ΔΕ εἰς τὰ τῷ Ζ ἴσα τὰ ΔΚ, ΚΛ, ΛΕ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΑΗ, ΗΘ, ΘΒ τῷ πλήθει τῶν ΔΚ, ΚΛ, ΛΕ. καὶ ἐπεὶ ἴσα ἐστὶ τὰ ΑΗ, ΗΘ, ΘΒ ἀλλήλοις, ἔστι δὲ καὶ τὰ ΔΚ, ΚΛ, ΛΕ ἴσα ἀλλήλοις, ἔστιν ἄρα ὡς τὸ ΑΗ πρὸς τὸ ΔΚ, οὕτως τὸ ΗΘ πρὸς τὸ ΚΛ, καὶ τὸ ΘΒ πρὸς τὸ ΛΕ. ἔσται ἄρα καὶ ὡς ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων, οὕτως ἅπαντα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ ἑπόμενα· ἔστιν ἄρα ὡς τὸ ΑΗ πρὸς τὸ ΔΚ, οὕτως

---

9. Wir: $a : b = an : bn$.

τὸ *AB* πρὸς τὸ *ΔE*. ἴσον δὲ τὸ μὲν *AH* τῷ *Γ*, τὸ δὲ *ΔK* τῷ *Z*· ἔστιν ἄρα ὡς τὸ *Γ* πρὸς τὸ *Z* οὕτως τὸ *AB* πρὸς τὸ *ΔE*.

Τὰ ἄρα μέρη τοῖς ὡσαύτως πολλαπλασίοις τὸν αὐτὸν ἔχει λόγον ληφθέντα κατάλληλα· ὅπερ ἔδει δεῖξαι.

37. Vertauschung der Innenglieder. § 60.

Ἐὰν τέσσαρα μεγέθη ἀνάλογον ᾖ, καὶ ἐναλλὰξ ἀνάλογον ἔσται (Fig. 36).

Ἔστω τέσσαρα μεγέθη ἀνάλογον τὰ *A*, *B*, *Γ*, *Δ*, ὡς τὸ *A* πρὸς τὸ *B*, οὕτως τὸ *Γ* πρὸς τὸ *Δ*· λέγω, ὅτι καὶ ἐναλλὰξ ἀνάλογον ἔσται, ὡς τὸ *A* πρὸς τὸ *Γ*, οὕτως τὸ *B* πρὸς τὸ *Δ*.

Εἰλήφθω γὰρ τῶν μὲν *A*, *B* ἰσάκις πολλαπλάσια τὰ *E*, *Z*, τῶν δὲ *Γ*, *Δ* ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ *H*, *Θ*.

Καὶ ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ *E* τοῦ *A* καὶ τὸ *Z* τοῦ *B*, τὰ δὲ μέρη τοῖς ὡσαύτως πολλαπλασίοις τὸν αὐτὸν ἔχει λόγον, ἔστιν ἄρα ὡς τὸ *A* πρὸς τὸ *B*, οὕτως τὸ *E* πρὸς τὸ *Z*. ὡς δὲ τὸ *A* πρὸς τὸ *B*, οὕτως τὸ *Γ* πρὸς τὸ *Δ*· καὶ ὡς ἄρα τὸ *Γ* πρὸς τὸ *Δ*, οὕτως τὸ *E* πρὸς τὸ *Z*. πάλιν, ἐπεὶ τὰ *H*, *Θ* τῶν *Γ*, *Δ* ἰσάκις ἐστὶ πολλαπλάσια, ἔστιν ἄρα ὡς τὸ *Γ* πρὸς τὸ *Δ*, οὕτως τὸ *H* πρὸς τὸ *Θ*. ὡς δὲ τὸ *Γ* πρὸς τὸ *Δ*, οὕτως τὸ *E* πρὸς τὸ *Z*· καὶ ὡς ἄρα τὸ *E* πρὸς τὸ *Z*, οὕτως τὸ *H* πρὸς τὸ *Θ*. ἐὰν δὲ τέσσαρα μεγέθη ἀνάλογον ᾖ, τὸ δὲ πρῶτον τοῦ τρίτου μεῖζον ᾖ, καὶ τὸ δεύτερον τοῦ τετάρτου μεῖζον

---

7. Wir: Wenn $a:b=c:d$, dann $a:c=b:d$.

ᾖ, ἔσται, κἂν ἴσον, ἴσον, κἂν ἔλασσον, ἔλασσον. εἰ ἄρα ὑπερέχει τὸ Ε τοῦ Η, ὑπερέχει καὶ τὸ Ζ τοῦ Θ, καὶ εἰ ἴσον, ἴσον, καὶ εἰ ἔλασσον, ἔλασσον· καί ἐστι τὰ μὲν Ε, Ζ τῶν Α, Β ἰσάκις πολλαπλάσια, τὰ δὲ Η, Θ τῶν Γ, Δ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια· ἔστιν ἄρα ὡς τὸ Α πρὸς τὸ Γ, οὕτως τὸ Β πρὸς τὸ Δ.

Ἐὰν ἄρα τέσσαρα μεγέθη ἀνάλογον ᾖ, καὶ ἐναλλὰξ ἀνάλογον ἔσται. ὅπερ ἔδει δεῖξαι.

38. Gröfsen-Vergleichung der Glieder einer fortlaufenden Proportion.

§ 61. **A.**

Ἐὰν ᾖ τρία μεγέθη καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος, σύνδυο λαμβανόμενα καὶ ἐν τῷ αὐτῷ λόγῳ, δι' ἴσου δὲ τὸ πρῶτον τοῦ τρίτου μεῖζον ᾖ, καὶ τὸ τέταρτον τοῦ ἕκτου μεῖζον ἔσται, κἂν ἴσον, ἴσον, κἂν ἔλασσον, ἔλασσον (Fig. 37).

Ἔστω τρία μεγέθη τὰ Α, Β, Γ, καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος τὰ Δ, Ε, Ζ, σύνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ, ὡς μὲν τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Δ πρὸς τὸ Ε, ὡς δὲ τὸ Β πρὸς τὸ Γ, οὕτως τὸ Ε πρὸς τὸ Ζ, δι' ἴσου δὲ μεῖζον ἔστω τὸ Α τοῦ Γ· λέγω, ὅτι καὶ τὸ Δ τοῦ Ζ μεῖζον ἔσται, κἂν ἴσον, ἴσον, κἂν ἔλασσον, ἔλασσον.

Ἐπεὶ γὰρ μεῖζόν ἐστι τὸ Α τοῦ Γ, ἄλλο δέ τι τὸ Β, τὸ δὲ μεῖζον πρὸς τὸ αὐτὸ μείζονα λόγον ἔχει ἤπερ τὸ

---

12. Wir: Wenn $a : b : c = d : e : f$, und ferner $a \gtreqless c$, dann auch $c \gtreqless f$. Erweiterung des § 58.

ἔλαττον, τὸ *Α* ἄρα πρὸς τὸ *Β* μείζονα λόγον ἔχει ἤπερ τὸ *Γ* πρὸς τὸ *Β*. ἀλλ' ὡς μὲν τὸ *Α* πρὸς τὸ *Β*, οὕτως τὸ *Δ* πρὸς τὸ *Ε*, ὡς δὲ τὸ *Γ* πρὸς τὸ *Β*, ἀνάπαλιν οὕτως τὸ *Ζ* πρὸς τὸ *Ε*· καὶ τὸ *Δ* ἄρα πρὸς τὸ *Ε* μείζονα λόγον ἔχει ἤπερ τὸ *Ζ* πρὸς τὸ *Ε*. τῶν δὲ πρὸς τὸ αὐτὸ λόγον ἐχόντων το μείζονα λόγον ἔχον μεῖζόν ἐστιν. μεῖζον ἄρα *Δ* τοῦ *Ζ*. ὁμοίως δὴ δείξομεν, ὅτι, κἂν ἴσον ᾖ τὸ *Α* τῷ *Γ*, ἴσον ἔσται καὶ τὸ *Δ* τῷ *Ζ*, κἂν ἔλασσον, ἔλασσον.

Ἐὰν ἄρα ᾖ τρία μεγέθη καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος, σύνδυο λαμβανόμενα καὶ ἐν τῷ αὐτῷ λόγῳ, δι' ἴσαυ δὲ τὸ πρῶτον τοῦ τρίτου μεῖζον ᾖ, καὶ τὸ τέταρτον τοῦ ἕκτου μεῖζον ἔσται, κἂν ἴσον, ἴσον, κἂν ἔλασσον, ἔλασσον· ὅπερ ἔδει δεῖξαι.

B. **§ 62.**

Ἐὰν ᾖ ὁποσαοῦν μεγέθη καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος, σύνδυο λαμβανόμενα καὶ ἐν τῷ αὐτῷ λόγῳ, καὶ δι' ἴσου ἐν τῷ αὐτῷ λόγῳ ἔσται (Fig. 38).

Ἔστω ὁποσαοῦν μεγέθη τὰ *Α*, *Β*, *Γ* καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος τὰ *Δ*, *Ε*, *Ζ*, σύνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ, ὡς μὲν τὸ *Α* πρὸς τὸ *Β*, οὕτως τὸ *Δ*, πρὸς τὸ *Ε*, ὡς δὲ τὸ *Β* πρὸς τὸ *Γ*, οὕτως τὸ *Ε*, πρὸς τὸ *Ζ*· λέγω, ὅτι καὶ δι' ἴσου ἐν τῷ αὐτῷ λόγῳ ἔσται.

---

17. Wir: Wenn $a:b:c = d:e:f$, dann $a:c = d:f$. Im Grunde genommen nur ein anderer Ausdruck für § 61. — **19.** *Δι' ἴσου λόγος* erklärt Euclid (lib. 5 def. 17) als *λῆψις τῶν ἄκρων* (a, c, d, f) *καθ' ὑπεξαίρεσιν* (Auslassung) *τῶν μέσων* (b, e). Es ist also *δι' ἴσου* soviel wie: alle Gröfsen ‚gleichmäfsig, über einen Kamm geschoren'.

Εἰλήφθω γὰρ τῶν μὲν Α, Δ ἰσάκις πολλαπλάσια τὰ Η, Θ, τῶν δὲ Β, Ε ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Κ, Λ, καὶ ἔτι τῶν Γ, Ζ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλπλάσια τὰ Μ, Ν.

Καὶ ἐπεί ἐστιν ὡς τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Δ πρὸς τὸ Ε, καὶ εἴληπται τῶν Α, Δ ἰσάκις πολλαπλάσια τὰ Η, Θ, τῶν δὲ Β, Ε ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Κ, Λ, ἔστιν ἄρα ὡς τὸ Η πρὸς τὸ Κ, οὕτως τὸ Θ πρὸς τὸ Λ. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς τὸ Κ πρὸς τὸ Μ, οὕτως τὸ Λ πρὸς τὸ Ν. ἐπεὶ οὖν τρία μεγέθη ἐστὶ τὰ Η, Κ, Μ, καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος τὰ Θ, Λ, Ν, σύνδυο λαμβανόμενα καὶ ἐν τῷ αὐτῷ λόγῳ, δι' ἴσου ἄρα, εἰ ὑπερέχει τὸ Η τοῦ Μ, ὑπερέχει καὶ τὸ Θ τοῦ Ν, καὶ εἰ ἴσον, ἴσον, καὶ εἰ ἔλασσον, ἔλασσον. καί ἐστι τὰ μὲν Η, Θ τῶν Α, Δ ἰσάκις πολλαπλάσια, τὰ δὲ Μ, Ν τῶν Γ, Ζ ἄλλα, ἃ ἔτυχεν, πολλαπλάσια. ἔστιν ἄρα ὡς τὸ Α πρὸς τὸ Γ, οὕτως τὸ Δ πρὸς τὸ Ζ.

Ἐὰν ἄρα ᾖ ὁποσαοῦν μεγέθη καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος, σύνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ, καὶ δι' ἴσου ἐν τῷ αὐτῷ λόγῳ· ὅπερ ἔδει δεῖξαι.

X. Ähnlichkeit der Dreiecke.

§ 63. 39. Dreiecke von gleicher Höhe.

Τὰ τρίγωνα τὰ ὑπὸ αὐτὸ ὕψος ὄντα πρὸς ἄλληλά ἐστιν ὡς αἱ βάσεις (Fig. 39).

23. Im Euclid heifst der Satz vollständiger: Dreiecke und Parallelogramme von gleicher Höhe verhalten sich wie ihre Grundlinien. Die zweite Hälfte beweist er mit Hilfe des § 42.

Ἔστω τρίγωνα μὲν τὰ ΑΒΓ, ΑΓΔ ὑπὸ τὸ αὐτὸ ὕψος τὸ ΑΓ· λέγω, ὅτι ἐστὶν ὡς ἡ ΒΓ βάσις πρὸς τὴν ΓΔ βάσιν, οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΓΔ τρίγωνον.

Ἐκβεβλήσθω γὰρ ἡ ΒΔ ἐφ' ἑκάτερα τὰ μέρη ἐπὶ τὰ Θ, Λ σημεῖα, καὶ κείσθωσαν τῇ μὲν ΒΓ βάσει ἴσαι ὁσαιδηποτοῦν αἱ ΒΗ, ΗΘ, τῇ δὲ ΓΔ βάσει ἴσαι ὁσαιδηποτοῦν αἱ ΔΚ, ΚΛ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΗ, ΑΘ, ΑΚ, ΑΛ.

Καὶ ἐπεὶ ἴσαι εἰσὶν αἱ ΓΒ, ΒΗ, ΗΘ ἀλλήλαις, ἴσα ἐστὶ καὶ τὰ ΑΘΗ, ΑΗΒ, ΑΒΓ τρίγωνα ἀλλήλοις. ὁσαπλασίων ἄρα ἐστὶν ἡ ΘΓ βάσις τῆς ΒΓ βάσεως, τοσαυταπλάσιόν ἐστι καὶ τὸ ΑΘΓ τρίγωνον τοῦ ΑΒΓ τριγώνου. διὰ τὰ αὐτὰ δὴ ὁσαπλασίων ἐστὶν ἡ ΛΓ βάσις τῆς ΓΔ βάσεως, τοσαυταπλάσιόν ἐστι καὶ τὸ ΑΛΓ τρίγωνον τοῦ ΑΓΔ τριγώνου· καὶ εἰ ἴση ἐστὶν ἡ ΘΓ βάσις τῇ ΓΛ βάσει, ἴσον ἐστὶ καὶ τὸ ΑΘΓ τρίγωνον τῷ ΑΓΛ τριγώνῳ, καὶ εἰ ὑπερέχει ἡ ΘΓ βάσις τῆς ΓΛ βάσεως, ὑπερέχει καὶ τὸ ΑΘΓ τρίγωνον τοῦ ΑΓΛ τριγώνου, καὶ εἰ ἐλάσσων, ἔλασσον. τεσσάρων δὴ ὄντων μεγεθῶν δύο μὲν βάσεων τῶν ΒΓ, ΓΔ, δύο δὲ τριγώνων τῶν ΑΒΓ, ΑΓΔ εἴληπται ἰσάκις πολλαπλάσια τῆς μὲν ΒΓ βάσεως καὶ τοῦ ΑΒΓ τριγώνου ἥ τε ΘΓ βάσις καὶ τὸ ΑΘΓ τρίγωνον, τῆς δὲ ΓΔ βάσεως καὶ τοῦ ΑΔΓ τριγώνου ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια ἥ τε ΛΓ βάσις καὶ τὸ ΑΛΓ τρίγωνον· καὶ δέδεικται, ὅτι, εἰ ὑπερέχει ἡ ΘΓ βάσις τῆς ΓΛ βάσεως, ὑπερέχει καὶ τὸ ΑΘΓ τρίγωνον τοῦ ΑΛΓ τριγώνου, καὶ

εἰ ἴση, ἴσον, καὶ εἰ ἐλάσσων, ἔλασσον· ἔστιν ἄρα ὡς ἡ ΒΓ βάσις πρὸς τὴν ΓΔ βάσιν, οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΓΔ τρίγωνον.

Τὰ ἄρα τρίγωνα τὰ ὑπὸ τὸ αὐτὸ ὕψος ὄντα πρὸς ἄλληλά ἐστιν ὡς αἱ βάσεις· ὅπερ ἔδει δεῖξαι.

§ 64. 40. Parallelen zwischen den Schenkeln eines Winkels.

Ἐὰν τριγώνου παρὰ μίαν τῶν πλευρῶν ἀχθῇ τις εὐθεῖα, ἀνάλογον τεμεῖ τὰς τοῦ τριγώνου πλευράς· καὶ ἐὰν αἱ τοῦ τριγώνου πλευραὶ ἀνάλογον τμηθῶσιν, ἡ ἐπὶ τὰς τομὰς ἐπιζευγνυμένη εὐθεῖα παρὰ τὴν λοιπὴν ἔσται τοῦ τριγώνου πλευράν (Fig. 40).

Τριγώνου γὰρ τοῦ ΑΒΓ παράλληλος μιᾷ τῶν πλευρῶν τῇ ΒΓ ἤχθω ἡ ΔΕ· λέγω, ὅτι ἐστὶν ὡς ἡ ΒΔ πρὸς τὴν ΔΑ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΑ.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΒΕ, ΓΔ.

Ἴσον ἄρα ἐστὶ τὸ ΒΔΕ τρίγωνον τῷ ΓΔΕ τριγώνῳ· ἐπὶ γὰρ τῆς αὐτῆς βάσεώς ἐστι τῆς ΔΕ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΔΕ, ΒΓ· ἄλλο δέ τι τὸ ΑΔΕ τρίγωνον. τὰ δὲ ἴσα πρὸς τὸ αὐτὸ τὸν αὐτὸν ἔχει λόγον· ἔστιν ἄρα ὡς τὸ ΒΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ τρίγωνον, οὕτως τὸ ΓΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ τρίγωνον. ἀλλ' ὡς μὲν τὸ ΒΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ οὕτως ἡ ΒΔ πρὸς τὴν ΔΑ·

---

7. Wir: Zieht man im Dreieck zu einer Seite eine Parallele, so teilt sie die beiden anderen Seiten proportional. Und umgekehrt. — 7. *Παρὰ μίαν* parallel zu einer Seite. Vgl. § 2d.

ὑπὸ γὰρ τὸ αὐτὸ ὕψος ὄντα τὴν ἀπὸ τοῦ Ε ἐπὶ τὴν ΑΒ κάθετον ἀγομένην πρὸς ἄλληλά εἰσιν ὡς αἱ βάσεις. διὰ τὰ αὐτὰ δὴ ὡς τὸ ΓΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΑ· καὶ ὡς ἄρα ἡ ΒΔ πρὸς τὴν ΔΑ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΑ.

Ἀλλὰ δὴ αἱ τοῦ ΑΒΓ τριγώνου πλευραὶ αἱ ΑΒ, ΑΓ ἀνάλογον τετμήσθωσαν, ὡς ἡ ΒΔ πρὸς τὴν ΔΑ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΑ, καὶ ἐπεζεύχθω ἡ ΔΕ· λέγω, ὅτι παράλληλός ἐστιν ἡ ΔΕ τῇ ΒΓ.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ἐπεί ἐστιν ὡς ἡ ΒΔ πρὸς τὴν ΔΑ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΑ, ἀλλʼ ὡς μὲν ἡ ΒΔ πρὸς τὴν ΔΑ, οὕτως τὸ ΒΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ τρίγωνον, ὡς δὲ ἡ ΓΕ πρὸς τὴν ΕΑ, οὕτως τὸ ΓΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ τρίγωνον, καὶ ὡς ἄρα τὸ ΒΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ τρίγωνον, οὕτως τὸ ΓΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ τρίγωνον. ἑκάτερον ἄρα τῶν ΒΔΕ, ΓΔΕ τριγώνων πρὸς τὸ ΑΔΕ τὸν αὐτὸν ἔχει λόγον. ἴσον ἄρα ἐστὶ τὸ ΒΔΕ τρίγωνον τῷ ΓΔΕ τριγώνῳ· καί εἰσιν ἐπὶ τῆς αὐτῆς βάσεως τῆς ΔΕ. τὰ δὲ ἴσα τρίγωνα καὶ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν. παράλληλος ἄρα ἐστὶν ἡ ΔΕ τῇ ΒΓ.

Ἐὰν ἄρα τριγώνου παρὰ μίαν τῶν πλευρῶν ἀχθῇ τις εὐθεῖα, ἀνάλογον τεμεῖ τὰς τοῦ τριγώνου πλευράς· καὶ ἐὰν αἱ τοῦ τριγώνου πλευραὶ ἀνάλογον τμηθῶσιν, ἡ ἐπὶ τὰς τομὰς ἐπιζευγνυμένη εὐθεῖα παρὰ τὴν λοιπὴν ἔσται τοῦ τριγώνου πλευράν· ὅπερ ἔδει δεῖξαι.

§ 65. **41. Zweiter Ähnlichkeitssatz.**

Τῶν ἰσογωνίων τριγώνων ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας καὶ ὁμόλογοι αἱ ὑπὸ τὰς ἴσας γωνίας ὑποτείνουσαι (Fig. 41).

Ἔστω ἰσογώνια τρίγωνα τὰ ΑΒΓ, ΔΓΕ ἴσην ἔχοντα τὴν μὲν ὑπὸ ΑΒΓ γωνίαν τῇ ὑπὸ ΔΓΕ, τὴν δὲ ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΓΔΕ καὶ ἔτι τὴν ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΓΕΔ· λέγω, ὅτι τῶν ΑΒΓ, ΔΓΕ τριγώνων ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας καὶ ὁμόλογοι αἱ ὑπὸ τὰς ἴσας γωνίας ὑποτείνουσαι.

Κείσθω γὰρ ἐπ' εὐθείας ἡ ΒΓ τῇ ΓΕ. καὶ ἐπεὶ αἱ ὑπὸ ΑΒΓ, ΑΓΒ γωνίαι δύο ὀρθῶν ἐλάσσονές εἰσιν, ἴση δὲ ἡ ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΔΕΓ, αἱ ἄρα ὑπὸ ΑΒΓ, ΔΕΓ δύο ὀρθῶν ἐλάσσονές εἰσιν· αἱ ΒΑ, ΕΔ ἄρα ἐκβαλλόμεναι συμπεσοῦνται. ἐκβεβλήσθωσαν καὶ συμπιπτέτωσαν κατὰ τὸ Ζ.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΔΓΕ γωνία τῇ ὑπὸ ΑΒΓ, παράλληλός ἐστιν ἡ ΒΖ τῇ ΓΔ. πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΔΕΓ, παράλληλός ἐστιν ἡ ΑΓ τῇ ΖΕ. παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΖΑΓΔ· ἴση ἄρα ἡ μὲν ΖΑ τῇ ΔΓ, ἡ δὲ ΑΓ τῇ ΖΔ. καὶ ἐπεὶ τριγώνου τοῦ ΖΒΕ παρὰ μίαν τὴν ΖΕ ἦκται ἡ ΑΓ, ἔστιν ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΖ, οὕτως ἡ ΒΓ πρὸς τὴν ΓΕ. ἴση δὲ ἡ ΑΖ τῇ ΓΔ· ὡς ἄρα ἡ ΒΑ πρὸς τὴν ΓΔ, οὕτως ἡ

2. Wir: Dreiecke sind ähnlich, wenn zwei Winkel des einen zwei Winkeln des anderen gleich sind. Dieser wie der dritte Ähnlichkeitssatz steht bei Euclid vor dem ‚ersten' Ähnlichkeitssatze.

ΒΓ πρὸς τὴν ΓΕ, καὶ ἐναλλὰξ ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως ἡ ΔΓ πρὸς τὴν ΓΕ. πάλιν, ἐπεὶ παράλληλός ἐστιν ἡ ΓΔ τῇ ΒΖ, ἔστιν ἄρα ὡς ἡ ΒΓ πρὸς τὴν ΓΕ, οὕτως ἡ ΖΔ πρὸς τὴν ΔΕ. ἴση δὲ ἡ ΖΔ τῇ ΑΓ· ὡς ἄρα ἡ ΒΓ πρὸς τὴν ΓΕ, οὕτως ἡ ΑΓ πρὸς τὴν ΔΕ, καὶ ἐναλλὰξ ὡς ἡ ΒΓ πρὸς τὴν ΓΑ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΔ. ἐπεὶ οὖν ἐδείχθη ὡς μὲν ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως ἡ ΔΓ πρὸς τὴν ΓΕ, ὡς δὲ ἡ ΒΓ πρὸς τὴν ΓΑ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΔ, δι' ἴσου ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ, οὕτως ἡ ΓΔ πρὸς τὴν ΔΕ.

Τῶν ἄρα ἰσογωνίων τριγώνων ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας καὶ ὁμόλογοι αἱ ὑπὸ τὰς ἴσας γωνίας ὑποτείνουσαι· ὅπερ ἔδει δεῖξαι.

42. Dritter Ähnlichkeitssatz. § 66.

Ἐὰν δύο τρίγωνα τὰς πλευρὰς ἀνάλογον ἔχῃ, ἰσογώνια ἔσται τὰ τρίγωνα καὶ ἴσας ἕξει τὰς γωνίας, ὑφ' ἃς αἱ ὁμόλογοι πλευραὶ ὑποτείνουσιν (Fig. 42).

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ τὰς πλευρὰς ἀνάλογον ἔχοντα, ὡς μὲν τὴν ΑΒ πρὸς τὴν ΒΓ, οὕτως τὴν ΔΕ πρὸς τὴν ΕΖ, ὡς δὲ τὴν ΒΓ πρὸς τὴν ΓΑ, οὕτως τὴν ΕΖ πρὸς τὴν ΖΔ. καὶ ἔτι ὡς τὴν ΒΑ πρὸς τὴν ΑΓ, οὕτως τὴν ΕΔ πρὸς τὴν ΔΖ. λέγω, ὅτι ἰσογώνιόν ἐστι τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ καὶ ἴσας ἕξουσι τὰς γωνίας, ὑφ' ἃς αἱ ὁμόλογοι πλευραὶ ὑποτείνουσιν, τὴν μὲν ὑπὸ ΑΒΓ

τῇ ὑπὸ ΔΕΖ, τὴν δὲ ὑπὸ ΒΓΑ τῇ ὑθὸ ΕΖΔ καὶ ἔτι τὴν ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΕΔΖ.

Συνεστάτω γὰρ πρὸς τῇ ΕΖ εὐθείᾳ καὶ τοῖς πρὸς αὐτῇ σημείοις τοῖς Ε, Ζ τῇ μὲν ὑπὸ ΑΒΓ γωνίᾳ ἴση ἡ ὑπὸ ΖΕΗ, τῇ δὲ ὑπὸ ΑΓΒ ἴση ὑπὸ ΕΖΗ· λοιπὴ ἄρα ἡ πρὸς τῷ Α λοιπῇ τῇ πρὸς τῷ Η ἐστιν ἴση.

Ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΕΗΖ τριγώνῳ. τῶν ἄρα ΑΒΓ, ΕΗΖ τριγώνων ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας καὶ ὁμόλογοι αἱ ὑπὸ τὰς ἴσας ὑπὸ τὰς ἴσας γωνίας ὑποτείνουσαι· ἔστιν ἄρα ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως ἡ ΗΕ πρὸς τὴν ΕΖ. ἀλλ' ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως ὑπόκειται ἡ ΔΕ πρὸς τὴν ΕΖ· ὡς ἄρα ἡ ΔΕ πρὸς τὴν ΕΖ, οὕτως ἡ ΗΕ πρὸς τὴν ΕΖ. ἑκατέρα ἄρα τῶν ΔΕ, ΗΕ πρὸς τὴν ΕΖ τὸν αὐτὸν ἔχει λόγον· ἴση ἄρα ἐστὶν ἡ ΔΕ τῇ ΗΕ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΔΖ τῇ ΗΖ ἐστιν ἴση. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΔΕ τῇ ΕΗ, κοινὴ δὲ ἡ ΕΖ, δύο δὴ αἱ ΔΕ, ΕΖ δυσὶ ταῖς ΗΕ, ΕΖ ἴσαι εἰσίν· καὶ βάσις ἡ ΔΖ βάσει τῇ ΖΗ ἐστιν ἴση· γωνία ἄρα ἡ ὑπὸ ΔΕΖ γωνίᾳ τῇ ὑπὸ ΗΕΖ ἐστιν ἴση, καὶ τὸ ΔΕΖ τρίγωνον τῷ ΗΕΖ τριγώνῳ ἴσον, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν. ἴση ἄρα ἐστὶ καὶ ἡ μὲν ὑπὸ ΔΖΕ γωνία τῇ ὑπὸ ΗΖΕ, ἡ δὲ ὑπὸ ΕΔΖ τῇ ὑπὸ ΕΗΖ. καὶ ἐπεὶ ἡ μὲν ὑπὸ ΖΕΔ τῇ ὑπὸ ΗΕΖ ἐστιν ἴση, ἀλλ' ἡ ὑπὸ ΗΕΖ τῇ ὑπὸ ΑΒΓ, καὶ ἡ ὑπὸ

3. *Συνεστάτω* es sei zusammengestellt = man trage an. — 12. *Ὑπόκειται* ist vorausgesetzt (Pf. Pass. von *ὑποτίθημι*).

ΑΒΓ ἄρα γωνία τῇ ὑπὸ ΔΕΖ ἐστιν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΔΖΕ ἐστιν ἴση, καὶ ἔτι ἡ πρὸς τῷ Α τῇ πρὸς τῷ Δ· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ.

Ἐὰν ἄρα δύο τρίγωνα τὰς πλευρὰς ἀνάλογον ἔχῃ, ἰσογώνια ἔσται τὰ τρίγωνα καὶ ἴσας ἕξει τὰς γωνίας, ὑφ' ἃς αἱ ὁμόλογοι πλευραὶ ὑποτείνουσιν· ὅπερ ἔδει δεῖξαι.

43. Erster Ähnlichkeitssatz. § 67.

Ἐὰν δύο τρίγωνα μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἔχῃ, περὶ δὲ τὰς ἴσας γωνίας τὰς πλευρὰς ἀνάλογον, ἰσογώνια ἔσται τὰ τρίγωνα καὶ ἴσας ἕξει τὰς γωνίας, ὑφ' ἃς αἱ ὁμόλογοι πλευραὶ ὑποτείνουσιν (Fig. 43).

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ μίαν γωνίαν τὴν ὑπὸ ΒΑΓ μιᾷ γωνίᾳ τῇ ὑπὸ ΕΔΖ ἴσην ἔχοντα, περὶ δὲ τὰς ἴσας γωνίας τὰς πλευρὰς ἀνάλογον, ὡς τὴν ΒΑ πρὸς τὴν ΑΓ, οὕτως τὴν ΕΔ πρὸς τὴν ΔΖ· λέγω, ὅτι ἰσογώνιόν ἐστι τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ καὶ ἴσην ἕξει τὴν ὑπὸ ΑΒΓ γωνίαν τῇ ὑπὸ ΔΕΖ, τὴν δὲ ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΔΖΕ.

Συνεστάτω γὰρ πρὸς τῇ ΔΖ εὐθείᾳ καὶ τοῖς πρὸς αὐτῇ σημείοις τοῖς Δ, Ζ ὁποτέρᾳ μὲν τῶν ὑπὸ ΒΑΓ, ΕΔΖ ἴση ἡ ὑπὸ ΖΔΗ, τῇ δὲ ὑπὸ ΑΓΒ ἴση ἡ ὑπὸ ΔΖΗ· λοιπὴ ἄρα ἡ πρὸς τῷ Β γωνία λοιπῇ τῇ πρὸς τῷ Η ἴση ἐστίν.

Ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΗΖ τριγώνῳ. ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ,

οὕτως ἡ ΗΑ πρὸς τὴν ΔΖ. ὑπόκειται δὲ καὶ ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ, οὕτως ἡ ΕΔ πρὸς τὴν ΔΖ· καὶ ὡς ἄρα ἡ ΕΔ πρὸς τὴν ΔΖ, οὕτως ἡ ΗΔ πρὸς τὴν ΔΖ. ἴση ἄρα ἡ ΕΔ τῇ ΔΗ· καὶ κοινὴ ἡ ΔΖ· δύο δὴ αἱ ΕΔ, ΔΖ δυσὶ ταῖς ΗΔ, ΔΖ ἴσαι εἰσίν· καὶ γωνία ἡ ὑπὸ ΕΔΖ γωνίᾳ τῇ ὑπὸ ΗΔΖ ἐστιν ἴση· βάσις ἄρα ἡ ΕΖ βάσει τῇ ΗΖ ἐστιν ἴση, καὶ τὸ ΔΕΖ τρίγωνον τῷ ΗΔΖ τριγώνῳ ἴσον ἐστίν, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν. ἴση ἄρα ἐστὶν ἡ μὲν ὑπὸ ΔΖΗ τῇ ὑπὸ ΔΖΕ, ἡ δὲ ὑπὸ ΔΗΖ τῇ ὑπὸ ΔΕΖ. ἀλλ' ἡ ὑπὸ ΔΖΗ τῇ ὑπὸ ΑΓΒ ἐστιν ἴση· καὶ ἡ ὑπὸ ΑΓΒ ἄρα τῇ ὑπὸ ΔΖΕ ἐστιν ἴση. ὑπόκειται δὲ καὶ ἡ ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΕΔΖ ἴση· καὶ λοιπὴ ἄρα ἡ πρὸς τῷ Β λοιπῇ τῇ πρὸς τῷ Ε ἴση ἐστίν· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ.

Ἐὰν ἄρα δύο τρίγωνα μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἔχῃ, περὶ δὲ τὰς ἴσας γωνίας τὰς πλευρὰς ἀνάλογον, ἰσογώνια ἔσται τὰ τρίγωνα καὶ ἴσας ἕξει τὰς γωνίας, ὑφ' ἃς αἱ ὁμόλογοι πλευραὶ ὑποτείνουσιν· ὅπερ ἔδει δεῖξαι.

§ 68. 44. Vierter Ähnlichkeitssatz.

Ἐὰν δύο τρίγωνα μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἔχῃ, περὶ δὲ ἄλλας γωνίας τὰς πλευρὰς ἀνάλογον, τῶν δὲ λοιπῶν ἑκατέραν ἅμα ἤτοι ἐλάσσονα ἢ μὴ

---

22. *Περὶ δὲ ἄλλας γωνίας* d. h. je einen von jedem Dreieck. Wären beide andere Winkel gemeint, so stände *τὰς ἄλλας*.

ἐλάσσονα ὀρθῆς, ἰσογώνια ἔσται τὰ τρίγωνα καὶ ἴσας ἕξει τὰς γωνίας, περὶ ἃς ἀνάλογόν εἰσιν αἱ πλευραί (Fig. 44).

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἔχοντα τὴν ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΕΔΖ, περὶ δὲ ἄλλας γωνίας τὰς ὑπὸ ΑΒΓ, ΔΕΖ τὰς πλευρὰς ἀνάλογον, ὡς τὴν ΑΒ πρὸς τὴν ΒΓ, οὕτως τὴν ΔΕ πρὸς τὴν ΕΖ, τῶν δὲ λοιπῶν τῶν πρὸς τοῖς Γ, Ζ πρότερον ἑκατέραν ἅμα ἐλάσσονα ὀρθῆς· λέγω, ὅτι ἰσογώνιόν ἐστι τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ, καὶ ἴση ἔσται ἡ ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΔΕΖ, καὶ λοιπὴ δηλονότι ἡ πρὸς τῷ Γ λοιπῇ τῇ πρὸς τῷ Ζ ἴση.

Εἰ γὰρ ἄνισός ἐστιν ἡ ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΔΕΖ, μία αὐτῶν μείζων ἐστίν. ἔστω μείζων ἡ ὑπὸ ΑΒΓ. καὶ συνεστάτω πρὸς τῇ ΑΒ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Β τῇ ὑπὸ ΔΕΖ γωνίᾳ ἴση ἡ ὑπὸ ΑΒΗ.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν Α γωνία τῇ Δ, ἡ δὲ ὑπὸ ΑΒΗ τῇ ὑπὸ ΔΕΖ, λοιπὴ ἄρα ἡ ὑπὸ ΓΗΒ λοιπῇ τῇ ὑπὸ ΔΖΕ ἐστιν ἴση. ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΗ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ. ἔστιν ἄρα ὡς ἡ ΑΒ πρὸς τὴν ΒΗ, οὕτως ἡ ΔΕ πρὸς τὴν ΕΖ. ὡς δὲ ἡ ΔΕ πρὸς τὴν ΕΖ, οὕτως ὑπόκειται ἡ ΑΒ πρὸς τὴν ΒΓ· ἡ ΑΒ ἄρα πρὸς ἑκατέραν τῶν ΒΓ, ΒΗ τὸν αὐτὸν ἔχει λόγον· ἴση ἄρα ἡ ΒΓ τῇ ΒΗ. ὥστε καὶ γωνία ἡ πρὸς τῷ Γ γωνίᾳ

---

1. Es sollte heifsen ‚kleiner als jener Winkel', also in der Figur Γ und Ζ < Α und Δ; denn dann liegt Α und Δ der gröfseren Seite ΒΓ und ΕΖ gegenüber, wie es unsere Form des Lehrsatzes fordert.

τῇ ὑπὸ ΒΗΓ ἐστιν ἴση. ἐλάσσων δὲ ὀρθῆς ὑπόκειται ἡ πρὸς τῷ Γ· ἐλάσσων ἄρα ἐστὶν ὀρθῆς καὶ ἡ ὑπὸ ΒΗΓ· ὥστε ἡ ἐφεξῆς αὐτῇ γωνία ἡ ὑπὸ ΑΗΒ μείζων ἐστὶν ὀρθῆς. καὶ ἐδείχθη ἴση οὖσα τῇ πρὸς τῷ Ζ· καὶ ἡ πρὸς τῷ Ζ ἄρα μείζων ἐστὶν ὀρθῆς. ὑπόκειται δὲ ἐλάσσων ὀρθῆς· ὅπερ ἐστὶν ἄτοπον. οὐκ ἄρα ἄνισός ἐστιν ἡ ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΔΕΖ· ἴση ἄρα. ἔστι δὲ καὶ ἡ πρὸς τῷ Α ἴση τῇ πρὸς τῷ Δ· καὶ λοιπὴ ἄρα ἡ πρὸς τῷ Γ λοιπῇ τῇ πρὸς τῷ Ζ ἴση ἐστίν. ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ.

Ἀλλὰ δὴ πάλιν ὑποκείσθω ἑκατέρα τῶν πρὸς τοῖς Γ, Ζ μὴ ἐλάσσων ὀρθῆς· λέγω πάλιν, ὅτι καὶ οὕτως ἐστὶν ἰσογώνιον τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων ὁμοίως δείξομεν, ὅτι ἴση ἐστὶν ἡ ΒΓ τῇ ΒΗ· ὥστε καὶ γωνία ἡ πρὸς τῷ Γ τῇ ὑπὸ ΒΗΓ ἴση ἐστίν. οὐκ ἐλάσσων δὲ ὀρθῆς ἡ πρὸς τῷ Γ· οὐκ ἐλάσσων ἄρα ὀρθῆς οὐδὲ ἡ ὑπὸ ΒΗΓ. τριγώνου δὴ τοῦ ΒΗΓ αἱ δύο γωνίαι δύο ὀρθῶν οὔκ εἰσιν ἐλάσσονες· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα πάλιν ἄνισός ἐστιν ἡ ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΔΕΖ· ἴση ἄρα. ἔστι δὲ καὶ ἡ πρὸς τῷ Α τῇ πρὸς τῷ Δ ἴση· λοιπὴ ἄρα ἡ πρὸς τῷ Γ λοιπῇ τῇ πρὸς τῷ Ζ ἴση ἐστίν. ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ.

Ἐὰν ἄρα δύο τρίγωνα μίαν γωνίαν μιᾷ γωνίᾳ ἴση ἔχῃ, περὶ δὲ ἄλλας γωνίας τὰς πλευρὰς ἀνάλογον, τῶν δὲ λοιπῶν ἑκατέραν ἅμα ἐλάσσονα ἢ μὴ ἐλάσσονα ὀρθῆς,

ἰσογώνια ἔσται τὰ τρίγωνα καὶ ἴσας ἕξει τὰς γωνίας, περὶ ἃς ἀνάλογόν εἰσιν αἱ πλευραί· ὅπερ ἔδει δεῖξαι.

45. Proportion bei gleichen Parallelogrammen. § 69.

Τῶν ἴσων τε καὶ ἰσογωνίων παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας· καὶ ὧν ἰσογωνίων παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας, ἴσα ἐστὶν ἐκεῖνα (Fig. 45).

Ἔστω ἴσα τε καὶ ἰσογώνια παραλληλόγραμμα τὰ AB, $B\Gamma$ ἴσας ἔχοντα τὰς πρὸς τῷ B γωνίας, καὶ κείσθωσαν ἐπ' εὐθείας αἱ ΔB, BE· ἐπ' εὐθείας ἄρα εἰσὶ καὶ αἱ ZB, BH. λέγω, ὅτι τῶν AB, $B\Gamma$ ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας, τουτέστιν, ὅτι ἐστὶν ὡς ἡ ΔB πρὸς τὴν BE, οὕτως ἡ HB πρὸς τὴν BZ.

Συμπεπληρώσθω γὰρ τὸ ZE παραλληλόγραμμον. ἐπεὶ οὖν ἴσον ἐστὶ τὸ AB παραλληλόγραμμον τῷ $B\Gamma$ παραλληλογράμμῳ, ἄλλο δέ τι τὸ ZE, ἔστιν ἄρα ὡς τὸ AB πρὸς τὸ ZE, οὕτω τὸ $B\Gamma$ πρὸς τὸ ZE. ἀλλ' ὡς μὲν τὸ AB πρὸς τὸ ZE, οὕτως ἡ ΔB πρὸς τὴν BE, ὡς δὲ τὸ $B\Gamma$ πρὸς τὸ ZE, οὕτως ἡ HB πρὸς τὴν BZ· καὶ ὡς ἄρα ἡ ΔB πρὸς τὴν BE, οὕτως ἡ HB πρὸς τὴν BZ. τῶν ἄρα AB, $B\Gamma$ παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας.

---

7. Ἀντιπεπονθέναι umgekehrt (indirekt) proportional sein, z. B. nicht $a : b = A : B$, sondern $a : A = B : b$.

Ἀλλὰ δὴ ἔστω ὡς ἡ ΔΒ πρὸς τὴν ΒΕ, οὕτως ἡ ΗΒ πρὸς τὴν ΒΖ· λέγω, ὅτι ἴσον ἐστὶ τὸ ΑΒ παραλληλόγραμμον τῷ ΒΓ παραλληλογράμμῳ.

Ἐπεὶ γάρ ἐστιν ὡς ἡ ΔΒ πρὸς τὴν ΒΕ, οὕτως ἡ ΗΒ πρὸς τὴν ΒΖ, ἀλλ' ὡς μὲν ἡ ΔΒ πρὸς τὴν ΒΕ, οὕτω τὸ ΑΒ παραλληλόγραμμον πρὸς τὸ ΖΕ παραλληλόγραμμον, ὡς δὲ ἡ ΗΒ πρὸς τὴν ΒΖ, οὕτω τὸ ΒΓ παραλληλόγραμμον πρὸς τὸ ΖΕ παραλληλόγραμμον, καὶ ὡς ἄρα τὸ ΑΒ πρὸς τὸ ΖΕ, οὕτω τὸ ΒΓ πρὸς τὸ ΖΕ· ἴσον ἄρα ἐστὶ τὸ ΑΒ παραλληλόγραμμον τῷ ΒΓ παραλληλογράμμῳ.

Τῶν ἄρα ἴσων τε καὶ ἰσογωνίων παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας· καὶ ὧν ἰσογωνίων παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας, ἴσα ἐστὶν ἐκεῖνα· ὅπερ ἔδει δεῖξαι.

§ 70. 46. Rechtecke aus einer Proportion.

Ἐὰν τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσιν, τὸ ὑπὸ τῶν ἄκρων περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν μέσων περιεχομένῳ ὀρθογωνίῳ· κἂν τὸ ὑπὸ τῶν ἄκρων περιεχόμενον ὀρθογώνιον ἴσον ᾖ τῷ ὑπὸ τῶν μέσων περιεχομένῳ ὀρθογωνίῳ, αἱ τέσσαρες εὐθεῖαι ἀνάλογον ἔσονται (Fig. 46).

---

18. Der Satz ist ein besonderer Fall des vorigen, da alle Rechten gleich sind und *ἰσογώνια* im § 69 verlangt wurden. — **19.** *Ἄκραι sc. εὐθεῖαι* (oder *ἄκροι sc. ἀριθμοί*, oder *ἄκρα sc. μεγέθη*) Aufsenglieder.

Ἔστωσαν τέσσαρες εὐθεῖαι ἀνάλογον αἱ ΑΒ, ΓΔ, Ε, Ζ, ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ, οὕτως ἡ Ε πρὸς τὴν Ζ· λέγω, ὅτι τὸ ὑπὸ τῶν ΑΒ, Ζ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΓΔ, Ε περιεχομένῳ ὀρθογωνίῳ.

Ἤχθωσαν γὰρ ἀπὸ τῶν Α, Γ σημείων ταῖς ΑΒ, ΓΔ εὐθείαις πρὸς ὀρθὰς αἱ ΑΗ, ΓΘ, καὶ κείσθω τῇ μὲν Ζ ἴση ἡ ΑΗ, τῇ δὲ Ε ἴση ἡ ΓΘ. καὶ συμπεπληρώσθω τὰ ΒΗ, ΔΘ παραλληλόγραμμα.

Καὶ ἐπεί ἐστιν ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ, οὕτως ἡ Ε πρὸς τὴν Ζ, ἴση δὲ ἡ μὲν Ε τῇ ΓΘ, ἡ δὲ Ζ τῇ ΑΗ, ἔστιν ἄρα ὡς ἡ ΑΒ πρὸς ἡ ΓΔ, οὕτως ἡ ΓΘ πρὸς τὴν ΑΗ. τῶν ΒΗ, ΔΘ ἄρα παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας. ὧν δὲ ἰσογωνίων παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας, ἴσα ἐστὶν ἐκεῖνα· ἴσον ἄρα ἐστὶ τὸ ΒΗ παραλληλόγραμμον τῷ ΔΘ παραλληλογράμμῳ. καί ἐστι τὸ μὲν ΒΗ τὸ ὑπὸ τῶν ΑΒ, Ζ· ἴση γὰρ ἡ ΑΗ τῇ Ζ· τὸ δὲ ΔΘ τὸ ὑπὸ τῶν ΓΔ, Ε· ἴση γὰρ ἡ Ε τῇ ΓΘ· τὸ ἄρα ὑπὸ τῶν ΑΒ, Ζ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΓΔ, Ε περιεχομένῳ ὀρθογωνίῳ.

Ἀλλὰ δὴ τὸ ὑπὸ τῶν ΑΒ, Ζ περιεχόμενον ὀρθογώνιον ἴσον ἔστω τῷ ὑπὸ τῶν ΓΔ, Ε περιεχομένῳ ὀρθογωνίῳ· λέγω, ὅτι αἱ τέσσαρες εὐθεῖαι ἀνάλογον ἔσονται, ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ, οὕτως ἡ Ε πρὸς τὴν Ζ.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ἐπεὶ τὸ ὑπὸ τῶν ΑΒ, Ζ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΓΔ, Ε, καί ἐστι τὸ μὲν ὑπὸ τῶν ΑΒ, Ζ τὸ ΒΗ· ἴση γάρ ἐστιν ἡ ΑΗ τῇ Ζ· τὸ

δὲ ὑπὸ τῶν ΓΔ, Ε τὸ ΔΘ· ἴση γὰρ ἡ ΓΘ τῇ Ε· τὸ ἄρα ΒΗ ἴσον ἐστὶ τῷ ΔΘ. καί ἐστιν ἰσογώνια. τῶν δὲ ἴσων καὶ ἰσογωνίων παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας. ἔστιν ἄρα ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ, οὕτως ἡ ΓΘ πρὸς τὴν ΔΗ. ἴση δὲ ἡ μὲν ΓΘ τῇ Ε, ἡ δὲ ΔΗ τῇ Ζ· ἔστιν ἄρα ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ, οὕτως ἡ Ε πρὸς τὴν Ζ.

Ἐὰν ἄρα τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσιν, τὸ ὑπὸ τῶν ἄκρων περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν μέσων περιεχομένῳ ὀρθογωνίῳ· κἂν τὸ ὑπὸ τῶν ἄκρων περιεχόμενον ὀρθογώνιον ἴσον ᾖ τῷ ὑπὸ τῶν μέσων περιεχομένῳ ὀρθογωνίῳ, αἱ τέσσαρες εὐθεῖαι ἀνάλογον ἔσονται· ὅπερ ἔδει δεῖξαι.

XI. Lehre von den Proportionen der Zahlen.

47. Umformung gewisser Proportionen durch Addition.

§ 71. A.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρος ᾖ, καὶ ἕτερος ἑτέρου τὸ αὐτὸ μέρος ᾖ, καὶ συναμφότερος συναμφοτέρου τὸ αὐτὸ μέρος ἔσται, ὅπερ ὁ εἷς τοῦ ἑνός (Fig. 47).

Ἀριθμὸς γὰρ ὁ Α ἀριθμοῦ τοῦ ΒΓ μέρος ἔστω, καὶ ἕτερος ὁ Δ ἑτέρου τοῦ ΕΖ τὸ αὐτὸ μέρος, ὅπερ ὁ Α τοῦ

---

17. Wir: Wenn $a : an = b : bn$, dann $a + b : (a + b)n = a : an$. — **17.** Μέρος Teiler, Divisor, Faktor. — **21.** Alle Sätze der Zahlenlehre beweist Euclid mit Hilfe von Strecken. Vgl. § 11.

ΒΓ· λέγω, ὅτι καὶ συναμφότερος ὁ Α, Δ συναμφοτέρου τοῦ ΒΓ, ΕΖ τὸ αὐτὸ μέρος ἐστίν, ὅπερ ὁ Α τοῦ ΒΓ.

Ἐπεὶ γάρ, ὃ μέρος ἐστὶν ὁ Α τοῦ ΒΓ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Δ τοῦ ΕΖ, ὅσοι ἄρα εἰσὶν ἐν τῷ ΒΓ ἀριθμοὶ ἴσοι τῷ Α, τοσοῦτοί εἰσι καὶ ἐν τῷ ΕΖ ἀριθμοὶ ἴσοι τῷ Δ. διῃρήσθω ὁ μὲν ΒΓ εἰς τοὺς τῷ Α ἴσους τοὺς ΒΗ, ΗΓ, ὁ δὲ ΕΖ εἰς τοὺς τῷ Δ ἴσους τοὺς ΕΘ, ΘΖ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΒΗ, ΗΓ τῷ πλήθει τῶν ΕΘ, ΘΖ. καὶ ἐπεὶ ἴσος ἐστὶν ὁ μὲν ΒΗ τῷ Α, ὁ δὲ ΕΘ τῷ Δ, καὶ οἱ ΒΗ, ΕΘ ἄρα τοῖς Α, Δ ἴσοι. διὰ τὰ αὐτὰ δὴ καὶ οἱ ΗΓ, ΘΖ τοῖς Α, Δ. ὅσοι ἄρα εἰσὶν ἐν τῷ ΒΓ ἀριθμοὶ ἴσοι τῷ Α, τοσοῦτοί εἰσι καὶ ἐν τοῖς ΒΓ, ΕΖ ἴσοι τοῖς Α, Δ. ὁσαπλασίων ἄρα ἐστὶν ὁ ΒΓ τοῦ Α, τοσαυταπλασίων ἐστὶ καὶ συναμφότερος ὁ ΒΓ, ΕΖ συναμφοτέρου τοῦ Α, Δ. τὸ ἄρα μέρος ἐστὶν ὁ Α τοῦ ΒΓ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ συναμφότερος ὁ Α, Δ συναμφοτέρου τοῦ ΒΓ, ΕΖ· ὅπερ ἔδει δεῖξαι.

B. § 72.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρη ᾖ, καὶ ἕτερος ἑτέρου τὰ αὐτὰ μέρη ᾖ, καὶ συναμφότερος συν-

---

19. Wir: Wenn $am : an = bm : bn$, dann $(a+b)m : (a+b)n = am : an$, vorausgesetzt dafs $m < n$ und beide ganze Zahlen sind. — **19.** *Μέρος* (§ 71) hiefs Teiler; *μέρη* heifst Vielfaches eines Teilers. Dort denkt Euclid an Stammbrüche, hier an andere Brüche. Wenn a *μέρος* von b, dann ist $\frac{a}{b} = \frac{1}{d}$. Wenn aber a *μέρη* von b, dann ist $\frac{a}{b} = \frac{c}{d}$. Und dieses $\frac{c}{d}$ oder *μέρη* fafst Euclid als einen Begriff, als einen Singular, so dafs er *ὅπερ* zu *τὰ αὐτὰ μέρη* konstruiert.

αμφοτέρου τὰ αὐτὰ μέρη ἔσται, ὅπερ ὁ εἷς τοῦ ἑνός (Fig. 48).

Ἀριθμὸς γὰρ ὁ ΑΒ ἀριθμοῦ τοῦ Γ μέρη ἔστω, καὶ ἕτερος ὁ ΔΕ ἑτέρου τοῦ Ζ τὰ αὐτὰ μέρη, ἅπερ ὁ ΑΒ τοῦ Γ· λέγω, ὅτι καὶ συναμφότερος ὁ ΑΒ, ΔΕ συναμφοτέρου τοῦ Γ, Ζ τὰ αὐτὰ μέρη ἐστίν, ἅπερ ὁ ΑΒ τοῦ Γ.

Ἐπεὶ γάρ, ἃ μέρη ἐστὶν ὁ ΑΒ τοῦ Γ, τὰ αὐτὰ μέρη καὶ ὁ ΔΕ τοῦ Ζ, ὅσα ἄρα ἐστὶν ἐν τῷ ΑΒ μέρη τοῦ Γ, τοσαῦτά ἐστι καὶ ἐν τῷ ΔΕ μέρη τοῦ Ζ. διῃρήσθω ὁ μὲν ΑΒ εἰς τὰ τοῦ Γ μέρη τὰ ΑΗ, ΗΒ, ὁ δὲ ΔΕ εἰς τὰ τοῦ Ζ μέρη τὰ ΔΘ, ΘΕ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΑΗ, ΗΒ τῷ πλήθει τῶν ΔΘ, ΘΕ. καὶ ἐπεί, ὃ μέρος ἐστὶν ὁ ΑΗ τοῦ Γ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΔΘ τοῦ Ζ, ὃ ἄρα μέρος ἐστὶν τὸ ΑΗ τοῦ Γ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ συναμφότερος ὁ ΑΗ, ΔΘ συναμφοτέρου τοῦ Γ, Ζ. διὰ τὰ αὐτὰ δὴ καὶ ὃ μέρος ἐστὶν ὁ ΗΒ τοῦ Γ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ συναμφότερος ὁ ΗΒ, ΘΕ συναμφοτέρου τοῦ Γ, Ζ. ἃ ἄρα μέρη ἐστὶν ὁ ΑΒ τοῦ Γ, τὰ αὐτὰ μέρη ἐστὶ καὶ συναμφότερος ὁ ΑΒ, ΔΕ συναμφοτέρου τοῦ Γ, Ζ· ὅπερ ἔδει δεῖξαι.

48. Vertauschung der Innenglieder gewisser Proportionen.

§ 73. A.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρος ᾖ, καὶ ἕτερος ἑτέρου τὸ αὐτὸ μέρος ᾖ, καὶ ἐναλλάξ, ὃ μέρος ἐστὶν ἢ μέρη ὁ πρῶτος τοῦ τρίτου, τὸ αὐτὸ μέρος

24. Wir: Wenn $a:an = b:bn$, dann $a:b = an:bn$.

ἔσται ἢ τὰ αὐτὰ μέρη καὶ ὁ δεύτερος τοῦ τετάρτου (Fig. 47).

Ἀριθμὸς γὰρ ὁ Α ἀριθμοῦ τοῦ ΒΓ μέρος ἔστω, καὶ ἕτερος ὁ Γ ἑτέρου τοῦ ΕΖ τὸ αὐτὸ μέρος, ὅπερ ὁ Α τοῦ ΒΓ· λέγω, ὅτι καὶ ἐναλλάξ, ὃ μέρος ἐστὶν ὁ Α τοῦ Δ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΒΓ τοῦ ΕΖ ἢ μέρη.

Ἐπεὶ γὰρ ὃ μέρος ἐστὶν ὁ Α τοῦ ΒΓ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Δ τοῦ ΕΖ, ὅσοι ἄρα εἰσὶν ἐν τῷ ΒΓ ἀριθμοὶ ἴσοι τῷ Α, τοσοῦτοί εἰσι καὶ ἐν τῷ ΕΖ ἴσοι τῷ Δ. διῃρήσθω ὁ μὲν ΒΓ εἰς τοὺς τῷ Α ἴσους τοὺς ΒΗ, ΗΓ, ὁ δὲ ΕΖ εἰς τοὺς τῷ Δ ἴσους τοὺς ΕΘ, ΘΖ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΒΗ, ΗΓ τῷ πλήθει τῶν ΕΘ, ΘΖ.

Καὶ ἐπεὶ ἴσοι εἰσὶν οἱ ΒΗ, ΗΓ ἀριθμοὶ ἀλλήλοις, εἰσὶ δὲ καὶ οἱ ΕΘ, ΘΖ ἀριθμοὶ ἴσοι ἀλλήλοις, καί ἐστιν ἴσον τὸ πλῆθος τῶν ΒΗ, ΗΓ τῷ πλήθει τῶν ΕΘ, ΘΖ, ὃ ἄρα μέρος ἐστὶν ὁ ΒΗ τοῦ ΕΘ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΗΓ τοῦ ΘΖ ἢ τὰ αὐτὰ μέρη· ὥστε καὶ ὃ μέρος ἐστὶν ὁ ΒΗ τοῦ ΕΘ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ συναμφότερος ὁ ΒΓ συναμφοτέρου τοῦ ΕΖ ἢ τὰ αὐτὰ μέρη. ἴσος δὲ ὁ μὲν ΒΗ τῷ Α, ὁ δὲ ΕΘ τῷ Δ· ὃ ἄρα μέρος ἐστὶν ὁ Α τοῦ Δ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΒΓ τοῦ ΕΖ ἢ τὰ αὐτὰ μέρη· ὅπερ ἔδει δεῖξαι.

B. **§ 74.**

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρη ᾖ, καὶ ἕτερος ἑτέρου τὰ αὐτὰ μέρη ᾖ, καὶ ἐναλλάξ, ἃ μέρη ἐστὶν

24. Wir: Wenn $am : an = bm : bn$, dann $am : bm = an : bn$.

ὁ πρῶτος τοῦ τρίτου ἢ μέρος, τὰ αὐτὰ μέρη ἔσται καὶ ὁ δεύτερος τοῦ τετάρτου ἢ τὸ αὐτὸ μέρος (Fig. 48).

Ἀριθμὸς γὰρ ὁ ΑΒ ἀριθμοῦ τοῦ Γ μέρη ἔστω, καὶ ἕτερος ὁ ΔΕ ἑτέρου τοῦ Ζ τὰ αὐτὰ μέρη· λέγω, ὅτι καὶ ἐναλλάξ, ἃ μέρη ἐστὶν ὁ ΑΒ τοῦ ΔΕ ἢ μέρος, τὰ αὐτὰ μέρη ἐστὶ καὶ ὁ Γ τοῦ Ζ ἢ τὸ αὐτὸ μέρος.

Ἐπεὶ γάρ, ἃ μέρη ἐστὶν ὁ ΑΒ τοῦ Γ, τὰ αὐτὰ μέρη ἐστὶ καὶ ὁ ΔΕ τοῦ Ζ, ὅσα ἄρα ἐστὶν ἐν τῷ ΑΒ μέρη τοῦ Γ, τοσαῦτα καὶ ἐν τῷ ΔΕ μέρη τοῦ Ζ. διῃρήσθω ὁ μὲν ΑΒ εἰς τὰ τοῦ Γ μέρη τὰ ΑΗ, ΗΒ, ὁ δὲ ΔΕ εἰς τὰ τοῦ Ζ μέρη τὰ ΔΘ, ΘΕ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΑΗ, ΗΒ τῷ πλήθει τῶν ΔΘ, ΘΕ. καὶ ἐπεί, ὃ μέρος ἐστὶν ὁ ΑΗ τοῦ Γ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΔΘ τοῦ Ζ, καὶ ἐναλλάξ, ὃ μέρος ἐστὶν ὁ ΑΗ τοῦ ΔΘ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Γ τοῦ Ζ ἢ τὰ αὐτὰ μέρη. διὰ τὰ αὐτὰ δὴ καί, ὃ μέρος ἐστὶν ὁ ΗΒ τοῦ ΘΕ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Γ τοῦ Ζ ἢ τὰ αὐτὰ μέρη· ὥστε καὶ ὃ μέρος ἐστὶν ὁ ΑΗ τοῦ ΔΘ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΗΒ τοῦ ΘΕ ἢ τὰ αὐτὰ μέρη· καὶ ὃ ἄρα μέρος ἐστὶν ὁ ΑΗ τοῦ ΔΘ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΑΒ τοῦ ΔΕ ἢ τὰ αὐτὰ μέρη· ἀλλ' ὃ μέρος ἐστὶν ὁ ΑΗ τοῦ ΔΘ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐδείχθη καὶ ὁ Γ τοῦ Ζ ἢ τὰ αὐτὰ μέρη, καὶ ἃ ἄρα μέρη ἐστὶν ὁ ΑΒ τοῦ ΔΕ ἢ μέρος, τὰ αὐτὰ μέρη ἐστὶ καὶ ὁ Γ τοῦ Ζ ἢ τὸ αὐτὸ μέρος· ὅπερ ἔδει δεῖξαι.

49. Umformung beliebiger Proportionen durch Addition. § 75.

Ἐὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ ἀνάλογον, ἔσται ὡς εἷς τῶν ἡγουμένων πρὸς ἕνα τῶν ἑπομένων, οὕτως ἅπαντες οἱ ἡγούμενοι πρὸς ἅπαντας τοὺς ἑπομένους (Fig. 49).

Ἔστωσαν ὁποσοιοῦν ἀριθμοὶ ἀνάλογον οἱ Α, Β, Γ, Δ, ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Γ πρὸς τὸν Δ· λέγω, ὅτι ἐστὶν ὡς ὁ Α πρὸς τὸν Β, οὕτως οἱ Α, Γ πρὸς τοὺς Β, Δ.

Ἐπεὶ γάρ ἐστιν ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Γ πρὸς τὸν Δ, ὃ ἄρα μέρος ἐστὶν ὁ Α τοῦ Β ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Γ τοῦ Δ ἢ μέρη. καὶ συναμφότερος ἄρα ὁ Α, Γ συναμφοτέρου τοῦ Β, Δ τὸ αὐτὸ μέρος ἐστὶν ἢ τὰ αὐτὰ μέρη, ὅπερ ὁ Α τοῦ Β. ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β, οὕτως οἱ Α, Γ πρὸς τοὺς Β, Δ· ὅπερ ἔδει δεῖξαι.

50. Vertauschung der Innenglieder beliebiger Proportionen.

A. § 76.

Ἐὰν τέσσαρες ἀριθμοὶ ἀνάλογον ὦσιν, καὶ ἐναλλὰξ ἀνάλογον ἔσονται (Fig. 49).

Ἔστωσαν τέσσαρες ἀριθμοὶ ἀνάλογον οἱ Α, Β, Γ, Δ, ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Γ πρὸς τὸν Δ· λέγω, ὅτι καὶ ἐναλλὰξ ἀνάλογον ἔσονται, ὡς ὁ Α πρὸς τὸν Γ, οὕτως ὁ Β πρὸς τὸν Δ.

---

2. Erweiterung des § 71. Wir: Wenn $a:b=c:d$, dann $a+c:b+d=a:b$. — **3.** *Ἡγούμενοι* vgl. § 19 ιϑ. — **18.** Erweiterung des § 73. Wir: Wenn $a:b=c:d$, dann $a:c=b:d$.

Ἐπεὶ γάρ ἐστιν ὡς ὁ A πρὸς τὸν B, οὕτως ὁ Γ πρὸς τὸν Δ, ὃ ἄρα μέρος ἐστὶν ὁ A τοῦ B ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Γ τοῦ Δ ἢ τὰ αὐτὰ μέρη. ἐναλλὰξ ἄρα, ὃ μέρος ἐστὶν ὁ A τοῦ Γ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ B τοῦ Δ ἢ μέρη. ἔστιν ἄρα ὡς ὁ A πρὸς τὸν Γ, οὕτως ὁ B πρὸς τὸν Δ· ὅπερ ἔδει δεῖξαι.

§ 77. **B.**

Ἐὰν μονὰς ἀριθμόν τινα μετρῇ, ἰσάκις δὲ ἕτερος ἀριθμὸς ἄλλον τινὰ ἀριθμὸν μετρῇ, καὶ ἐναλλὰξ ἰσάκις ἡ μονὰς τὸν τρίτον ἀριθμὸν μετρήσει καὶ ὁ δεύτερος τὸν τέταρτον (Fig. 50).

Μονὰς γὰρ ἡ A ἀριθμόν τινα τὸν $B\Gamma$ μετρείτω, ἰσάκις δὲ ἕτερος ἀριθμὸς ὁ Δ ἄλλον τινὰ ἀριθμὸν τὸν EZ μετρείτω· λέγω, ὅτι καὶ ἐναλλὰξ ἰσάκις ἡ A μονὰς τὸν Δ ἀριθμὸν μετρεῖ καὶ ὁ $B\Gamma$ τὸν EZ.

Ἐπεὶ γὰρ ἰσάκις ἡ A μονὰς τὸν $B\Gamma$ ἀριθμὸν μετρεῖ καὶ ὁ Δ τὸν EZ, ὅσαι ἄρα εἰσὶν ἐν τῷ $B\Gamma$ μονάδες, τοσοῦτοί εἰσι καὶ ἐν τῷ EZ ἀριθμοὶ ἴσοι τῷ Δ. διῃρήσθω ὁ μὲν $B\Gamma$ εἰς τὰς ἐν ἑαυτῷ μονάδας τὰς BH, $H\Theta$, $\Theta\Gamma$, ὁ δὲ EZ εἰς τοὺς τῷ Δ ἴσους τοὺς EK, $K\Lambda$, ΛZ. ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν BH, $H\Theta$, $\Theta\Gamma$ τῷ πλήθει τῶν EK, $K\Lambda$, ΛZ. καὶ ἐπεὶ ἴσαι εἰσὶν αἱ BH, $H\Theta$, $\Theta\Gamma$ μονάδες ἀλλήλαις, εἰσὶ δὲ καὶ οἱ EK, $K\Lambda$, ΛZ ἀριθμοὶ ἴσοι ἀλλήλοις, καί ἐστιν ἴσον τὸ πλῆθος τῶν BH, $H\Theta$,

---

8. Wir: Wenn $1:a = b:ab$, dann $1:b = a:ab$. Vgl. § 7 (S. 15, Anm.).

ΘΓ μονάδων τῷ πλήθει τῶν ΕΚ, ΚΛ, ΛΖ ἀριθμῶν, ἔσται ἄρα ὡς ἡ ΒΗ μονὰς πρὸς τὸν ΕΚ ἀριθμόν, οὕτως ἡ ΗΘ μονὰς πρὸς τὸν ΚΛ ἀριθμὸν καὶ ἡ ΘΓ μονὰς πρὸς τὸν ΛΖ ἀριθμόν. ἔσται ἄρα καὶ ὡς εἷς τῶν ἡγουμένων πρὸς ἕνα τῶν ἑπομένων, οὕτως ἅπαντες οἱ ἡγούμενοι πρὸς ἅπαντας τοὺς ἑπομένους· ἔστιν ἄρα ὡς ἡ ΒΗ μονὰς πρὸς τὸν ΕΚ ἀριθμόν, οὕτως ὁ ΒΓ πρὸς τὸν ΕΖ. ἴση δὲ ἡ ΒΗ μονὰς τῇ Α μονάδι, ὁ δὲ ΕΚ ἀριθμὸς τῷ Δ ἀριθμῷ. ἔστιν ἄρα ὡς ἡ μονὰς πρὸς τὸν Δ ἀριθμόν, οὕτως ὁ ΒΓ πρὸς τὸν ΕΖ. ἰσάκις ἄρα ἡ Α μονὰς τὸν Δ ἀριθμὸν μετρεῖ καὶ ὁ ΒΓ τὸν ΕΖ· ὅπερ ἔδει δεῖξαι.

51. Vertauschung der Faktoren eines Produkts. § 78.

Ἐὰν δύο ἀριθμοὶ πολλαπλασιάσαντες ἀλλήλους ποιῶσί τινας, οἱ γενόμενοι ἐξ αὐτῶν ἴσοι ἀλλήλοις ἔσονται (Fig. 51).

Ἔστωσαν δύο ἀριθμοὶ οἱ Α, Β, καὶ ὁ μὲν Α τὸν Β πολλαπλασιάσας τὸν Γ ποιείτω, ὁ δὲ Β τὸν Α πολλαπλασιάσας τὸν Δ ποιείτω· λέγω, ὅτι ἴσος ἐστὶν ὁ Γ τῷ Δ.

Ἐπεὶ γὰρ ὁ Α τὸν Β πολλαπλασιάσας τὸν Γ πεποίηκεν, ὁ Β ἄρα τὸν Γ μετρεῖ κατὰ τὰς ἐν τῷ Α μονάδας. μετρεῖ δὲ καὶ ἡ Ε μονὰς τὸν Α ἀριθμὸν κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἰσάκις ἄρα ἡ Ε μονὰς τὸν Α ἀριθμὸν μετρεῖ καὶ ὁ Β τὸν Γ. ἐναλλὰξ ἄρα ἰσάκις ἡ Ε μονὰς

---

13. Wir: In einem Produkt ist die Reihenfolge der Faktoren beliebig.

τὸν Β ἀριθμὸν μετρεῖ καὶ ὁ Α τὸν Γ. πάλιν, ἐπεὶ ὁ Β τὸν Α πολλαπλασιάσας τὸν Δ πεποίηκεν, ὁ Α ἄρα τὸν Δ μετρεῖ κατὰ τὰ ἐν τῷ Β μονάδας. μετρεῖ δὲ καὶ ἡ Ε μονὰς τὸν Β κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἰσάκις ἄρα ἡ Ε μονὰς τὸν Β ἀριθμὸν μετρεῖ καὶ ὁ Α τὸν Δ. ἰσάκις δὲ ἡ Ε μονὰς τὸν Β ἀριθμὸν ἐμέτρει καὶ ὁ Α τὸν Γ· ἰσάκις ἄρα ὁ Α ἑκάτερον τῶν Γ, Δ μετρεῖ. ἴσος ἄρα ἐστὶν ὁ Γ τῷ Δ· ὅπερ ἔδει δεῖξαι.

52. Erweiterung eines Verhältnisses.

§ 79. **A.**

Ἐὰν ἀριθμὸς δύο ἀριθμοὺς πολλαπλασιάσας ποιῇ τινας, οἱ γενόμενοι ἐξ αὐτῶν τὸν αὐτὸν ἕξουσι λόγον τοῖς πολλαπλασιασθεῖσιν (Fig. 52).

Ἀριθμὸς γὰρ ὁ Α δύο ἀριθμοὺς τοὺς Β, Γ πολλαπλασιάσας τοὺς Δ, Ε ποιείτω· λέγω, ὅτι ἐστὶν ὡς ὁ Β πρὸς τὸν Γ, οὕτως ὁ Δ πρὸς τὸν Ε.

Ἐπί γὰρ ὁ Α τὸν Β πολλαπλασιάσας τὸν Δ πεποίηκεν, ὁ Β ἄρα τὸν Δ μετρεῖ κατὰ τὰς ἐν τῷ Α μονάδας. μετρεῖ δὲ καὶ ἡ Ζ μονὰς τὸν Α ἀριθμὸν κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἰσάκις ἄρα ἡ Ζ μονὰς τὸν Α ἀριθμὸν μετρεῖ καὶ ὁ Β τὸν Δ. ἔστιν ἄρα ὡς ἡ Ζ μονὰς πρὸς τὸν Α ἀριθμόν, οὕτως ὁ Β πρὸς τὸν Δ. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ἡ Ζ μονὰς πρὸς τὸν Α ἀριθμόν, οὕτως ὁ Γ πρὸς τὸν Ε· καὶ ὡς ἄρα ὁ Β πρὸς τὸν Δ. ἐναλλὰξ ἄρα ἐστὶν ὡς ὁ Β πρὸς τὸν Γ, οὕτως ὁ Δ πρὸς τὸν Ε· ὅπερ ἔδει δεῖξαι.

---

11. Wir: $a : b = an : bn$.

B. **§ 80.**

Ἐὰν δύο ἀριθμοὶ ἀριθμόν τινα πολλαπλασιάσαντες ποιῶσί τινας, οἱ γενόμενοι ἐξ αὐτῶν τὸν αὐτὸν ἕξουσι λόγον τοῖς πολλαπλασιάσασιν (Fig. 53).

Δύο γὰρ ἀριθμοὶ οἱ *A*, *B* ἀριθμόν τινα τὸν *Γ* πολλαπλασιάσαντες τοὺς *Δ*, *E* ποιείτωσαν· λέγω, ὅτι ἐστὶν ὡς ὁ *A* πρὸς τὸν *B*, οὕτως ὁ *Δ* πρὸς τὸν *E*.

Ἐπεὶ γὰρ ὁ *A* τὸν *Γ* πολλαπλασιάσας τὸν *Δ* πεποίηκεν, καὶ ὁ *Γ* ἄρα τὸν *A* πολλαπλασιάσας τὸν *Δ* πεποίηκεν. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ *Γ* τὸν *B* πολλαπλασιάσας τὸν *E* πεποίηκεν. ἀριθμὸς δὴ ὁ *Γ* δύο ἀριθμοὺς τοὺς *A*, *B* πολλαπλασιάσας τοὺς *Δ*, *E* πεποίηκεν. ἔστιν ἄρα ὡς ὁ *A* πρὸς τὸν *B*, οὕτως ὁ *Δ* πρὸς τὸν *E*· ὅπερ ἔδει δεῖξαι.

53. Produkten-Gleichung. § 81.

Ἐὰν τέσσαρες ἀριθμοὶ ἀνάλογον ὦσιν, ὁ ἐκ πρώτου καὶ τετάρτου γενόμενος ἀριθμὸς ἴσος ἔσται τῷ ἐκ δευτέρου καὶ τρίτου γενομένῳ ἀριθμῷ· καὶ ἐὰν ὁ ἐκ πρώτου καὶ τετάρτου γενόμενος ἀριθμὸς ἴσος ᾖ τῷ ἐκ δευτέρου καὶ τρίτου, οἱ τέσσαρες ἀριθμοὶ ἀνάλογον ἔσονται (Fig. 54).

Ἔστωσαν τέσσαρες ἀριθμοὶ ἀνάλογον οἱ *A*, *B*, *Γ*, *Δ*, ὡς ὁ *A* πρὸς τὸν *B*, οὕτως ὁ *Γ* πρὸς τὸν *Δ*, καὶ ὁ μὲν *A* τὸν *Δ* πολλαπλασιάσας τὸν *E* ποιείτω, ὁ δὲ *B* τὸν

---

2. Wir: $an : bn = a : b$. — **17.** Wir: Wenn $a : b = c : d$, dann $ad = bc$.

Γ πολλαπλασιάσας τὸν *Z* ποιείτω· λέγω, ὅτι ἴσος ἐστὶν ὁ *E* τῷ *Z*.

Ὁ γὰρ *A* τὸν *Γ* πολλαπλασιάσας τὸν *H* ποιείτω. ἐπεὶ οὖν ὁ *A* τὸν *Γ* πολλαπλασιάσας τὸν *H* πεποίηκεν, τὸν δὲ *Δ* πολλαπλασιάσας τὸν *E* πεποίηκεν, ἀριθμὸς δὴ ὁ *A* δύο ἀριθμοὺς τοὺς *Γ*, *Δ* πολλαπλασιάσας τοὺς *H*, *E* πεποίηκεν. ἔστιν ἄρα ὡς ὁ *Γ* πρὸς τὸν *Δ*, οὕτως ὁ *H* πρὸς τὸν *E*. ἀλλ' ὡς ὁ *Γ* πρὸς τὸν *Δ*, οὕτως ὁ *A* πρὸς τὸν *B*· καὶ ὡς ἄρα ὁ *A* πρὸς τὸν *B*, οὕτως ὁ *H* πρὸς τὸν *E*. πάλιν, ἐπεὶ ὁ *A* τὸν *Γ* πολλαπλασιάσας τὸν *H* πεποίηκεν, ἀλλὰ μὴν καὶ ὁ *B* τὸν *Γ* πολλαπλασιάσας τὸν *Z* πεποίηκεν, δύο δὴ ἀριθμοὶ οἱ *A*, *B* ἀριθμόν τινα τὸν *Γ* πολλαπλασιάσαντες τοὺς *H*, *Z* πεποιήκασιν. ἔστιν ἄρα ὡς ὁ *A* πρὸς τὸν *B*, οὕτως ὁ *H* πρὸς τὸν *Z*. ἀλλὰ μὴν καὶ ὡς ὁ *A* πρὸς τὸν *B*, οὕτως ὁ *H* πρὸς τὸν *E*· καὶ ὡς ἄρα ὁ *H* πρὸς τὸν *E*, οὕτως ὁ *H* πρὸς τὸν *Z*. ὁ *H* ἄρα πρὸς ἑκάτερον τῶν *E*, *Z* τὸν αὐτὸν ἔχει λόγον· ἴσος ἄρα ἐστὶν ὁ *E* τῷ *Z*.

Ἔστω δὴ πάλιν ἴσος ὁ *E* τῷ *Z*· λέγω, ὅτι ἐστὶν ὡς ὁ *A* πρὸς τὸν *B*, οὕτως ὁ *Γ* πρὸς τὸν *Δ*.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ἐπεὶ ἴσος ἐστὶν ὁ *E* τῷ *Z*, ἔστιν ἄρα ὡς ὁ *H* πρὸς τὸν *E*, οὕτως ὁ *H* πρὸς τὸν *Z*. ἀλλ' ὡς μὲν ὁ *H* πρὸς τὸν *E*, οὕτως ὁ *Γ* πρὸς τὸν *Δ*, ὡς δὲ ὁ *H* πρὸς τὸν *Z*, οὕτως ὁ *A* πρὸς τὸν *B*. καὶ ὡς ἄρα ὁ *A* πρὸς τὸν *B*, οὕτως ὁ *Γ* πρὸς τὸν *Δ*. ὅπερ ἔδει δεῖξαι.

XII. Ptolemäischer Lehrsatz.

54. Rechtecke aus Diagonalen und Seiten des Kreisvierecks. § 82.

Ἔστω κύκλος ἐγγεγραμμένον ἔχων τετράπλευρον τυχὸν τὸ ΑΒΓΔ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΓ καὶ ΒΔ. δεικτέον, ὅτι τὸ ὑπὸ τῶν ΑΓ καὶ ΒΔ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ συναμφοτέροις τῷ τε ὑπὸ τῶν ΑΒ, ΔΓ καὶ τῷ ὑπὸ τῶν ΑΔ, ΒΓ (Fig. 55).

Κείσθω γὰρ τῇ ὑπὸ ΔΒΓ γωνίᾳ ἴση ἡ ὑπὸ ΑΒΕ. ἐὰν οὖν κοινὴν προσθῶμεν τὴν ὑπὸ ΕΒΔ, ἔσται καὶ ἡ ὑπὸ ΑΒΔ γωνία ἴση τῇ ὑπὸ ΕΒΓ. ἔστιν δὲ καὶ ἡ ὑπὸ ΒΔΑ τῇ ὑπὸ ΒΓΕ ἴση· τὸ γὰρ αὐτὸ τμῆμα ὑποτείνουσιν ἰσογώνιον ἄρα ἐστὶν τὸ ΑΒΔ τρίγωνον τῷ ΒΓΕ τριγώνῳ. ὥστε καὶ ἀνάλογόν ἐστιν ὡς ἡ ΒΓ πρὸς τὴν ΓΕ, οὕτως ἡ ΒΔ πρὸς τὴν ΔΑ· τὸ ἄρα ὑπὸ ΒΓ, ΑΔ ἴσον ἐστὶν τῷ ὑπὸ ΒΔ, ΓΕ.

Πάλιν ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΑΒΕ γωνία τῇ ὑπὸ ΔΒΓ γωνίᾳ, ἔστιν δὲ καὶ ἡ ὑπὸ ΒΑΕ ἴση τῇ ὑπὸ ΒΔΓ· ἰσογώνιον ἄρα ἐστὶν τὸ ΑΒΕ τρίγωνον τῷ ΒΓΔ τριγώνῳ· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΒΑ πρὸς τὴν ΑΕ, οὕτως ἡ ΒΔ πρὸς τὴν ΔΓ· τὸ ἄρα ὑπὸ ΒΑ, ΔΓ ἴσον ἐστὶν τῷ ὑπὸ ΒΔ, ΑΕ.

Ἐδείχθη δὲ καὶ τὸ ὑπὸ ΒΓ, ΑΔ ἴσον τῷ ὑπὸ ΒΔ, ΓΕ· καὶ ὅλον ἄρα τὸ ὑπὸ ΑΓ, ΒΔ ἴσον ἐστὶν συναμφοτέροις τῷ τε ὑπὸ ΑΒ, ΔΓ καὶ τῷ ΑΔ, ΒΓ· ὅπερ ἔδει δεῖξαι.

---

6. *Συναμφοτέροις τῷ τε ὑπὸ ... καὶ τῷ ὑπὸ* der Summe der beiden Rechtecke aus.

XIII. Das Sieb des Eratosthenes.

§ 83. 55. Gerade und ungerade Zahlen.

Ἀριθμός ἐστι πλῆθος ὡρισμένον ἢ μονάδων σύστημα ἢ ποσότητος χύμα ἐκ μονάδων συγκείμενον· τοῦ δὲ ἀριθμοῦ πρώτη τομὴ τὸ μὲν ἄρτιον, τὸ δὲ περισσόν. ἔστι δὲ ἄρτιον μέν, ὃ οἷόν τε εἰς δύο ἴσα διαιρεθῆναι μονάδος μέσον μὴ παρεμπιπτούσης, περισσὸν δὲ τὸ μὴ δυνάμενον εἰς δύο ἴσα μερισθῆναι διὰ τὴν προειρημένην τῆς μονάδος μεσιτείαν. οὗτος μὲν οὖν ὁ ὅρος ἐκ τῆς δημώδους ὑπολήψεως.

Κατὰ δὲ τὸ Πυθαγορικὸν ἄρτιος ἀριθμός ἐστιν ὁ τὴν εἰς τὰ μέγιστα καὶ τὰ ἐλάχιστα κατὰ ταὐτὸ τομὴν ἐπιδεχόμενος, μέγιστα μὲν πηλικότητι, ἐλάχιστα δὲ ποσό-

---

3. Die §§ 83—86 stammen aus der Arithmetik des Nicomachos (§ 10). — **3.** *Πλῆθος ὡρισμένον*, denn unbestimmte Zahlen (*a*, *b*, *c* etc.) kennt das Altertum nicht; darum blieb ihm die Algebra fremd. — **4.** *Μονάδων σύστημα*, denn die *μονάς* ist nach antiker Vorstellung kein *ἀριθμός* (vgl. § 7). — **4.** *Χύμα* Strom, sicherlich ein pythagoreischer Ausdruck. — **5.** *Τομή* Einteilung. — **5.** *Τὸ μὲν . . τὸ δὲ* erstens . . zweitens. — **7.** *Μέσον* adv. in der Mitte, dazwischen. — **8.** *Προειρημένος* ebenerwähnt. — **9.** *Μεσιτεία* Vermittelung, Mittelstellung, das In-der-Mitte-Sein. Während die Proparoxytona auf *εια* von Substantiven (*βασίλεια* v. *βασιλεύς*, *Πατρόκλεια* v. *Πάτροκλος*, *Βοιώτεια* v. *Βοιωτός*) oder Adjektiven (*ἀλήθεια* v. *ἀληθής*) herkommen, stammen die Paroxytona auf *εία* von Verben auf *εύω* (*βασιλεία*, *πορεία*, *ἀριστεία*). So *μεσιτεία* von *μεσιτεύω*. Vgl. Dion. Hal. IX 59: *συνθῆκαι γίνονται ταῖς πόλεσι μεσιτεύσαντος αὐτὰς τοῦ ὑπάτου*. — **10.** *Δημώδους ὑπολήψεως* populäre Vorstellung. — **12.** *Τὴν κατὰ ταὐτὸ τομὴν* die gleichzeitige Zerlegung.

τητι, κατὰ φυσικὴν τῶν δύο τούτων γενῶν ἀντιπεπόνθησιν· περισσὸς δὲ ὁ μὴ δυνάμενος τοῦτο παθεῖν, ἀλλ' εἰς ἄνισα δύο τεμνόμενος.

Ἑτέρῳ δὲ τρόπῳ κατὰ τὸ παλαιὸν ἄρτιός ἐστιν ὁ καὶ εἰς δύο ἴσα τμηθῆναι δυνάμενος καὶ εἰς ἄνισα δύο, πλὴν τῆς ἐν αὐτῷ ἀρχοειδοῦς δυάδος, θάτερον τὸ διχοτόμημα μόνον ἐπιδεχομένης τὸ εἰς ἴσα, ἐν ᾑτινιοῦν τομῇ παρεμφαίνων τὸ ἕτερον εἶδος μόνον τοῦ ἀριθμοῦ, ὅπως ἂν διχασθῇ, ἀμέτοχον τοῦ λοιποῦ· περισσὸς δέ ἐστιν ἀριθμὸς ὁ καθ' ἡντιναοῦν τομὴν εἰς ἄνισα πάντως γινομένην ἀμφότερα ἅμα ἐμφαίνων τὰ τοῦ ἀριθμοῦ δύο εἴδη οὐδέποτε ἄκρατα ἀλλήλων, ἀλλὰ πάντοτε σὺν ἀλλήλοις.

Ἐν δὲ τῷ δι' ἀλλήλων ὅρῳ περισσός ἐστιν ὁ μονάδι ἐφ' ἑκάτερα διαφέρων ἀρτίου ἀριθμοῦ, τουτέστιν ἐπὶ τὸ μεῖζον καὶ ἔλασσον, ἄρτιος δὲ ὁ μονάδι διαφέρων ἐφ' ἑκάτερον περισσοῦ ἀριθμοῦ, τουτέστι μονάδι μείζων καὶ μονάδι ἐλάσσων.

---

1. Beispiel: 12 ist 1. $= 6 + 6$, $= 2 \times 6$, also nur zwei Summanden, aber die gröfsten; 2. $= 2 + 2 + 2 + 2 + 2 + 2$, $= 6 \times 2$, also sechs Summanden, aber die kleinsten. In beiden Teilungen ist das *ἐλάχιστον* mit dem *μέγιστον* vereint, entweder jenes der Anzahl (*πηλικότητι*), dieses der Gröfse nach (*ποσότητι*), oder dieses der Anzahl, jenes der Gröfse nach. — **2.** *Ἀντιπεπόνθησις* Wechselwirkung, gegenseitige Abhängigkeit. — **6.** *Ἀρχοειδής* grundlegend, das Anfangsglied bildend. — **7.** *Μόνον . . . παρεμφαίνων* nur so dafs es zu Tage fördert. Beispiele: $6 = 3 + 3$ (2 Ungerade), $8 = 4 + 4$ (2 Gerade). — **11.** Beispiele: $7 = 1 + 6 = 2 + 5 = 3 + 4$ (allemal 1 Gerade und 1 Ungerade). — **13.** *Ἐν τῷ δι' ἀλλήλων ὅρῳ* bei der gegenseitigen Definition = bei der D. des Einen durch das Andere.

Καθ' ὑποδιαίρεσιν δὲ τοῦ ἀρτίου τὸ μὲν ἀρτιάκις ἄρτιον, τὸ δὲ περισσάρτιον, τὸ δὲ ἀρτιοπέρισσον· ἐναντία μὲν ἀλλήλοις, ὥςπερ ἀκρότητες, τὸ ἀρτιάκις ἄρτιον καὶ τὸ ἀρτιοπέρισσον· κοινὸν δὲ ἀμφοτέρων, ὥςπερ μεσότης, τὸ περισσάρτιον. Τοῦ δὲ περισσοῦ καὶ πάλιν καθ' ὑποδιαίρεσιν τρία ὁμοίως εἴδη εὑρίσκεται ἀλλήλων διαφέροντα· ὧν τὸ μὲν καλεῖται πρῶτον καὶ ἀσύνθετον, τὸ δὲ ἀντικείμενον τούτῳ δεύτερον καὶ σύνθετον, τὸ δὲ ἐν μεταιχμίῳ ἀμφοῖν τούτοιν θεωρούμενον, ὡς μεσότης ἐν ἀκρότησιν, ὃ καθ' ἑαυτὸ μὲν δεύτερον καὶ σύνθετον, πρὸς ἄλλο δὲ πρῶτον καὶ ἀσύνθετον.

§ 84. 56. Arten der Primzahlen.

Τὸ μὲν οὖν πρώτιστον εἶδος τὸ πρῶτον καὶ ἀσύνθετον γίνεται, ὅταν ἀριθμὸς περισσὸς μόριον μηδὲν ἕτερον ἐπιδέχηται, εἰ μὴ τὸ παρώνυμον ἑαυτῷ, ὃ καὶ ἐξ ἀνάγκης μονὰς ἔσται, οἷον

---

1. *Ὑποδιαίρεσις* Untereinteilung. — **2.** *Ἀρτιάκις ἄρτιον* Geradmalgerad, z. B. 64 = 2 × 32 = 4 × 16 = 8 × 8. *Περισσάρτιον* Ungeradmalgerad, z. B. 24 = 3 × 8 = 4 × 6. *Ἀρτιοπέρισσον* Geradmalungerad, z. B. 6 = 2 × 3, 10 = 2 × 5, 22 = 2 × 11. — **2.** *Ἀρτιοπέρισσον* sc. *καλεῖται* oder *γίνεται*. — **8.** *Ἀσύνθετος* (eig. unzusammengesetzt) ohne Faktor, nicht ohne Rest teilbar. — **9.** *Ἐν μεταιχμίῳ* in der Mitte. Das Adjektiv bedeutet 1. ursprünglich: zwischen zwei Heeren (*αἰχμή acies*), 2. sodann: umstritten, an der Grenze gelegen (Herod. VIII 140), 3. endlich überhaupt: *medius*. — **11.** Eine unlogische Dreiteilung, da 1 und 2 die Ungeraden für sich (absolut), 3 ihr Verhältnis (relativ) betrifft, wie wenn man Winkel in spitze, stumpfe und Nebenwinkel einteilen wollte. Vgl. § 10. — **14.** *Πρῶτος καὶ ἀσύνθετος* Primzahl. — **14.** *Μόριον* Faktor.

ὁ γ, ὁ ε, ὁ ζ, ὁ ια, ὁ ιγ, ὁ ιζ, ὁ ιθ, ὁ κγ, ὁ κθ, ὁ λα· τούτων δὲ ἕκαστος οὐδεμιᾷ μηχανῇ εὑρεθήσεται ἔχων ἑτερώνυμον μόριον, ἀλλὰ μόνον τὸ ἑαυτῷ παρώνυμον καὶ τοῦτο μονάδα πάντως ἐν ἑκάστῳ· ὁ μὲν γὰρ γ μόνον τρίτον, ὁ δὲ ε μόνον πέμπτον, καὶ ὁ ζ μόνον ἕβδομον, καὶ ὁ ια μόνον ἑνδέκατον, καὶ ἐν πᾶσι ταῦτα τὰ μέρη μονὰς ὑπάρχει. τέτευχε δὲ τοῦ ὀνόματος τούτου, ὅτι τῷ κοινῷ πάντων ἀριθμῷ καὶ πρωτίστῳ μονάδι μόνῃ δύναται μετρεῖσθαι, ἑτέρῳ δὲ οὐδενί, ἀλλὰ καὶ ὑπ' οὐδενὸς ἑτέρου ἀριθμοῦ ἑαυτῷ συντεθέντος γεγένηται, ἀλλὰ μόνης μονάδος, πεντάκις μὲν συντεθείσης ὁ ε, ἑπτάκις δὲ ὁ ζ, καὶ οἱ λοιποὶ κατὰ τὴν ἑαυτῶν ποσότητα. αὐτῶν μέντοι συντεθέντων ἑαυτοῖς δύναντ' ἂν ἄλλοι γενέσθαι ἀπὸ πηγῆς ὡσανεὶ καὶ ῥίζης αὐτῶν τούτων ἀρχόμενοι, διόπερ πρῶτοι καλοῦνται ὡσανεὶ ἐκείνων προϋποκείμενοι· ἀρχὴ δὲ πᾶσα στοιχειώδης καὶ ἀσύνθετος, εἰς ἣν πάντα ἀναλύεται καὶ ἐξ ἧς πάντα συνίσταται, αὐτὴ δὲ εἰς οὐδὲν καὶ ἐξ οὐδενός.

Δεύτερος δὲ καὶ σύνθετός ἐστιν ἀριθμὸς περισσὸς μὲν διὰ τὸ ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ γένους διακεκρίσθαι, ἀρχοειδὲς δὲ οὐδὲν ἔχων ἐν ἑαυτῷ· συντεθέντος γὰρ ἑτέρου τινὸς τὴν γένεσιν αὐτὸς ἔσχε. διόπερ συμβαίνει αὐτῷ πρὸς τῷ παρωνύμῳ μέρει ἔτι καὶ ἑτερώνυμον ἢ ἑτερώνυμα κεκτῆσθαι, τὸ μὲν παρώνυμον καθὰ καὶ ἐπὶ πάντων μονάδα

---

2. *Τούτων δὲ κ. τ. λ.* Dieser folgende Abschnitt ist ein unklares Gemisch aus Arithmetik und Symbolik (*πηγή, ῥίζα, ἀναλύεται, συνίσταται, στοιχειώδης*). Vgl. § 13. — **19.** *Ἑνὸς καὶ τοῦ αὐτοῦ γένους* ein und derselben Art.

εἶναι πάντως, τὸ δὲ ἑτερώνυμον ἢ ἑτερώνυμα οὐδέποτε μονάδα, ἀλλὰ πάντως ἢ ἐκεῖνον ἢ ἐκείνους, ὧν συντεθέντων ἀπετελέσθη, οἷον

θ, ιε, κα, κε, κζ, λγ, λε, λθ·

τούτων γὰρ ἕκαστος καὶ ὑπὸ μονάδος μετρεῖται ὡς οἱ ἕτεροι καὶ παρώνυμον ἔχει μέρος ὡς κἀκεῖνοι διὰ τὴν τοῦ κοινοῦ γένους φύσιν, ἐξηλλαγμένως δὲ καὶ ἰδιαίτερον ἔτι καὶ ἑτερωνύμῳ μέρει ἢ μέρεσι χρῆται, ὁ μὲν θ πρὸς τῷ ἐνάτῳ ἔτι καὶ τρίτῳ, ὁ δὲ ιε ἔτι καὶ τρίτῳ καὶ πέμπτῳ πρὸς τῷ ιεῳ, ὁ δὲ κα καὶ ἑβδόμῳ καὶ τρίτῳ πρὸς τῷ εἰκοστοπρώτῳ, ὁ δὲ κε πρὸς τῷ εἰκοστοπέμπτῳ τῷ παρωνύμῳ ἔτι καὶ ἑτερωνύμῳ χρῆται τῷ πέμπτῳ. δεύτερος οὖν λέγεται, ὅτι καὶ ἄλλῳ σὺν τῇ μονάδι μέτρῳ δύναται χρῆσθαι, καὶ ὅτι οὐκ ἀρχοειδής, ἀλλ' ἑτέρου προςτεθέντος πρὸς ἑαυτὸν ἢ πρὸς ἕτερον συντεθέντος αὐτὸς ἐγένετο, ὁ μὲν θ τοῦ γ, ὁ δὲ ιε τοῦ ε ἢ νὴ Δία τοῦ γ, καὶ οἱ ἐφεξῆς κατὰ τὸν αὐτὸν λόγον· σύνθετος δὲ ἐκ τοιαύτης αἰτίας, ὅτι διαλυθείη ἂν εἰς ἐκείνους, ἐξ ὧν συνέστηκεν, εἴπερ καὶ μετρηθείη ἂν ὑπ' αὐτῶν· οὐδὲν δὲ διαλυτὸν ἀσύνθετον, ἀλλὰ πάντως σύνθετον.

Ἀντικειμένων δὴ ἀλλήλοις τῶν δύο τούτων εἰδῶν τοῦ περισσοῦ τρίτον ἀνὰ μέσον τι θεωρεῖται οἱονεὶ ἐξ ἀμφο-

---

3. Beispiel: $15 = 1 \times 15 = 3 \times 5$. — **7.** *Τοῦ κοινοῦ γένους* sc. *τῶν περισσῶν*. — **7.** *Ἐξηλλαγμένως καὶ ἰδιαίτερον* abweichend und im Besonderen. — **12.** *Δεύτερος* sc. *ἀριθμός* Sekundärzahl. — **19.** *Μετρηθείη* (ohne Rest) dividiert wird. — **21.** *Ἀντικειμένων ..... εἰδῶν* während also diese beiden Arten in Gegensatz stehen.

τέρων εἰδοποιούμενον τὸ καθ' αὑτὸ μὲν δεύτερον καὶ σύνθετον, πρὸς ἄλλο δὲ πρῶτον καὶ ἀσύνθετον, ὅταν ἀριθμὸς πρὸς τῷ κοινῷ μέτρῳ τῇ μονάδι ἔτι καὶ ἑτέρῳ μετρεῖταί τινι μέτρῳ καὶ διὰ τοῦτο δυνάμενος καὶ ἑτερώνυμον μέρος ἢ μέρη ἐπιδέξασθαι πρὸς τῷ παρωνύμῳ, πρὸς ἄλλον τινὰ ὁμοίως ἔχοντα ἀντεξεταζόμενος εὑρίσκεται μήτε κοινῷ μέτρῳ μετρηθῆναι δυνάμενος πρὸς ἐκεῖνον, μήτε τὸ αὐτὸ ὁμώνυμον μέρος ἔχων τῶν ἁπλῶς ἐν ἐκείνῳ· οἷον ὁ θ πρὸς τὸν κε· ἑκάτερος γὰρ καθ' ἑαυτὸν δεύτερός ἐστι καὶ σύνθετος, πρὸς δὲ ἀλλήλους μονάδι μόνῃ κοινῷ μέτρῳ χρῶνται καὶ οὐδὲν μόριον ὁμωνυμεῖ ἐν ἀμφοτέροις, ἀλλὰ τὸ ἐν τούτῳ τρίτον οὐκ ἔστιν ἐν ἐκείνῳ οὐδὲ τὸ ἐν ἐκείνῳ πέμπτον ἐν τούτῳ εὑρίσκεται.

57. Sieb des Eratosthenes. § 85.

Ἡ δὲ τούτων γένεσις ὑπὸ Ἐρατοσθένους καλεῖται κόσκινον, ἐπειδὴ ἀναπεφυρμένους τοὺς περισσοὺς λαβόντες καὶ ἀδιακρίτους ἐξ αὐτῶν τῇ τῆς γενέσεως μεθόδῳ ταύτῃ διαχωρίζομεν, ὡς δι' ὀργάνου ἢ κοσκίνου τινὸς καὶ ἰδίᾳ μὲν τοὺς πρώτους καὶ ἀσυνθέτους, ἰδίᾳ δὲ τοὺς δευτέρους καὶ συνθέτους, χωρὶς δὲ τοὺς μικτοὺς εὑρίσκομεν. ἔστι δὲ ὁ τρόπος τοῦ κοσκίνου τοιοῦτος (Fig. 56). ἐκθέμενος τοὺς ἀπὸ τριάδος πάντας ἐφεξῆς περισσοὺς ὡς δυνατὸν μάλιστα ἐπὶ μήκιστον στίχον, ἀρξάμενος ἀπὸ τοῦ πρώτου ἐπισκοπῶ, τίνας οἷός τέ ἐστιν μετρεῖν, καὶ εὑ-

---

1. *Εἰδοποιούμενον* gebildet, gestaltet. — **16.** *Ἀναπεφυρμένους* durcheinander gemischt. — **24.** *Τίνας ... μετρεῖν* in welchen Zahlen sie (*sc.* *ὁ πρῶτος* = *ἡ τριάς* = die Drei) restlos aufgeht.

ρίσκω δυνατὸν ὄντα τοὺς δύο μέσους παραλείποντας μετρεῖν, μέχρις οὗ ἂν προχωρεῖν ἐ θ έ λ ω μ ε ν, οὐχ ὡς ἔτυχε δὲ καὶ εἰκῇ μετροῦντα, ἀλλὰ τὸν μὲν πρώτως κείμενον, τουτέστι τὸν δύο μέσους ὑπερβαίνοντα κατὰ τὴν τοῦ πρωτίστου ἐν τῷ στίχῳ κειμένου ποσότητα μετρήσει, τουτέστι κατὰ τὴν ἑαυτοῦ· τρὶς γάρ· τὸν δ' ἀπ' ἐκείνου δύο διαλείποντα κατὰ τὴν τοῦ δευτέρου τεταγμένου· πεντάκις γάρ· τὸν δὲ περαιτέρω πάλιν δύο διαλείποντα κατὰ τὴν τοῦ τρίτου τεταγμένου· ἑπτάκις γάρ· τὸν δὲ ἔτι περαιτέρω ὑπὲρ δύο κείμενον κατὰ τὴν τοῦ τετάρτου τεταγμένου· ἐνάκις γάρ· καὶ ἐπ' ἄπειρον τῷ αὐτῷ τρόπῳ. εἶτα μετὰ τοῦτον ἀπ' ἄλλης ἀρχῆς ἐπὶ τὸν δεύτερον ἐλθὼν σκοπῶ, τίνας οἷός τέ ἐστι μετρεῖν, καὶ εὑρίσκω πάντας τοὺς τετράδα διαλείποντας, ἀλλὰ τὸν μὲν πρῶτον κατὰ τὴν τοῦ ἐν τῷ στίχῳ πρώτου τεταγμένου ποσότητα· τρὶς γάρ· τὸν δὲ δεύτερον κατὰ τὴν τοῦ δευτέρου· πεντάκις γάρ· τὸν δὲ τρίτον κατὰ τὴν τοῦ τρίτου· ἑπτάκις γάρ· καὶ τοῦτο ἐφεξῆς ἀεί. πάλιν δὲ ἄνωθεν ὁ τρίτος ὁ ζ ὁ τὸ μέτρον παραλαβὼν μετρήσει

---

1. Vor *δυνατὸν ὄντα μετρεῖν* ergänze *αὐτὸν* (= *τὸν πρῶτον ἀριθμὸν* = *τὴν τριάδα*): dafs sie im stande ist zu messen. — **1.** *Δύο μέσους*, also 5 und 7, dann 11 und 13, dann 17 und 19. *Τοὺς* gehört zu *παραλείποντας* = Alle, die immer zwei dazwischen überschlagen, also 3 und 9 und 15 und 21. — **3.** *Εἰκῇ* planlos. — **4.** *Ἀλλὰ τὸν μὲν κ. τ. λ.*: sondern sie (*ὁ πρῶτος* = *ἡ τριάς*, also in der Fig. 56 das *γ*) wird die nächststehende mit Überspringung von Zweien (also die 9 = *ϑ*) ihrer eigenen Gröfse entsprechend [3 in 9 giebt 3] teilen. — **5.** *Ἐν τῷ στίχῳ*, denn Nicomachos setzt voraus, wovon unsere Figur aus praktischen Gründen abweicht, dafs alle Zahlen in einer einzigen langen (*ἐπὶ μήκιστον στίχον*) Reihe stehen. — **18.** *Ἄνωθεν* von vorn. — **18.** *Ὁ τὸ μέτρον παραλαβών* der nun die Rolle des Teilers übernimmt.

τοὺς ἓξ διαλείποντας, ἀλλὰ τὸν μὲν πρώτιστον κατὰ τὴν τοῦ γ ποσότητα πρώτου κειμένου, τὸν δέ δεύτερον κατὰ τὴν τοῦ ε· δευτεροταγὴς γὰρ οὗτος· τὸν δὲ τρίτον κατὰ τὴν τοῦ ζ· τρίτην γὰρ ἔχει καὶ οὗτος τάξιν ἐν τῷ στίχῳ. καὶ κατὰ τὴν αὐτὴν ἀναλογίαν διόλου ἀπαρεμπόδιστον προχωρήσει σοι τοῦτο, ὥςτε τὸ μὲν μετρεῖν διαδέξονται κατὰ τὴν ἐν τῷ στίχῳ αὐτῶν ἐγκειμένην τάξιν, τὸ δὲ πόσους διαλείποντας κατὰ τὴν ἀπὸ δυάδος ἐπ᾽ ἄπειρον εὔτακτον τῶν ἀρτίων προκοπὴν ἢ κατὰ τὴν τῆς χώρας διπλασίασιν, καθ᾽ ἣν ὁ μετρῶν τέτακται, τὸ δὲ ποσάκις κατὰ τὴν τῶν ἀπὸ τριάδος περισσῶν εὔτακτον προχώρησιν.

Ἐὰν οὖν σημείοις τισὶν ἐπιστίξῃς τοὺς ἀριθμούς, § 86.
εὑρήσεις τοὺς μεταλαμβάνοντας τὸ μετρεῖν οὔτε ἅμα πάντας τὸν αὐτόν ποτε μετροῦντας, ἔστι δὲ ὅτε οὐδὲ δύο τὸν αὐτόν, οὔτε πάντας ἁπλῶς τοὺς ἐκκειμένους ὑποπίπτοντας μέτρῳ τινὶ αὐτῶν, ἀλλὰ τινὰς μὲν παντελῶς διαφεύγοντας τὸ μετρηθῆναι ὑφ᾽ οὑτινοςοῦν, τινὰς δὲ ὑπὸ ἑνὸς μόνου μετρουμένους, τινὰς δὲ ὑπὸ δύο ἢ καὶ πλειόνων. οἱ μὲν οὖν μηδαμῶς μετρηθέντες, ἀλλὰ διαφυγόντες τοῦτο πρῶτοί εἰσι καὶ ἀσύνθετοι, ὡς ὑπὸ κοσκίνου διακριθέντες, οἱ δὲ

---

5. *Ἀπαρεμπόδιστος* ungehindert. — **6.** *Διαδέξονται* sc. *οἱ ἀριθμοί* werden nach einander übernehmen. — **8.** *Τὸ δὲ πόσους διαλείποντας* gehört zu *τὸ μετρεῖν* (*sc. διαδέξονται*): die Frage wieviel auslassend sie das Messen übernehmen (richtet sich, erledigt sich *κατὰ τὴν ἀπὸ κ. τ. λ.*). — **9.** *Τὴν τῆς χώρας διπλασίασιν* Raumverdoppelung, doppelt so grofser Zwischenraum. *Χώρα* Feld (in dem jede Zahl steht). — **12.** *Ἐπιστίζω* bezeichnen. — **20.** *Διακριθέντες* durchgesiebt, vgl. lat. *cribrum* Sieb.

ὑπὸ ἑνὸς μόνου μετρηθέντες κατὰ τὴν ἑαυτῶν ποσότητα, ἓν μόνον μόριον ἑτερώνυμον ἕξουσι πρὸς τῷ παρωνύμῳ, οἱ δὲ ὑπὸ ἑνὸς μέν, ἑτέρου δὲ ποσότητι καὶ μὴ τῇ ἑαυτοῦ ἢ ὑπὸ δύο ὁμοῦ μετρηθέντες πλείονα ἕξουσι τὰ ἑτερώνυμα μέρη πρὸς τῷ παρωνύμῳ· οὗτοι οὖν ἔσονται δεύτεροι καὶ σύνθετοι. τὸ δὲ τρίτον μέρος τὸ κοινὸν ἀμφοτέρων, ὃ καθ' ἑαυτὸ μὲν δεύτερον καὶ σύνθετον, πρὸς ἄλλο δὲ πρῶτον καὶ ἀσύνθετον, ἔσονται οἱ ἀποτελούμενοι ἀριθμοὶ κατὰ τὴν ἑαυτοῦ ποσότητα πρώτου καὶ ἀσυνθέτου μετρήσαντός τινος, εἴ τις γενόμενος συγκρίνοιτο πρὸς ἄλλον ὡςαύτως τὴν γένεσιν ἔχοντα· ὥςπερ ὁ θ (ἐγίνετο ἐκ τοῦ γ κατὰ τὴν ἑαυτοῦ ποσότητα μετρήσαντος, τρὶς γάρ), εἰ συγκρίνοιτο πρὸς τὸν κε (ἐγίνετο ἐκ τοῦ ε κατὰ τὴν ἑαυτοῦ ποσότητα μετρήσαντος, πεντάκις γάρ), κοινὸν μέτρον τούτοις οὐδέν, εἰ μὴ μονάς. ὡς δ' ἂν καὶ μέθοδον ἔχοιμεν διαγνωστικὴν τῶν πρὸς ἀλλήλους ἤτοι πρώτων καὶ ἀσυνθέτων ἢ δευτέρων καὶ συνθέτων, ὅτι ἐκείνων μὲν κοινὸν μέτρον μονάς ἐστι, τούτων δὲ πρὸς τῇ μονάδι καὶ ἕτερός τις ἀριθμός, καὶ ποῖος οὗτος ὑπάρχει. εἰ ὁρισθείησαν ἡμῖν δύο περισσοὶ ἀριθμοί, προτείναντός τινος καὶ ἐπιτάξαντος διαγνῶναι, πότερον πρῶτοι πρὸς ἀλλήλους καὶ ἀσύνθετοί εἰσιν ἢ δεύτεροι καὶ σύνθετοι, καὶ εἰ δεύτεροι καὶ σύνθετοι, ποῖος ἀριθμὸς αὐτῶν κοινὸν μέτρον ἐστί, χρὴ ἀντισυγκρίνειν τοὺς προτεθέντας ἀριθμοὺς καὶ τὸν ἐλάσσονα ἀπὸ τοῦ μείζονος ἀεὶ ἀφαιρεῖν, ὁσάκις δυνατόν,

---

19. Ὁρίζειν bestimmen. — **20.** *Προτείνω = ἐπιτάσσω propono* die Aufgabe stellen.

εἶτα τούτου ἀφαιρεθέντος ἀνταφαιρεῖν ἀπὸ τοῦ λοιποῦ, ὁσάκις πάλιν δυνατόν· ἡ γὰρ ἀντιπερίστασις αὕτη καὶ ἀνταφαίρεσις ἀναγκαίως ἤτοι ἐπὶ μονάδα καταλήξει ἢ ἐπί τινα ἕνα καὶ τὸν αὐτὸν ἀριθμόν, ἀναγκαίως δὲ περισσόν. ὅταν μὲν οὖν ἐπὶ μονάδα αἱ ἀφαιρέσεις περαιωθῶσι, πρώτους καὶ ἀσυνθέτους αὐτοὺς ἀποφαίνουσι πρὸς ἀλλήλους, ὅταν δὲ ἐπὶ ἕτερόν τινα ἀριθμὸν περισσὸν τῇ ποσότητι διφορούμενον, δευτέρους λέγε εἶναι πρὸς ἀλλήλους καὶ συνθέτους καὶ κοινὸν αὐτοῖς εἶναι μέτρον αὐτὸν ἐκεῖνον τὸν διφορούμενον ἀριθμόν· οἷον ἐὰν ὁ κγ προεβλήθη ἡμῖν καὶ ὁ με, ἄφελε τὸν κγ ἀπὸ τοῦ με, λειφθήσεται κβ· τοῦτον ἀνταφαιρῶν ἀπὸ τοῦ κγ, λοιπὴ μονάς· ταύτην ἀφαιρῶν ἀπὸ τοῦ κβ, ὁσάκις δυνατόν, εἰς μονάδα καταλήξεις· διὰ τοῦτο πρῶτοι καὶ ἀσύνθετοι πρὸς ἀλλήλους εἰσὶ καὶ κοινὸν αὐτῶν μέτρον ἡ ἀπολειφθεῖσα μονάς. εἰ δὲ ἑτέρους ἀριθμοὺς προθείη τις, τὸν κα καὶ τὸν μθ, ἀφαιρῶ τὸν ἐλάσσονα ἀπὸ τοῦ μείζονος· λείπεται κη· εἶτα πάλιν ἐκ τούτου ἀφαιρῶ τὸν αὐτὸν κα (δυνατὸν γάρ), λείπεται ζ· ταῦτα ἀνταφαιρῶ ἀπὸ τοῦ κα, καταλείπεται ιδ· ἐξ ὧν πάλιν τὰ ζ ἀφαιρῶ (δυνατὸν γάρ), λειφθήσεται ζ, ἑβδομάδα δὲ ἀπὸ ἑβδομάδος οὐ δυνατὸν ἀφαιρεθῆναι· ἡ ἄρα κατάληψις αὐτῶν εἰς διφορούμενον τὸν ζ ἐπεραιώθη, δευτέρους δὲ καὶ συνθέτους πρὸς ἀλλήλους ἀποφαίνου τοὺς

---

2. *Ἀντιπερίστασις* eig. Gegenwirkung, Gegendruck; hier Einschränkung, Verringerung. — **8.** *Διφορεῖν* zweimalschreiben, z. B. 7 — 7. — **21.** *Οὐ δυνατόν ἀφαιρεθῆναι.* Die Aufgabe 7 — 7 ist für die Alten unmöglich, da sie die Null nicht kennen. — **22.** *Κατάληψις* scheint hier die singuläre Bedeutung von ‚Subtraktion' zu haben.

ἐξ ἀρχῆς τὸν κα καὶ τὸν μϑ καὶ κοινὸν αὐτῶν μέτρον πρὸς τῇ καθολικῇ μονάδι τὸν ζ.

XIV. Auflösung von Gleichungen.

§ 87. **58. Summe und Differenz zweier Zahlen.**

Τὸν ἐπιταχθέντα ἀριθμὸν διελεῖν εἰς δύο ἀριθμοὺς ἐν ὑπεροχῇ τῇ δοθείσῃ.

Ἔστω δὴ ὁ δοθεὶς ἀριθμὸς ὁ ρ̄, ἡ δὲ ὑπεροχὴ Μ̊ μ̄. εὑρεῖν τοὺς ἀριθμούς.

Τετάχθω ὁ ἐλάσσων ϛ ᾱ· ὁ ἄρα μείζων ἔσται ϛ ᾱ Μ̊ μ̄. συναμφότεροι ἄρα γίνονται ϛ β̄ Μ̊ μ̄· δέδονται δὲ Μ̊ ρ̄.

Μ̊ ἄρα ρ̄ ἴσαι εἰσὶν ϛ β̄ Μ̊ μ̄.

καὶ ἀπὸ ὁμοίων ὅμοια. ἀφαιρῶ ἀπὸ τῶν ρ̄, Μ̊ μ̄, καὶ ἀπὸ τῶν β̄ ἀριθμῶν καὶ τῶν μ̄ μονάδων ὁμοίως μονάδας μ̄· λοιποὶ ϛ β̄ ἴσοι Μ̊ ξ̄. ἕκαστος ἄρα γίνεται ϛ, Μ̊ λ̄.

ἐπὶ τὰς ὑποστάσεις. ἔσται ὁ μὲν ἐλάσσων Μ̊ λ̄, ὁ δὲ μείζων Μ̊ ο̄, καὶ ἡ ἀπόδειξις φανερά.

---

2. *Καθολικός* überall giltig. — **6.** *Ὑπεροχή* Überschufs, Differenz. — **6.** *Μ̊ μ̄* = *Μονάδες τεσσαράκοντα* = 40. Über die Zahlzeichen vgl. § 16 ϛ. — **9.** ϛ ist die Unbekannte (unser x); ϛ ᾱ bedeutet $1x$, also ϛ β̄ $= 2x$. — **10.** Blofse Nebeneinanderstellung bedeutet Addition. — **15.** *Ἐπὶ τὰς ὑποστάσεις sc. ἐπανέλθωμεν* kommen wir also auf die Annahmen zurück. — **16.** Zwei Alphabete lernte man im Altertum nur ausnahmsweise; deshalb konnte das lateinische Alphabet von Griechen nicht für algebraische (unbestimmte) Gröfsen verwendet werden. Die griechischen Lettern aber waren Ziffern, bedeuteten also bestimmte, nicht unbestimmte Zahlen. Einzige Ausnahme ist ϛ. Dieses Schlufs-Sigma verwendete Diophant für die Unbekannte, entdeckte also die Algebra genau so weit, wie er konnte. Er hat aber auch kein Zeichen für eine zweite Unbekannte, kann also

Wir:		Diophant:
1. x	Oder 2. $x+y=a$	x
$x+b$	$x-y=b$	$x+\ 40$
$2x+b=a$	$2x=a+b$	$2x+\ 40=100$
$2x=a-b$	$x=\frac{a+b}{2}$	$2x=100-\ 40$
$x=\frac{a-b}{2}$		$x=\frac{60}{2}=\ 30.$

59. Eine Zahl in der anderen aufgehend. § 88.

Τὸν ἐπιταχθέντα ἀριθμὸν δεῖ διελεῖν εἰς δύο ἀριθμοὺς ἐν λόγῳ τῷ δοθέντι.

Ἐπιτετάχθω δὴ τὸν ξ̄ διελεῖν εἰς δύο ἀριθμοὺς ἐν λόγῳ τριπλασίονι.

Τετάχθω ὁ ἐλάσσων ς ᾱ· ὁ ἄρα μείζων ἔσται ς γ̄, καὶ ἔστιν ὁ μείζων τοῦ ἐλάσσονος τριπλασίων. δεῖ λοιπὸν τοὺς δύο ἴσους εἶναι M̊ ξ̄· ἀλλ' οἱ δύο συντεθέντες ς εἰσι δ̄.

ς ἄρα δ̄ ἴσοι M̊ ξ̄· ὁ ς ἄρα M̊ ιε̅.

ὁ ἄρα ἐλάσσων ἔσται M̊ ιε̅, ὁ δὲ μείζων M̊ με̅.

Wir:	Diophant:
x	x
nx	$3x$
$x+nx\ =a$	$4x=60$
$x(1+n)=a$	$x=\frac{60}{4}=15$
$x=\frac{a}{1+n}.$	

nur Gleichungen mit einer Unbekannten lösen. Diophants Gleichungen sind also nicht das, was heutzutage ‚Diophantische Gleichungen' heifst. Die 4 obigen Proben sind Nr. 1, 2, 3, 27 des I. Buches. — **11.** *Ἐν λόγῳ τριπλασίονι* im Verhältnis von 1 : 3, so dafs also die eine Zahl x, die andere $3x$, also ihre Summe $4x$ ist. — **13.** *Λοιπόν* übrigens, schliefslich, also.

§ 89. **60. Eine Zahl nicht in der anderen aufgehend.**

Τὸν ἐπιταχθέντα ἀριθμὸν διελεῖν εἰς δύο ἀριθμοὺς ἐν λόγῳ καὶ ὑπεροχῇ τῇ δοθείσῃ.

Ἐπιτετάχθω δὴ τὸν π̅ διελεῖν εἰς δύο ἀριθμοὺς ἵνα ὁ μείζων τοῦ ἐλάσσονος τριπλασίων ᾖ καὶ ἔτι Μ̊ δ̅ ὑπερέχῃ.

Τετάχθω ὁ ἐλάσσων ς α̅, ὁ μείζων ἄρα ς γ̅ καὶ Μ̊ δ̅· καὶ ὁ μείζων τοῦ ἐλάσσονος ὢν τριπλασίων καὶ ἔτι Μ̊ δ̅ ὑπερέχει. λοιπὸν τοὺς δύο θέλω ἴσους εἶναι Μ̊ π̅· ἀλλ' οἱ δύο συντεθέντες ς εἰσι δ̅ καὶ Μ̊ δ̅.

ς ἄρα δ̅ καὶ Μ̊ δ̅ ἴσοι Μ̊ π̅.

καὶ ἀφαιρῶ ἀπὸ ὁμοίων ὅμοια· λοιπαὶ ἄρα Μ̊ ο̅ς̅ ἴσαι ς δ̅· καὶ γίνεται ὁ ς Μ̊ ι̅θ̅.

ἐπὶ τὰς ὑποστάσεις. ἔσται ἄρα ὁ ἐλάσσων ἀριθμὸς Μ̊ ι̅θ̅, ὁ δὲ μείζων Μ̊ ξ̅α̅.

Wir:	Diophant:
x	x
$mx+n$	$3x+4$
$x+mx+n=a$	$4x+4=80$
$x(1+m)=a-n$	$4x=80-4=76$
$x=\frac{a-n}{1+m}$	$x=\frac{76}{4}=19.$

§ 90. **61. Summe und Produkt zweier Zahlen.**

Εὑρεῖν δύο ἀριθμοὺς ὅπως ἡ σύνθεσις αὐτῶν καὶ ὁ πολλαπλασιασμὸς ποιῇ δοθέντας ἀριθμούς.

---

3. *Ἐν λόγῳ*, erg. *τῷ δοθέντι*.

Δεῖ δὴ τῶν εὑρισκομένων τὸν ἀπὸ τοῦ ἡμίσεος τοῦ συναμφοτέρου τετράγωνον τοῦ ὑπ' αὐτῶν ὑπερέχειν τετραγώνῳ. ἔστι δὲ τοῦτο πλασματικόν.

Ἐπιτετάχθω δὴ τὴν μὲν σύνθεσιν αὐτῶν ποιεῖν M̊ κ̄, τὸν δὲ πολλαπλασιασμὸν ποιεῖν M̊ ϟϛ̄.

Τετάχθω ἡ ὑπεροχὴ αὐτῶν ς β̄. καὶ ἐπεὶ τὸ σύνθεμα αὐτῶν ἐστι M̊ κ̄, ἐὰν τοῦτο τέμω δίχα, ἔσται ἑκάτερος τῶν ἐκ τῆς διαιρέσεως, τοῦ ἡμίσεος τοῦ συνθέματος, M̊ ῑ. κἂν τὸ ἥμισυ τῆς ὑπεροχῆς, τουτέστιν ς ᾱ, ἑνὶ μὲν τῶν ἐκ τῆς διαιρέσεως προσθῶ, τοῦ δὲ λοιποῦ ἀφέλω, μένει πάλιν τὸ σύνθεμα M̊ κ̄, ἡ δὲ ὑπεροχὴ ς β̄. τετάχθω οὖν ὁ μείζων ς ᾱ καὶ M̊ ῑ τῶν ἡμίσεων τοῦ συνθέματος· ὁ ἄρα ἐλάσσων ἔσται M̊ ῑ ⋔ ς ᾱ. καὶ μένει τὸ μὲν σύνθεμα M̊ κ̄, ἡ δὲ ὑπεροχὴ ς β̄.

λοιπόν ἐστι καὶ τὸν ὑπ' αὐτῶν ποιεῖν M̊ ϟϛ̄· ἀλλ' ὁ ὑπ' αὐτῶν ἐστι M̊ ρ̄ ⋔ ΔΥ ᾱ· ταῦτα ἴσα M̊ ϟϛ̄· καὶ γίνεται ὁ ς M̊ β̄.

ἔσται ἄρα ὁ μὲν μείζων M̊ ιβ̄, ὁ δὲ ἐλάσσων M̊ η̄. καὶ ποιοῦσι τὰ τῆς προτάσεως.

---

3. Lösbar ist die Aufgabe nur, wenn $\left(\frac{a+b}{2}\right)^2 - ab$ ein Quadrat ist. In unserer Aufgabe ist $\left(\frac{a+b}{2}\right)^2 = 100$, ferner $100 - x^2 = 96$ oder $x^2 = 100 - 96$. Daraus läfst sich x nur berechnen, wenn $100 - 96$ ein Quadrat ist. Dies also ist ein die Aufgabe bildendes (*πλασματικόν*), ermöglichendes Erfordernis, wie wir es in geometrischen Aufgaben ‚Determination' nennen. — **13.** Das Zeichen ⋔ bedeutet ‚minus', also *M̊ ι ⋔ ς ᾱ* $= 10 - x$. — **16.** Das Zeichen *ΔΥ ᾱ* bedeutet $1x^2$, denn *δύναμις* heifst ‚Quadrat'. — **19.** *Πρότασις* Aufgabe.



Wir:

$$x+y=a$$
$$xy=b$$
$$(x+y)^2=a^2$$
$$4xy=4b$$

$$(x+y)^2-4xy=a^2-4b$$
$$x^2+2xy+y^2-4xy=a^2-4b$$
$$x^2-2xy+y^2=a^2-4b$$
$$x-y=\sqrt{a^2-4b}$$
$$x+y=a$$

$$x=\frac{a}{2}+\sqrt{\frac{a^2}{4}-b}$$
$$y=\frac{a}{2}-\sqrt{\frac{a^2}{4}-b}$$

Diophant:

$$\left[\begin{array}{l} a+b=20 \\ ab=96 \\ a-b=2x \\ \frac{a+b}{2}=10 \end{array}\right]$$

$$x+10$$
$$10-x$$

$$2x=20$$
$$(x+10)(10-x)=100-x^2=96$$

$$x=2$$
$$a=12$$
$$b=8.$$

Halle a. S., Buchdruckerei des Waisenhauses.



Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

REALISTISCHE
CHRESTOMATHIE
AUS DER LITTERATUR DES KLASSISCHEN ALTERTUMS

VON

MAX C. P. SCHMIDT
GYMNASIALPROFESSOR IN BERLIN.

Ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος. Hesiod. O. 311.

IN DREI BÜCHERN.

II. BUCH.

MIT 5 FIGUREN.



LEIPZIG
VERLAG DER DÜRR'SCHEN BUCHHANDLUNG
1901

Vorwort.

Den Zweck, den Plan und die Art der Benutzung der vorliegenden Chrestomathie hat der Verfasser in seinen Broschüren ‚Zur Reform der klassischen Studien auf Gymnasien' (Leipzig, Dürr. 1899. 40 S.) und ‚Realistische Stoffe im humanistischen Unterricht' (Leipzig, Dürr. 1900. 60 S.) dargelegt. Indessen ist die ursprüngliche Absicht, Seiten und Paragraphen und Überschriften der drei Bücher jedes Teiles durchzuzählen, zuletzt aufgegeben worden, um jedem einzelnen Buche, wie sein Inhalt zu selbständiger Benutzung gearbeitet ist, auch die Form der Selbständigkeit zu geben. Dabei sind ein paar der ursprünglichen Citate stehen geblieben, die vor dem Gebrauch zu verbessern sich empfiehlt. Man ändere also folgende Zahlen: 1. S. 4, letzte Zeile: §§ 96, 97, 155, 99, 100 in §§ 6, 7, 66, 9, 10. 2. S. 17, Zeile 13: § 65 in § 66. 3. S. 33, Anm. 12: § 58 in § 59. 4. S. 48, Zeile 11: § 58 in § 59; Zeile 15: § 59 in § 60. 5. S. 22, Zeile 5 und S. 48, Zeile 17: § 57 in § 58. 6. Die Figuren 3, 4, 5 gehören zu den §§ 67—73, 74—75, 78—81.

Die Abkürzungen und Citate sind leicht verständlich. Mit — und + bezeichnet der Verfasser die

Jahreszahlen vor und nach Christi Geburt. Das übliche *sc.* (= *scilicet* ‚natürlich, nämlich') steht, wenn in einem citierten Texte ein Wort zu ergänzen ist. Die grofsen und die kleinen Buchstaben des griechischen Alphabets bedeuten die Bücher der Ilias und der Odyssee. Endlich heifst B. Buch, S. Seite, Z. Zeile, p. pagina.

Versehen des ersten Buches sind folgende: 1. S. VII ist bei Nr. 47 bis 53 die Angabe vergessen, woher diese Stücke stammen: Aus E.E. II 200. 202. 210. 212. 216. 216. 220. 222. 224. 224. 226. 2. S. 4, Zeile 10 schreibe *πλευ-ραὶ* für *πλεῦραι*. 3. S. 22, Anm. 13 schreibe ‚vier' hinter *πισύρεσσι* und vertausche 4 und 5 in der folgenden Rechnung. 4. S. 28, Zeile 4 schreibe ‚bei harmonischen Tönen zu einander' statt ‚zu den Schwingungszahlen harmonischer Töne'. Denn die erste Idee von Schwingungszahlen taucht erst bei Galilei auf. 5. S. 88, Zeile 23 schreibe *τὸ αὐτὸ* für *αὐτὸ*. 6. S. 97, Zeile 18 schreibe *AHB* für *ΓHB*. 7. S. 115, Zeile 11 streiche den Punkt; Zeile 14 schreibe *ἀρτίου* für *ἀρτίον*. 8. S. 119, Zeile 3 schreibe *μετρῆται* für *μετρεῖται*.

Auch hier dankt der Verfasser für freundliche Hilfe in mancher mathematischen Frage Herrn Oberlehrer Dr. Leo Fernbach (Berlin, VII. Realschule).

Berlin, Sommer 1900.

Max C. P. Schmidt.

Inhalt des zweiten Buches.

I. Einleitung.

Über die Geschichte des Stoicismus . . . . § 1—2
Über die Lehren des Stoicismus . . . . § 3—5
Über Aratos . . . . § 6—7
Über Eratosthenes (vgl. B. 1, § 14) . . . . § 8
Über Krates . . . . § 9—10
Über Polybios . . . . § 11—15
Über Posidonios . . . . § 16—17
Über Geminos . . . . § 18—19
Über Kleomedes . . . . § 20
Über Strabo . . . . § 21
Über die beiden Plinius . . . . § 22

II. Sonnenlauf und Sternhimmel.

1. Der Tierkreis . . . . § 23
2. Länge des Jahres . . . . § 24
3. Die vier Jahreszeiten . . . . § 25
4. Erklärung der Längendifferenz der Jahreszeiten . . § 26
5. Die fünf Planeten . . . . § 27
6. Die Excentricität der Sonnenbahn . . . . § 28—29
7. Die Sternbilder . . . . § 30—32

III. Achse, Pole, Kreise des Himmels.

8. Achse und Pole der Welt . . . . § 33
9. Die fünf Hauptparallelkreise . . . . § 34
10. Die übrigen Parallelkreise . . . . § 35
11. Gröfse der fünf Hauptparallelen . . . . § 36
12. Bedeutung und Abstände der fünf Parallelen . . . § 37
13. Kolure und Ekliptik . . . . § 38

14. Der Horizont . . . . § 39
15. Meridiane und Milchstrafse . . . . § 40

IV. Bewegung der Planeten.

16. Die Planetenbewegung ist der des Himmels entgegengesetzt . . . . § 41
17. Die Planetenbewegung ist nicht blofs scheinbar . . § 42

V. Gestalt und Gröfse der Erde.

18. Indirekter Beweis für die Kugelgestalt der Erde . . § 43—46
19. Direkter Beweis für die Kugelgestalt der Erde . . § 47
20. Erdmessung des Posidonios . . . . § 48
21. Erdmessung des Eratosthenes . . . . § 49—52

VI. Einteilung der Erdoberfläche.

22. Die fünf Zonen . . . . § 53
23. Vier Ökumenen und drei Erdteile . . . . § 54
24. Länge des Meridians und Breite der Zonen . . . . § 55
25. Phänomene unter verschiedenen Breiten und Längen § 56
26. Der Ocean der heifsen Zone . . . . § 57
27. Die Bewohnbarkeit der heifsen Zone . . . . . . § 58—59

VII. Die Sterne als Wetterpropheten.

28. Im allgemeinen . . . . § 60—62
29. Im Besonderen der Hundsstern . . . . § 63—66

VIII. Byzanz und der Bosporus.

30. Günstige Lage von Byzanz im allgemeinen . . . . § 67
31. Zuflüsse und Abflufs des Pontus Euxinus . . . . § 68—70
32. Die Strömung im Bosporus . . . . § 71—72
33. Ungunst der Thracischen Verhältnisse für Byzanz . § 73

IX. Latinerküste und Rom.

34. Die Küste von Latium . . . . § 74—75
35. Die Lage von Rom . . . . § 76
36. Das Innere von Rom . . . . § 77

X. Der Ausbruch des Vesuvs.

37. Aus der Nähe gesehen . . . . § 78—79
38. Bei Misenum erlebt . . . . § 80—81

Zweites Buch.

Buch von Himmel und Erde.

*Μηδεὶς ἀγεωμέτρητος εἰσίτω μου τὴν στέγην.**)

I. Einleitung.

Die Schriftsteller, die im folgenden zu Worte kommen, waren sämtlich Anhänger der Stoischen Schule. Geminos und Kleomedes sind sichtlich vom Stoiker Posidonios abhängig; des Polybios Geschichtsauffassung atmet stoischen Geist; Strabo wird geradezu *Στωικός* genannt; des älteren Plinius Weltanschauung trägt stoische Züge; der öfter citierte Krates ist zweifellos Anhänger der Stoa; Eratosthenes lernte bei einem Stoiker und starb wie ein Stoiker; Aratos endlich war eines Stoikers Schüler, sein Gedicht wurde in den stoischen Schulen viel gelesen. Unsere Auswahl aber wurde nach wissenschaftlichen und erzieherischen Gesichtspunkten, nicht mit besonderer Vorliebe für den Stoicismus

---

*) Das Motto überliefert in der citierten Form der spätlebende Tzetzes (Chil. VIII 972), in der kürzeren Form *Ἀγεωμέτρητος μηδεὶς εἰσίτω* hat es nach dem Aristoteles-Scholiasten David (p. 26 A 11) Plato als Überschrift *πρὸ τοῦ μουσείου* ‚über die Thür seines Hörsaales' gesetzt.

vorgenommen. Dass sie gerade Stoiker traf, ist also keine bewufste Absicht. Dafs sie lauter Stoiker traf, kann auch kein blinder Zufall sein. Die Erscheinung beruht also auf thatsächlichen Verhältnissen. Welches sind diese Thatsachen der geschichtlichen Überlieferung?

§ 1. Der **Stoicismus** hat eine Geschichte von etwa 500 Jahren. Sie zerfällt in zwei Perioden von 200 und 300 Jahren. a) Etwa — 309 wurde bekanntlich die Lehre der Stoa von Zeno aus Kition in Cypern begründet. Er lehrte zu Athen in jener berühmten Stoa, die der Maler Polygnotos, der Zeitgenosse des Miltiades und Kimon, unentgeltlich mit Bildern, z. B. dem der Schlacht bei Marathon, geschmückt hatte. Die Reihe seiner Athenischen Nachfolger beginnt mit Kleanthes aus Assos in der Troas und Chrysippos aus Soloi in Cilicien, deren letzterer 100 Jahre nach der Gründung der Schule starb. Auch

---

13. Plutarch. Cimon 4: *Πολύγνωτον . . . φασὶν ἐν τῇ Πεισιανακτείῳ τότε καλουμένῃ, Ποικίλῃ δὲ νῦν στοᾷ, γραφόντα* (malen) *τὰς Τρῳάδας, τὸ τῆς Λαοδίκης ποιῆσαι πρόσωπον* (Gesicht) *ἐν εἰκόνι* (Porträt) *τῆς Ἐλπινίκης* (Kimons Schwester)· *ὁ δὲ Πολύγνωτος οὐκ ἦν βαναύσων, οὐδ' ἀπ' ἐργολαβίας* (Gewinnsucht) *ἔγραψε* (bemalen, ausmalen) *τὴν στοάν, ἀλλὰ προῖκα (gratis).* Suidas s. v. *Ζήνων*: *Στωικός, διὰ τὸ ἐν τῇ στοᾷ τῇ ἐν Ἀθήναις διδάξαι αὐτόν, ἥτις . . . Ποικίλη ἐκλήθη.* — **14.** Über die Mehrzahl dieser Stoiker berichtet das VII. Buch des Diogenes v. Laërte. — **16.** Etwa — 209. Strab. 610: *Ἔστι δὲ Ἄσσος ἐρυμνή. . . . Ἐντεῦθεν ἦν Κλεάνθης, ὁ στωικὸς φιλόσοφος, ὁ διαδεξάμενος τὴν Ζήνωνος τοῦ Κιτιέως* (vgl. p. 682) *σχολήν, καταλιπὼν δὲ Χρυσίππῳ τῷ Σολεῖ.* Strab. 671: *γεγόνασι δ' ἄνδρες ἐνθένδε* (= *ἐκ Σόλων*) *Χρύσιππός τε ὁ στωικὸς φιλόσοφος πατρὸς ὢν Ταρσέως ἐκεῖθεν μετοικήσαντος κ. τ. λ.*

das zweite stoische Jahrhundert beginnt ein Zeno, aber aus Tarsos. Ihm folgen Diogenes der ‚Babylonier' aus Seleucia am Tigris, sodann Antipater, der wiederum aus Tarsos stammt, endlich Panaetios von Rhodos, dessen Tod etwa 200 Jahre nach der Gründung der Schule eintrat. Hiermit schliefst die erste Reihe der Stoiker ab, und eine zweite Reihe beginnt. — b) Der Meister dieser neuen Zeit ist Posidonios, der zu Apamea in Syrien geboren war, zu Athen unter Panaetios studierte, aber nicht mehr in Athen, sondern in Rhodos seine Schule hielt. Er verdunkelte den Glanz der Athenischen Schule, an der unter anderen ein Antipater aus Tyros wirkte. Daneben gab es eine Pergamenische Schule, ein Athenodoros aus Tarsos wird als einer ihrer Leiter genannt. Später scheint auch eine Alexandrinische Schule eröffnet worden zu sein, die eine Zeit lang Chaeremon, der Lehrer des Nero, geleitet haben soll. Wichtiger aber sind die grofsen Römischen Stoiker der Kaiserzeit, der Ethiker Seneca, sein Brudersohn der Epiker Lucanus, der Satirendichter Persius, endlich der Kaiser Mark Aurel. Er ist der letzte der Stoiker. Die Geschichte des Stoicismus beginnt mit einem schiffbrüchigen Kaufmann und endet auf einem kaiserlichen Throne. Die Geschichte der

---

3. Strab. 674: *Ἄνδρες δ' ἐξ αὐτῆς* (= *ἐκ Ταρσοῦ*) *γεγόνασι τῶν μὲν στωικῶν Ἀντίπατρός τε καὶ Ἀρχέδημος κ. τ. λ.* — **6.** Um — 111. Andere berechnen — 100. — **6.** Posidonios: vgl. § 16. — **12.** Antipater: vgl. S. 23, 1. — **22.** Diog. L. VII 2: *πορφύραν ἐμπεπορευμένος* (*ὁ Ζήνων*) *ἀπὸ τῆς Φοινίκης πρὸς τῷ Πειραιεῖ ἐναυάγησεν.*

2. *Τὴν ἡμέραν* (Sch.) für *ἡμέραν*, wie nachher *τὴν νύκτα*. Regel: Sind attributive Adjectiva betont, so stehen sie prädikativ. Grund: Der Grieche denkt statt ‚Wenn die Sonne den längsten (statt wie sonst kürzere) Tag vollendet' vielmehr ‚Wenn der Tag, den die Sonne vollendet, der längste ist'. Folge: Adjectiva, die ihrer Natur nach stets betont sind, wie *οὗτος, ἐκεῖνος, πᾶς,* stehn stets prädikativ. — **5.** *Κλίμα* Neigung (des Horizonts zum Äquator), Breitengrad, Breite. — **6.** *Ὥρα ἰσημερινή* Gleicherstunde; Ggstz: *ὥρα καιρική* Zeitstunde. Die Griechen teilten den Tag wie die Nacht in je zwölf Stunden. Die zwölf Stunden eines Tages waren unter sich gleich, auch die einer Nacht. Aber die Stunden eines Tages waren ungleich sowohl denen der benachbarten Nächte wie denen anderer Tage. Sie wechselten nach der Jahreszeit und hiefsen darum *καιρικαὶ ὧραι*. Völlige Gleichheit trat nur zur Zeit der Gleichen ein, darum hiefsen diese Stunden *ἰσημεριναὶ ὧραι*. Erst in der *Πολιτεία Ἀθηναίων* des Aristoteles (— 325) heifst *ὥρα* ‚Stunde'. Erst seit dem Aufblühen Alexandrias (— 300) rechnet die Theorie der Gelehrten nach *ἰσημεριναὶ ὧραι* wie wir. Die Praxis des Volkes blieb bei den *καιρικαί ὧραι*. — **6.** Das Zeichen ϛ bedeutet: 1. die Ganze 6; 2. den Bruch $^1/_2$. Hier: $14^1/_2$ St. = Breite von Rhodos. — **9.** *Τὴν* in den besten Handschriften (wie *τὴν νύκτα* Z. 2). — **11.** *Ὡς πρὸς τὸν ὁρίζοντα sc. κύκλον* in Beziehung auf den Horizont.

πρὸς τὸν ὁρίζοντα καὶ τὸν νοτιώτατον κύκλον γράψῃ καὶ μεγίστην πασῶν τῶν ἐν τῷ ἐνιαυτῷ τὴν νύκτα ποιήσηται, ἐλαχίστην δὲ τὴν ἡμέραν. ἔστι δέ ἡ μεγίστη νὺξ κατὰ τὸ ἐν Ῥόδῳ κλίμα ὡρῶν ἰσημερινῶν ιδ' ς''.

Οἱ δὲ μεταξὺ χρόνοι τῶν τροπῶν καὶ τῶν ἰσημεριῶν τοῦτον διαιροῦνται τὸν τρόπον. ἀπὸ μὲν ἰσημερίας ἐαρινῆς μέχρι τροπῆς θερινῆς ἡμέραι εἰσὶν ϟδ' ς''. ἐν γὰρ τοσαύταις ἡμέραις διαπορεύεται ὁ ἥλιος Κριόν, Ταῦρον, Διδύμους καὶ ἐπὶ τὴν πρώτην μοῖραν τοῦ Καρκίνου παραγενόμενος τὴν θερινὴν τροπὴν ποιεῖται. ἀπὸ δὲ τροπῆς θερινῆς μέχρις ἰσημερίας φθινοπωρινῆς ἡμέραι εἰσὶν ϟβ' ς''. ἐν γὰρ τοσαύταις ἡμέραις διαπορεύεται ὁ ἥλιος Καρκίνον, Λέοντα, Παρθένον καὶ ἐπὶ τὴν πρώτην μοῖραν τῶν Χηλῶν παραγενόμενος τὴν φθινοπωρινὴν ἰσημερίαν ποιεῖται. ἀπὸ δὲ ἰσημερίας φθινοπωρινῆς μέχρι τροπῆς χειμερινῆς ἡμέραι εἰσὶν πη' ηον. ἐν γὰρ τοσαύταις ἡμέραις διαπορεύεται ὁ ἥλιος Χηλάς, Σκορπίον, Τοξότην καὶ ἐπὶ τὴν πρώτην μοῖραν τοῦ Αἰγόκερω παραγενόμενος τὴν χειμερινὴν τροπὴν ποιεῖται. ἀπὸ δὲ τροπῆς χειμερινῆς μέχρις ἰσημερίας ἐαρινῆς ἡμέραι εἰσὶν ϟ .ηον. ἐν γὰρ τοσαύταις ἡμέραις διαπορεύεται ὁ ἥλιος τὰ ἀπολειπόμενα τρία ζῴδια, Αἰγόκερων, Ὑδροχόον, Ἰχθύας. αἱ πᾶσαι οὖν

---

1. *Καὶ τὸν νοτιώτατον* (Sch.) für *Καὶ νοτιώτατον.* — **2.** *Τὴν νύκτα* (M.) für *νύκτα.* — **3.** *Τὴν ἡμέραν* (Sch.) für *ἡμέραν.* — **5.** *Χρόνοι.* Regel: Hat ein Substantiv zwei Attribute, so kann das eine prädikativ stehen. — **6.** *Διαιροῦνται* hier das Passiv in der medialen Bedeutung: werden (unter sich) verteilt. — **10.** *Παραγενόμενος* (auch T.) für *παραγινόμενος.* Ebenso Zeile 14. — **14.** *Αἱ Χηλαί* = *ὁ Ζυγός.*

ἡμέραι τούτων τῶν τεσσάρων χρόνων συντιθέμεναι ποιοῦσι τξέ δ^{ον}, ὅσαιπερ ἦσαν αἱ τοῦ ἐνιαυτοῦ.

§ 26. 4. Erklärung der Längendifferenz der Jahreszeiten.

Ἐπιζητεῖται δὲ ἐν τούτοις, πῶς ἴσων ὄντων τῶν τεταρτημορίων τοῦ ζῳδιακοῦ κύκλου ὁ ἥλιος ἰσοταχῶς κινούμενος διὰ παντὸς ἐν ἀνίσοις χρόνοις διαπορεύεται τὰς ἴσας περιφερείας. ὑπόκειται γὰρ πρὸς ὅλην τὴν ἀστρολογίαν ἥλιόν τε καὶ σελήνην καὶ τοὺς πέντε πλανήτας ἰσοταχῶς καὶ ἐγκυκλίως καὶ ὑπεναντίως τῷ κόσμῳ κινεῖσθαι. οἱ γὰρ Πυθαγόρειοι πρῶτοι προσελθόντες ταῖς τοιαύταις ζητήσεσιν ὑπέθεντο ἐγκυκλίους καὶ ὁμαλὰς ἡλίου καὶ σελήνης καὶ τῶν πέντε πλανητῶν ἀστέρων τὰς κινήσεις. τὴν γὰρ τοιαύτην ἀταξίαν οὐ προσεδέξαντο πρὸς τὰ θεῖα καὶ αἰώνια, ὡς ποτὲ μὲν τάχιον κινεῖσθαι, ποτὲ δὲ βράδιον, ποτὲ δὲ ἑστηκέναι· οὓς δὴ καὶ καλοῦσι στηριγμοὺς

---

4. Ἐπιζητεῖν hinterher (im Anschlufs daran) fragen, die Frage anschliefsen (anregen). — **5.** Τεταρτημορίων (Man.) = τεσσάρων μορίων. — **7.** Ὑπόκειται es ist vorausgesetzt. — **8.** Ἀστρολογία Astronomie. Erst im späteren Griechisch heifst das Wort ‚Astrologie'. Die Form ἀστρονομία ist schon Platonisch (z. B. Epinomis p. 990 A. B.), aber viel seltener gebraucht, z. B. von Aristoteles nur einmal an zweifelhafter Stelle (Probl. 18, 6), von Geminos und Kleomedes nie. — **10.** Πυθαγόρειοι: S. 18, 2. — **11.** Ὁμαλός (= ἰσοταχής Zeile 5) gleichmäfsig. — **14.** u. **15.** Die Formen τάχιον und βράδιον (θᾶσσον καὶ βραδύτερον Plat. Phil. 25 C.) sind ursprünglich poëtisch, z. B. βράδιον δὲ Πανελλήνεσσι φαείνει Hesiod Op. 528. — **15.** Στηριγμός Stillstand, v. στηρίζω feststellen, aufstützen, anstemmen, herandrücken. Schon Homer kennt wenigstens das Verbum: οὐρανῷ ἐστήριξε (stemmt an) κάρη καὶ ἐπὶ χθονὶ βαίνει (sc. Eris Δ 443) oder πάντη δὲ κακὸν κακῷ ἐστήρικτο (drängt sich Π 111).

ἐπὶ τῶν πέντε πλανητῶν ἀστέρων. οὐδὲ γὰρ περὶ ἄνθρωπον κόσμιον καὶ τεταγμένον ἐν ταῖς πορείαις τὴν τοιαύτην ἀνωμαλίαν τῆς κινήσεως προσδέξαιτο ἄν τις. αἱ μὲν γὰρ τοῦ βίου χρεῖαι τοῖς ἀνθρώποις πολλάκις αἴτιαι γίνονται βραδυτῆτος καὶ ταχυτῆτος· περὶ δὲ τὴν ἄφθαρτον φύσιν τῶν ἀστέρων οὐδεμίαν δυνατὸν αἰτίαν προσαχθῆναι ταχυτῆτος καὶ βραδυτῆτος. δι᾽ ἣν αἰτίαν προέτειναν οὕτω, πῶς ἂν δι᾽ ἐγκυκλίων καὶ ὁμαλῶν κινήσεων ἀποδοθείη τὰ φαινόμενα.

Περὶ μὲν οὖν τῶν λοιπῶν ἀστέρων νυνὶ μὲν οὐκ ἀποδώσομεν τὴν αἰτίαν· περὶ δὲ ἡλίου ὑποδείξομεν, δι᾽ ἥντινα αἰτίαν ἰσοταχῶς κινούμενος ἐν ἀνίσοις χρόνοις τὰς ἴσας περιφερείας διαπορεύεται.

5. Die fünf Planeten. § 27.

Ἀνωτάτω γὰρ πάντων ἐστὶν ἡ λεγομένη τῶν ἀπλανῶν ἀστέρων σφαῖρα ἡ περιέχουσα τὴν εἰδωλοποιίαν πάντων τῶν κατηστερισμένων ζῳδίων. οὐ πάντας δὲ τοὺς ἀστέρας ὑποληπτέον ὑπὸ μίαν ἐπιφάνειαν κεῖσθαι, ἀλλ᾽ οὓς μὲν μετεωροτέρους ὑπάρχειν, οὓς δὲ ταπεινοτέρους·

2. *Ἄνθρωπος κόσμιος* Mann von Grundsätzen, sittlicher Mensch. — **3.** *Προσδέξαιτο ἄν τις* auch T. *Μὲν* Sch. — **6.** *Τῶν ἀστέρων*, gestellt nach S. 63, 5. — **7.** *Ἣν* (Sch.) f. *ἥντινα*, vgl. S. 87, 3. — **7.** *Προέτειναν* (*ostendere = obs-tendere*) eig. vorspannen, vorhalten; das Problem stellen, die Aufgabe formulieren. *Διὰ* mit Hilfe von. — **8.** *Ἐγκυκλίων* S. 88, 1. *Ἀποδοθείη* wiedergegeben wird, sich ergiebt. — **9.** *Νυνὶ μὲν οὐκ* (und *περὶ δὲ*) für das überlieferte, hier beziehungslose *ἐν ἑτέροις* (und *νυνὶ δὲ περὶ*). — **11.** *Ἥντινα* (Sch.) f. *ἥν*. — **12.** *Διαπορεύεται* auch T. — **15.** *Ἀπλανῶν ἀστέρων σφαῖρα* Fixsternsphäre. — **15.** *Περιέχειν* umfassen, enthalten. — **15.** *Εἰδωλοποιία* Gesamtbild. — **16.** *Καταστερίζειν* aus Sternen zusammensetzen (S. 59, 3). — **17.** *Ἐπιφάνεια* Fläche. — **18.** *Μετεωροτέρους* und *ταπεινοτέρους*. Wir: ferner

διὰ δὲ τὸ τὴν ὅρασιν ἐπὶ ἴσον ἐξικνεῖσθαι μῆκος ἀνεπαίσθητος γίνεται ἡ τοῦ ὕψους διαφορά. ὑπὸ δὲ τὴν τῶν ἀπλανῶν ἀστέρων σφαῖραν κεῖται Φαίνων, ὁ τοῦ Κρόνου προσαγορευόμενος ἀστήρ. οὗτος τὸν μὲν ζῳδιακὸν κύκλον ἐν ἔτεσι λ΄ ὡς ἔγγιστα διαπορεύεται, τὸ δὲ ἓν ζῴδιον ἐν δυσὶν ἔτεσι καὶ ἓξ μησίν. ὑπὸ δὲ τὸν Φαίνοντα κατώτερον αὐτοῦ φέρεται Φαέθων, ὁ τοῦ Διὸς προσαγορευόμενος ἀστήρ. οὗτος δὲ τὸν μὲν ζῳδιακὸν κύκλον διαπορεύεται ἐν ιβ΄ ἔτεσι, τὸ δὲ ἓν ζῴδιον ἐν ἑνὶ ἐνιαυτῷ. ὑπὸ δὲ τοῦτον τέτακται Πυρόεις, ὁ τοῦ Ἄρεως. οὗτος δὲ τὸν μὲν ζῳδιακὸν κύκλον διέρχεται ἐν δυσὶν ἔτεσι καὶ ἑξαμήνῳ, τὸ δὲ ζῴδιον ἐν δυσὶ μησὶ καὶ ἡμίσει. τὴν δὲ ἐχομένην χώραν κατέχει ὁ ἥλιος, ἐν ἑνὶ ἐνιαυτῷ διαπορευόμενος τὸν ζῳδιακὸν κύκλον, τὸ δὲ ζῴδιον ὡς ἔγγιστα ἐν ἑνὶ μηνί. κατώτερος δὲ τούτου κεῖται Φωσφόρος, ὁ τῆς Ἀφροδίτης ἀστήρ. οὗτο ςδὲ ὡς ἔγγιστα ἰσοταχῶς κινεῖται τῷ ἡλίῳ. ὑπὸ τοῦτον δὲ Στίλβων κεῖται, ὁ τοῦ Ἑρμοῦ ἀστήρ, καὶ αὐτὸς δὲ ἰσοταχῶς τῷ ἡλίῳ κινεῖται. κατωτέρω δὲ πάντων φέρεται ἡ σελήνη, ἐν ἡμέραις κζ΄ καὶ γ^ω διαπορευομένη τὸν ζῳδιακὸν κύκλον, τὸ δὲ ζῴδιον ἐν ἡμέραις δυσὶ καὶ τετάρτῳ μέρει τῆς μιᾶς ἡμέρας ὡς ἔγγιστα.

---

und näher. ‚Lehre der Stoiker' Man. — **1.** Ἐπὶ ἴσον μῆκος gleich lang, gleich weit, gleich schnell; ἐξικνεῖσθαι trifft, ans Ziel kommt. — **5.** Die Umlaufszeiten des Saturn und Jupiter sind überraschend genau, die der anderen Planeten zu grofs angegeben. — **13.** Ἐν ἑνὶ Sch. — **14.** Ἐν Sch. — **17.** Στίλβων eingefügt (Man.), κεῖται vorangestellt statt hinter ἀστήρ (Sch.). — **18.** Αὐτὸς δὲ auch T. — **18.** Τῷ ἡλίῳ κινεῖται auch T.

6. Die Excentricität der Sonnenbahn.

Εἰ μὲν οὖν ὁ ἥλιος ἐκινεῖτο ἐπὶ τῶν κατηστερισμένων § 28.
ζῳδίων, πάντως ἂν ἐγίνοντο οἱ μεταξὺ τῶν τροπῶν καὶ τῶν ἰσημεριῶν χρόνοι ἴσοι ἀλλήλοις. τὰς γὰρ ἴσας περιφερείας ἰσοταχῶς κινούμενος ὤφειλεν ἐν ἴσοις διανύειν χρόνοις. ὁμοίως δὲ εἰ καὶ κατώτερον τοῦ ζῳδιακοῦ κύκλου φερόμενος ὁ ἥλιος περὶ τὸ αὐτὸ κέντρον ἐκινεῖτο τῷ ζῳδιακῷ κύκλῳ, καὶ οὕτως ἂν ἐγίνοντο οἱ μεταξὺ τῶν τροπῶν καὶ τῶν ἰσημεριῶν χρόνοι ἴσοι. πάντες γὰρ οἱ περὶ τὸ αὐτὸ κέντρον γραφόμενοι κύκλοι ὁμοίως ὑπὸ τῶν διαμέτρων διαιροῦνται. ὥςτε ἐπεὶ ὁ ζῳδιακὸς κύκλος εἰς τέσσαρα μέρη ἴσα τέμνεται ὑπὸ τῶν διαμέτρων τῶν τὰ τροπικὰ καὶ τὰ ἰσημερινὰ σημεῖα ἐπιζευγνυουσῶν, ἀνάγκη καὶ τὸν ἡλιακὸν κύκλον εἰς τέσσαρα μέρη διαιρεῖσθαι ἴσα ὑπὸ τῶν αὐτῶν διαμέτρων. ἰσοταχῶς οὖν κινούμενος ὁ ἥλιος ἐπὶ τῆς ἰδίας σφαίρας ἴσους ἂν ἀπετέλει τοὺς τῶν τεταρτημορίων χρόνους. νυνὶ δὲ κατώτερον φέρεται ὁ ἥλιος καὶ ἐπὶ ἐκκέντρου κύκλου κινεῖται, καθάπερ ὑπογέγραπται (Fig. 1). *οὐ γὰρ τὸ αὐτὸ κέντρον ἐστὶ τοῦ ἡλιακοῦ κύκλου καὶ τοῦ ζῳδιακοῦ, ἀλλ' ἐφ' ἓν μέρος παρῆκται ἡ τοῦ ἡλίου*

---

12. *Τέμνεται* = *διαιρεῖται* (so auch T.). — **13.** *Τὰ* Sch. — **16.** *Σφαίρας* (auch T.) bezeichnet die durchsichtige oder blofs gedachte Hohlkugel, auf der die Sonne rollt. Solche Sphären legten die Alten jedem Planeten bei. Schöpfer der Sphärenharmonie war Pythagoras (B. 1, § 13). Schöpfer einer komplizierten Sphärentheorie war Eudoxos (B. 1, S. 7, 14. B. 2, S. 17, 5). — **18.** *Καθάπερ ὑπογέγραπται* wie unten gezeichnet ist (Fig. 1). — **20.** *Ἐφ' ἓν μέρος παρῆκται* nach einem Quadranten (*μέρος* = *τεταρτημόριον*) hin seitwärts geschoben (in unserer Figur nach rechts oben).

σφαῖρα. διὰ δὲ τὴν τοιαύτην θέσιν εἰς τέσσαρα μέρη ἄνισα διαιρεῖται ὁ ἡλιακὸς δρόμος. καὶ γίνεται μεγίστη μὲν περιφέρεια ἡ ὑποπεπτωκυῖα ὑπὸ τὸ τοῦ ζῳδιακοῦ κύκλου τεταρτημόριον τὸ ἀπὸ Κριοῦ πρώτης μοίρας μέχρι Διδύμων μοίρας τριακοστῆς, ἐλαχίστη δὲ περιφέρεια ἡ κειμένη ὑπὸ τὸ τεταρτημόριον τὸ ἀπὸ Ζυγοῦ πρώτης μοίρας μέχρι Τοξότου μοίρας τριακοστῆς.

§ 29. Ὅθεν εὐλόγως ὁ ἥλιος ἰσοταχῶς κινούμενος ἐπὶ τοῦ ἰδίου κύκλου τὰς ἀνίσους περιφερείας ἐν ἀνίσοις χρόνοις διέρχεται καὶ τὴν μὲν μεγίστην ἐν μεγίστῳ, τὴν δὲ ἐλαχίστην ἐν ἐλαχίστῳ χρόνῳ διαπορεύεται. ἀλλ' ὅταν μὲν τὴν μεγίστην περιφέρειαν ἐπὶ τοῦ ἰδίου κύκλου διανύῃ, τότε παροδεύει τὸ τοῦ ζῳδιακοῦ τεταρτημόριον τὸ ἀπὸ ἰσημερίας ἐαρινῆς μέχρι τροπῆς θερινῆς· ὅταν δὲ τὴν ἐλαχίστην περιφέρειαν ἐπὶ τοῦ ἰδίου κύκλου κινῆται, τότε παροδεύει τοῦ ζῳδιακοῦ τὸ τεταρτημόριον τὸ ἀπὸ ἰσημερίας φθινοπωρινῆς μέχρι τροπῆς χειμερινῆς. ἐπεὶ οὖν ἄνισοι περιφέρειαι τοῦ ἡλιακοῦ κύκλου ὑπὸ ἴσας περιφερείας τοῦ ζῳδιακοῦ κύκλου ὑποπεπτώκασιν, ἀνάγκη ἀνίσους γίνεσθαι τοὺς ἀπὸ τῶν τροπῶν μέχρι τῶν ἰσημεριῶν χρόνους, καὶ μέγιστον μὲν τὸν ἀπὸ ἰσημερίας ἐαρινῆς μέχρι τροπῆς θερινῆς, ἐλάχιστον δὲ τὸν ἀπὸ ἰσημερίας φθινοπωρινῆς μέχρι τροπῆς χειμερινῆς. ὁ μὲν οὖν ἥλιος διὰ παντὸς ἰσοταχῶς κινεῖται, διὰ δὲ τὴν ἐκκεντρότητα τῆς ἡλιακῆς σφαίρας ἐν ἀνίσοις χρόνοις διαπορεύεται τὰ τοῦ ζῳδιακοῦ τεταρτημόρια.

Διὰ δὲ τὴν αὐτὴν αἰτίαν καὶ τὰ ἴσα ζῴδια ἐν ἀνίσοις χρόνοις διαπορεύεται ὁ ἥλιος. ἐὰν γὰρ ἀπὸ τῶν περάτων

τῶν δωδεκατημορίων ἐπὶ τὸ κέντρον τοῦ ζῳδιακοῦ κύκλου ἐπιζεύξωμεν εὐθείας, καθάπερ ὑπογέγραπται (Fig. 1), ἔσται ὁ μὲν τῶν ζῳδίων κύκλος εἰς ιβ′ μέρη ἴσα διῃρημένος, ὁ δὲ τοῦ ἡλίου κύκλος διὰ τὴν ἐκκεντρότητα εἰς ιβ′ μέρη ἄνισα διῃρημένος, καὶ μεγίστη μὲν περιφέρεια ἡ ὑποπεπτωκυῖα ὑπὸ τοὺς Διδύμους, ἐλαχίστη δὲ ἡ ὑποπεπτωκυῖα ὑπὸ τὸν Τοξότην. δι' ἣν αἰτίαν ἐν πλείστῳ μὲν χρόνῳ διαπορεύεται ὁ ἥλιος τοὺς Διδύμους, ἐν ἐλαχίστῳ δὲ χρόνῳ τὸν Τοξότην, αὐτὸς μὲν διὰ παντὸς ἰσοταχῶς κινούμενος, διὰ δὲ τὴν ἐκκεντρότητα εἰς ἄνισα μέρη διαιρουμένου τοῦ ἡλιακοῦ κύκλου συμβαίνει καὶ τοὺς χρόνους ἀνίσους εἶναι τῶν ζῳδίων.

7. Die Sternbilder.

A. Des Zodiacus. § 30.

Τὰ κατηστερισμένα ἄστρα διαιρεῖται εἰς μέρη τρία· ἃ μὲν γὰρ αὐτῶν ἐπὶ τοῦ ζῳδιακοῦ κύκλου κεῖται, ἃ δὲ λέγεται βόρεια, ἃ δὲ προσαγορεύεται νότια.

Τὰ μὲν οὖν ἐπὶ τοῦ ζῳδιακοῦ κύκλου κείμενά ἐστι τὰ ιβ′ ζῴδια, ὧν τὰς ὀνομασίας προειρήκαμεν. καὶ ἐν τοῖς ιβ′ ζῳδίοις τινὲς ἀστέρες διὰ τὰς ἐπ' αὐτοῖς γινομένας ἐπισημασίας ἰδίας προσηγορίας ἠξιωμένοι εἰσίν. οἱ μὲν γὰρ ἐπὶ τοῦ Ταύρου ἐπὶ τοῦ νώτου αὐτοῦ κείμενοι

---

2. *Εὐθείας.* Ein Wort für ‚Radius' ist dem Griechischen fremd. — **15.** *Κατηστερισμένα* zu Bildern vereinigt (S. 59, 3). — **15.** *Ἄστρα* auch T. — **15.** *Μέρη* Gruppen, Schichten. — **17.** Wir scheiden die nördliche und südliche Sternhemisphäre durch den Äquator, nicht durch den Zodiacus. — **21.** *Ἐπισημασίας* Wetterbestimmungen, Wetterprognosen (§ 60).

ἀστέρες τὸν ἀριθμὸν ἓξ καλοῦνται Πλειάδες. οἱ δὲ ἐπὶ τοῦ βουκράνου τοῦ Ταύρου κείμενοι ἀστέρες τὸν ἀριθμὸν πέντε καλοῦνται Ὑάδες. ὁ δὲ προηγούμενος τῶν ποδῶν τῶν Διδύμων ἀστὴρ προσαγορεύεται Πρόπους. οἱ δὲ ἐν τῷ Καρκίνῳ νεφελοειδεῖ συστροφῇ ἐοικότες καλοῦνται Φάτνη. οἱ δὲ πλησίον αὐτῆς δύο ἀστέρες κείμενοι Ὄνοι προσαγορεύονται. ὁ δὲ ἐν τῇ καρδίᾳ τοῦ Λέοντος κείμενος λαμπρὸς ἀστὴρ ὁμωνύμως τῷ τόπῳ, ἐφ' ᾧ κεῖται, Καρδία Λέοντος προσαγορεύεται· ὑπὸ δέ τινων Βασιλίσκος καλεῖται, ὅτι δοκοῦσιν οἱ περὶ τὸν τόπον τοῦτον γεννώμενοι βασιλικὸν ἔχειν τὸ γενέθλιον. ὁ δὲ ἐν ἄκρᾳ τῇ ἀριστερᾷ χειρὶ τῆς Παρθένου κείμενος λαμπρὸς ἀστὴρ Στάχυς προσαγορεύεται. ὁ δὲ παρὰ τὴν δεξιὰν τῆς Παρθένου πτέρυγα κείμενος ἀστερίσκος Προτρυγητὴρ ὀνομάζεται. οἱ δὲ ἐν ἄκρᾳ τῇ δεξιᾷ χειρὶ κείμενοι τοῦ Ὑδροχόου τέσσαρες ἀστέρες Κάλπις καλοῦνται. οἱ δὲ ἀπὸ τῶν οὐραίων μερῶν τῶν Ἰχθύων

---

1. *Ἕξ.* Erat. Cat. (Robert 134): *Ἀστέρας ἑπτὰ λέγουσιν εἶναι τῶν Ἄτλαντος θυγατέρων ... οὐχ ὁρῶνται δὲ αἱ ἑπτά, ἀλλ' αἱ ἕξ· τὸ δὲ αἴτιον οὕτω πως λέγεται. τὰς μὲν γὰρ ἓξ φασι θεοῖς μιγῆναι, τὴν δὲ μίαν θνητῷ.* Die bekannteste ist die *Μαῖα*, Mutter des Hermes. Poetisch: *Πληιάδες.* Horaz C. IV 14, 21: *Plēiadum choro scindente nubes.* — **2.** *Βούκρανον* Stierkopf. Genauer wäre *μέτωπον* Stirn. — **3.** *Πέντε.* Andere: *ἑπτά.* — **3.** *Ὑάδες* von *ὕω* regnen. Horaz C. I 3, 14: *tristes Hyadas.* — **3.** *Προηγούμενος* vorangehend. — **5.** *Συστροφή* Haufen, *νεφελοειδὴς συστροφή* Nebelfleck. — **6.** *Φάτνη* Krippe. — **9.** *Βασιλίσκος.* Heifst noch heute ‚Regulus'. — **10.** *Περὶ τὸν τόπον τοῦτον* wenn dieser Punkt (der Ekliptik) aufgeht. — **11.** *Γενέθλιον* Abstammung. — **12.** *Στάχυς* Ähre. Noch heute ‚Spica'. — **14.** *Προτρυγητήρ* Winzerin. Noch heute ‚Vindemiatrix'. — **15.** *Κάλπις* Krug. — **16.** *Οὐραῖα μέρη* Schwanzteile.

κατὰ τὸ ἑξῆς κείμενοι ἀστέρες Λίνοι προσαγορεύονται. εἰσὶ δὲ ἐν μὲν τῷ νοτίῳ λίνῳ ἀστέρες ἐννέα, ἐν δὲ τῷ βορείῳ λίνῳ ἀστέρες πέντε. ὁ δὲ ἐν ἄκρῳ τῷ λίνῳ κείμενος λαμπρὸς ἀστὴρ Σύνδεσμος προσαγορεύεται.

B. Der nördlichen Halbkugel. § 31.

Βόρεια δέ ἐστιν, ὅσα τοῦ τῶν ζῳδίων κύκλου πρὸς ἄρκτους κεῖται. ἔστι δὲ τάδε· ἡ Μεγάλη Ἄρκτος, ἡ Μικρά, Δράκων ὁ διὰ τῶν Ἄρκτων, Ἀρκτοφύλαξ, Στέφανος, ὁ Ἐνγούνασιν, Ὀφιοῦχος, Ὄφις, Λύρα, Ὄρνις, Ὀϊστός, Ἀετός, Δελφίς, Προτομὴ Ἵππου καθ' Ἵππαρχον, Ἵππος, Κηφεύς, Κασσιέπεια, Ἀνδρομέδα, Περσεύς, Ἡνίοχος, Δελτωτὸν καὶ ὁ ὕστερον κατηστερισμένος ὑπὸ Καλλιμάχου Βερενίκης Πλόκαμος.

Πάλιν δὲ καὶ ἐν τούτοις ἀστέρες τινὲς ἰδίας ἔχουσι προσηγορίας διὰ τὰς ὁλοσχερεῖς ἐπ' αὐτοῖς γινομένας ἐπισημασίας. ὁ μὲν γὰρ ἀνὰ μέσον τῶν σκελῶν τοῦ Ἀρκτοφύλακος κείμενος ἐπίσημος ἀστὴρ Ἀρκτοῦρος ὀνομάζεται.

---

1. *Λίνοι* Bänder. — **4.** *Σύνδεσμος* Knoten; von *δέω* binden. — **7.** *Ἄρκτος*, wovon ‚arktisch'. Meist zum Ausdruck nordischer Kälte gebraucht. Horaz C. I 26, 3: *quis sub Arcto rex gelidae metuatur orae;* cf. II 15, 16. — **8.** *Ἀρκτοφύλαξ* Bärenhüter. Heifst auch *Βοώτης* ‚Stierpflüger', weil man die Bären auch als *septem triones* ‚sieben Pflugochsen' auffafste. — **9.** *Στέφανος* Krone. — **9.** *Ἐνγούνασιν* auf den Knieen, knieend; jetzt ‚Hercules'. — **9.** *Ὀφιοῦχος* Schlangenträger. — **10.** *Προτομή* Vorderteil, Brustbild. Über Hipparch S. 16, 8. 60, 9. — **12.** *Ἡνίοχος*. Jetzt ‚Fuhrmann'. — **12.** *Δελτωτόν* Dreieck, von *δέλτα*. Heut ‚Triangel'. — **13.** *Καλλιμάχου*. Irrtum für *Κόνωνος*: B. 1, S. 16, 7. — **15.** *Ὁλοσχερής* hauptsächlich, wichtig. — **17.** *Ἐπίσημος* leuchtend. — **17.** *Ἀρκτοῦρος*. Noch heute ‚Arktur'.

ὁ δὲ παρὰ τὴν Λύραν κείμενος λαμπρὸς ἀστὴρ ὁμωνύμως ὅλῳ τῷ ζῳδίῳ Λύρα προσαγορεύεται. ὁ δὲ μέσος τῶν ἐν τῷ Ἀετῷ τριῶν ἀστέρων ὁμωνύμως ὅλῳ τῷ ζῳδίῳ Ἀετὸς προσαγορεύεται. οἱ δὲ ἐν ἄκρᾳ τῇ ἀριστερᾷ χειρὶ τοῦ Περσέως κείμενοι ἀστέρες Γοργόνιον καλοῦνται. οἱ δὲ ἐν ἄκρᾳ τῇ δεξιᾷ χειρὶ τοῦ Περσέως κείμενοι ἀστερίσκοι πυκνοὶ καὶ μικροὶ εἰς τὴν Ἅρπην καταστερίζονται. ὁ δὲ ἐν τῷ εὐωνύμῳ ὤμῳ τοῦ Ἡνιόχου κείμενος λαμπρὸς ἀστὴρ Αἲξ προσαγορεύεται, οἱ δὲ ἐν ἄκρᾳ τοῦ αὐτοῦ χειρὶ κείμενοι ἀστερίσκοι δύο Ἔριφοι καλοῦνται.

§ 32. C. Der südlichen Halbkugel.

Νότια δέ ἐστιν, ὅσα τοῦ τῶν ζῳδίων κύκλου πρὸς μεσημβρίαν κεῖται. ἔστι δὲ τάδε· Ὠρίων καὶ Προκύων, Κύων, Λαγωός, Ἀργώ, Ὕδρος, Κρατήρ, Κόραξ, Κένταυρος,

---

Sein Untergang (Ende Oktober) bedeutete Beginn der Winterstürme. Horaz C. III 1, 27: *saevus Arcturi cadentis impetus.* Den Wetteraberglauben teilt Horaz, so scheint es; des astrologischen Aberglaubens spottet er II 17, 17. — **2.** *Λύρα.* Heut ‚Wega'. — **4.** *Ἀετός.* Heut ‚Atair'. — **5.** *Γοργόνιον* (so auch T.) Medusenhaupt. — **7.** *Ἅρπη* sichelförmiges Schwert. Mit einem solchen tötete Perseus die Gorgone *Μέδουσα* (Apollod. II 4, 2: *λαβὼν παρὰ Ἑρμοῦ ἀδαμαντίνην ἅρπην*), mit einem solchen wird er auch meist abgebildet. — **7.** *Καταστερίζονται* zu einem Sternbilde vereinen (S. 59, 3). — **9.** *Αἴξ.* Noch heut ‚Kapella'. — **9.** *Ἐν ἄκρᾳ τοῦ αὐτοῦ χειρί* auch T. — **10.** *Ἔριφοι* Böckchen. — **13.** *Ὠρίων.* Sein Untergang (Beginn November) bedeutet Winterstürme. Horaz I 28, 21: *rabidus comes Orionis Notus.* III 27, 18: *pronus Orion.* epod. X 10: *qua tristis Orion cadit.* XV 7: *nautis infestus Orion turbaret hibernum mare.* — **13.** *Προκύων.* Heute ‚kleiner Hund'. — **14.** *Λαγωός* Hase. — **14.** *Ὕδρος* Wasserschlange. — **14.** *Κρατήρ.* Heute ‚Becher'.

Θηρίον, ὃ κρατεῖ ὁ Κένταυρος, καὶ Θυρσόλογχος, ὃν κρατεῖ ὁ Κένταυρος καθ' Ἵππαρχον, Θυμιατήριον, Νότιος Ἰχθύς, Κῆτος, Ὕδωρ τὸ ἀπὸ τοῦ Ὑδροχόου, Ποταμὸς ὁ ἀπὸ τοῦ Ὠρίωνος, Νότιος Στέφανος, ὑπὸ δέ τινων Οὐρανίσκος προσαγορευόμενος, Κηρύκιον καθ' Ἵππαρχον.

Πάλιν δὲ καὶ ἐν τούτοις τινὲς ἀστέρες ἰδίας ἔχουσι προσηγορίας. ὁ μὲν γὰρ ἐν τῷ Προκύνι ὢν λαμπρὸς ἀστὴρ Προκύων καλεῖται. ὁ δὲ ἐν τῷ στόματι τοῦ Κυνὸς λαμπρὸς ἀστήρ, ὃς δοκεῖ τὴν ἐπίτασιν τὴν τῶν καυμάτων ποιεῖν, ὁμωνύμως ὅλῳ τῷ ζῳδίῳ Κύων προσαγορεύεται. ὁ δὲ ἐν ἄκρῳ τῷ πηδαλίῳ τῆς Ἀργοῦς κείμενος λαμπρὸς ἀστὴρ Κάνωπος ὀνομάζεται. οὗτος μὲν ἐν Ῥόδῳ δυσθεώρητός ἐστιν ἢ παντελῶς ἀφ' ὑψηλῶν τόπων ὁρᾶται· ἐν Ἀλεξανδρείᾳ δέ ἐστι παντελῶς ἐμφανής· σχεδὸν γὰρ τέταρτον μέρος ζῳδίου ἀπὸ τοῦ ὁρίζοντος μεμετεωρισμένος φαίνεται.

---

1. *Θηρίον* Wild. Heute ‚Wolf'. — **1.** *Θυρσόλογχος* Thyrsoslanze, d. h. eine Lanze, die wie der Stab des Bacchus (*θύρσος*) mit Epheu und Weinlaub umwunden ist. — **2.** *Θυμιατήριον* Rauchaltar. Heute ‚Altar'. — **3.** *Κῆτος* Meerungeheur. Heute ‚Walfisch'. — **3.** *Ποταμός*. Heute ‚Eridanus'. — **4.** *Οὐρανίσκος* Sternendecke, Sternzelt, Baldachin. — **5.** *Κηρύκιον* (so auch T.) Heroldstab. — **8.** *Προκύων*. Auch heute ‚Procyon'. — **9.** *Τὴν τῶν καυμάτων* auch T. — **10.** *Κύων*. Heute ‚Sirius' (*Σείριος*). Daher ‚Hundstagsferien'. Horaz Od. I 17, 7: *Caniculae aestus*. Sat. I 7, 25: *Canem invisum agricolis sidus*. Epist. I 10, 16: *rabiem Canis*. — **11.** *Πηδάλιον* Steuer. — **12.** *Κάνωπος* ist in der nachhomerischen Sage der Steuermann des Menelaos. — **13.** *Παντελῶς* überhaupt. Erg. ‚nur'. — **14.** *Σχεδόν* ungefähr. — **15.** *Τέταρτον μέρος ζῳδίου* = $7^1/_2$ Grad. Leidlich genaue Beobachtung: Der Breitenunterschied von Rhodos und Alexandria beträgt etwa 5,12 Grad.

III. Achse, Pole, Kreise des Himmels.

§ 33. 8. Achse und Pole der Welt.

Τοῦ δὲ κόσμου σφαιροειδοῦς ὑπάρχοντος ἄξων καλεῖται ἡ διάμετρος τοῦ κόσμου, περὶ ἣν στρέφεται ὁ κόσμος. τὰ δὲ πέρατα τοῦ ἄξονος πόλοι λέγονται τοῦ κόσμου. τῶν δὲ πόλων ὁ μὲν λέγεται βόρειος, ὁ δὲ νότιος, βόρειος μὲν ὁ διὰ παντὸς φαινόμενος ὡς πρὸς τὴν ἡμετέραν οἴκησιν, νότιος δὲ ὁ διὰ παντὸς ἀόρατος ὡς πρὸς τὸν ἡμέτερον ὁρίζοντα. εἰσὶ μέντοι τόποι τινὲς ἐπὶ τῆς γῆς, ὅπου συμβαίνει τὸν μὲν παρ' ἡμῖν πόλον τὸν ἀεὶ φανερὸν ἐκείνοις ἀόρατον εἶναι, τὸν δὲ παρ' ἡμῖν ἀόρατον ἐκείνοις φανερὸν εἶναι. καὶ πάλιν ἔστι τις τόπος ἐπὶ τῆς γῆς, ὅπου οἱ δύο πόλοι ὁμοίως ἐπὶ τοῦ ὁρίζοντος κεῖνται.

§ 34. 9. Die fünf Hauptparallelkreise.

Τῶν δὲ ἐν τῇ σφαίρᾳ κύκλων οἱ μέν εἰσι παράλληλοι, οἱ δὲ λοξοί, οἱ δὲ διὰ τῶν πόλων. παράλληλοι μέν εἰσιν οἱ τοὺς αὐτοὺς πόλους ἔχοντες τῷ κόσμῳ. εἰσὶ

---

3. *Σφαιροειδής* kugelförmig. — **5.** *Πόλοι* Drehpunkte, Pole. Von *πέλομαι versari.* — **9.** *Τὸν ἡμέτερον ὁρίζοντα* d. h. den Horizont von Rhodos (S. 62, 5). — **14.** *Κεῖνται*, nämlich von den Horizonten des Äquators aus gesehen. — **16.** *Σφαῖρα* heifst: 1. Ball (schon Homer: *σφαίρῃ παίζειν* ζ 100, *ῥίπτειν* ζ 115); 2. Kugel (Plato Tim. 100 C *κέντρον τῆς σφαίρας*); 3. Himmelssphäre (Eudoxos B. 1, S. 7, 14); 4. Himmelsglobus (Archimedes). Hier gilt die dritte Bedeutung. — **17.** *Λοξοί* schief. Das Wort steckt im Namen der für die Nautik wichtigen ‚Loxodromischen' Linien, d. h. der Linien ‚schiefen Laufes' (*δρόμος*), spiraliger Linien, die alle Meridiane unter gleichem Winkel schneiden.

δὲ παράλληλοι κύκλοι πέντε· ἀρκτικός, θερινὸς τροπικός, ἰσημερινός, χειμερινὸς τροπικός, ἀνταρκτικός.

Ἀρκτικὸς μὲν οὖν ἐστι κύκλος ὁ μέγιστος τῶν ἀεὶ θεωρουμένων κύκλων, ὁ ἐφαπτόμενος τοῦ ὁρίζοντος καθ' ἓν σημεῖον καὶ ὅλος ὑπὲρ γῆν ἀπολαμβανόμενος, ἐν ᾧ τὰ κείμενα τῶν ἄστρων οὔτε δύσιν οὔτε ἀνατολὴν ποιεῖται, ἀλλὰ δι' ὅλης τῆς νυκτὸς περὶ τὸν πόλον στρεφόμενα θεωρεῖται. οὗτος δὲ ὁ κύκλος ἐν τῇ καθ' ἡμᾶς οἰκουμένῃ ὑπὸ τοῦ ἐμπροσθίου ποδὸς τῆς Μεγάλης Ἄρκτου περιγράφεται.

Θερινὸς δὲ τροπικὸς κύκλος ἐστὶν ὁ βορειότατος τῶν ὑπὸ τοῦ ἡλίου γραφομένων κύκλων κατὰ τὴν ὑπὸ τοῦ κόσμου γινομένην περιστροφήν, ἐφ' οὗ γενόμενος ὁ ἥλιος τὴν θερινὴν τροπὴν ποιεῖται, ἐν ᾗ ἡ μεγίστη μὲν πασῶν τῶν ἐν τῷ ἐνιαυτῷ ἡμέρα, ἐλαχίστη δὲ ἡ νὺξ γίνεται. μετὰ μέντοι γε τὴν θερινὴν τροπὴν οὐκέτι πρὸς τὰς ἄρκτους παροδεύων ὁ ἥλιος θεωρεῖται, ἀλλ' ἐπὶ τὰ ἕτερα μέρη τρέπεται τοῦ κόσμου, διὸ καὶ κέκληται τροπικός.

---

1. *Ἀρκτικός* nördlicher Polarkreis. — **2.** *Ἀνταρκτικός* südlicher Polarkreis. — **5.** *Καθ' ἓν σημεῖον.* Die Alten verstehen also unter Polarkreisen nicht wie wir feste Kreise, die vom Pol soweit entfernt sind, wie die Wendekreise vom Äquator, sondern die Grenzkreise des stets sichtbaren Teiles des Sternhimmels, die mit dem Horizonte wechseln. — **5.** *Ἀπολαμβάνειν* eig. abschneiden, abgrenzen; also: bestimmen, wohin verlegen (daher *ὑπὲρ γῆν*, nicht *ὑπὲρ γῆς*). — **5.** *Ἐν ᾧ* (= *ἐντὸς οὗ*) gehört zu *κείμενα*, eine im Deutschen unmögliche Konstruktion. — **8.** *Ἐν τῇ καθ' ἡμᾶς οἰκουμένῃ* ungenau für *ὡς πρὸς τὴν ἡμετέραν οἴκησιν*, wie es S. 76, 21 heifst (Man.). — **9.** *Ἐμπρόσθιος* vordere. Schon Herodot IV 60: *τὸ ἱρήιον* (Opfertier) *αὐτὸ ἐμπεποδισμένον τοὺς ἐμπροσθίους πόδας ἕστηκε.* — **11.** *Ὑπὸ* (Sch.) vor *τ. κόσμου*, vgl. S. 76, 7. — **13.** *Ἡ μεγίστη* auch T. — **15.** *Παροδεύων* S. 60, 3.

Ἰσημερινὸς δέ ἐστι κύκλος ὁ μέγιστος τῶν πέντε παραλλήλων κύκλων, ὁ διχοτομούμενος ὑπὸ τοῦ ὁρίζοντος, ὥςτε ἡμικύκλιον μὲν ὑπὲρ γῆν ἀπολαμβάνεσθαι, ἡμικύκλιον δὲ ὑπὸ τὸν ὁρίζοντα, ἐφ' οὗ γενόμενος ὁ ἥλιος τὰς ἰσημερίας ποιεῖται, τήν τε ἐαρινὴν καὶ τὴν φθινοπωρινήν.

Χειμερινὸς δὲ τροπικὸς κύκλος ἐστὶν ὁ νοτιώτατος τῶν ὑπὸ τοῦ ἡλίου γραφομένων κύκλων κατὰ τὴν ὑπὸ τοῦ κόσμου γινομένην περιστροφήν, ἐφ' οὗ γενόμενος ὁ ἥλιος τὴν χειμερινὴν τροπὴν ποιεῖται, ἐν ᾗ ἡ μεγίστη μὲν πασῶν τῶν ἐν τῷ ἐνιαυτῷ νὺξ ἐπιτελεῖται, ἐλαχίστη δὲ ἡ ἡμέρα. μετὰ μέντοι γε τὴν χειμερινὴν τροπὴν οὐκέτι πρὸς μεσημβρίαν παροδεύων ὁ ἥλιος θεωρεῖται, ἀλλ' ἐπὶ τὰ ἕτερα μέρη τρέπεται τοῦ κόσμου, διὸ κέκληται καὶ οὗτος τροπικός.

Ἀνταρκτικὸς δέ ἐστι κύκλος ἴσος καὶ παράλληλος τῷ ἀρκτικῷ καὶ ἐφαπτόμενος τοῦ ὁρίζοντος καθ' ἓν σημεῖον καὶ ὅλος ὑπὸ γῆν ἀπολαμβανόμενος, ἐν ᾧ τὰ κείμενα τῶν ἄστρων διὰ παντὸς ἡμῖν ἐστιν ἀόρατα.

Τῶν δὲ προειρημένων πέντε κύκλων μέγιστος μέν ἐστιν ὁ ἰσημερινός, ἑξῆς δὲ τοῖς μεγέθεσιν οἱ τροπικοί, ἐλάχιστοι δὲ ὡς πρὸς τὴν ἡμετέραν οἴκησιν οἱ ἀρκτικοί. τούτους δὲ τοὺς κύκλους δεῖ νοεῖν ἀπλατεῖς, λόγῳ θεωρη-

---

2. *Διχοτομούμενος* halbiert. — **7.** *Ὑπό* unter. Denn die Sonne läuft ja auf einer mit dem Himmel nicht konzentrischen Sphäre (§ 28). — **17.** *Ἐν ᾧ* gehört zu *κείμενα* (S. 75, 5). — **20.** *Ἑξῆς* demnächst. — **22.** *Δέ* auch T. Andere Handschriften *δή*. — **22.** *Ἀπλατεῖς* ohne Breitenausdehnung. — **22.** *Λόγῳ* in Gedanken.

τούς, ἐκ τῆς τῶν ἀστέρων θέσεως καὶ τῆς τῶν διόπτρων θεωρίας καὶ τῆς ἡμετέρας ἐπινοίας διατυπουμένους. μόνος γὰρ ἐν τῷ κόσμῳ κύκλος ἐστὶ θεωρητὸς ὁ τοῦ γάλακτος, οἱ δὲ λοιποὶ λόγῳ εἰσὶ θεωρητοί.

10. Die übrigen Parallelkreise. § 35.

Πέντε δὲ παράλληλοι μόνον καταγράφονται κύκλοι εἰς τὴν σφαῖραν, οὐ διὰ τὸ μόνον τούτους ἐν τῷ κόσμῳ παραλλήλους εἶναι. ὁ γὰρ ἥλιος καθ' ἑκάστην ἡμέραν ὡς πρὸς αἴσθησιν κύκλον παράλληλον περιστρέφεται τῷ ἰσημερινῷ κατὰ τὴν ἐπὶ τοῦ κόσμου γινομένην περιστροφήν, ὥςτε μεταξὺ τῶν τροπικῶν κύκλων ρπβ' κύκλους παραλλήλους γράφεσθαι ὑπὸ τοῦ ἡλίου· τοσαῦται γὰρ ἡμέραι εἰσὶν αἱ μεταξὺ τῶν τροπῶν. φέρονται δὲ καὶ πάντες οἱ ἀστέρες ἐπὶ παραλλήλων κύκλων καθ' ἑκάστην ἡμέραν. οὐ καταγράφονται δὲ οὗτοι πάντες εἰς τὴν σφαῖραν διὰ τὸ πρὸς μὲν ἄλλας πραγματείας τῶν ἐν τῇ ἀστρολογίᾳ πολλὰ συμβάλλεσθαι· οὐδὲ γὰρ καταστερισθῆναι δυνατὸν καλῶς τὴν σφαῖραν ἄνευ πάντων τῶν παραλλήλων κύκλων,

---

1. *Δίοπτρον = διόπτρα* S. 59, 2. — **2.** *Θεωρίας* Beobachtung, Erkenntnis. — **2.** *Ἐπινοίας* Vorstellung. — **2.** *Διατυπούμενος* S. 58, 6. — **3.** *Θεωρητὸς sc. ὀφθαλμῷ.* — **6.** *Καταγράφω* einzeichnen, eintragen. — **7.** *Σφαῖρα* Himmelsglobus. — **10.** *Ἐπὶ τοῦ κόσμου* ist einstimmig (auch von T.) für *ὑπὸ τ. κ.* (S. 76, 7) überliefert; es widerspricht dem obigen *κατώτερον* (S. 67, 17) nur scheinbar, da eben das einschränkende *ὡς πρὸς αἴσθησιν* gesagt ist. — **11.** *Κύκλους ρπβ'* $= 182 = \frac{365}{2}$. — **16.** *Πρὸς μὲν.* Ggstz: *πρός μέντοι γε* S. 78, Z. 2. — **16.** *Πραγματείας τῶν ἐν τῇ ἀστρολογίᾳ (sc. πραγματειῶν)* astronomische Zwecke.

οὐδὲ τὰ μεγέθη τῶν νυκτῶν καὶ τῶν ἡμερῶν ἀκριβῶς εὑρεθῆναι ἄνευ τῶν προειρημένων κύκλων· πρὸς μέντοι γε τὴν πρώτην εἰσαγωγὴν τῆς ἀστρολογίας οὐδὲν ἀποτέλεσμα προσφερόμενοι οὐ καταγράφονται ἐν τῇ σφαίρᾳ. οἱ δὲ πέντε παράλληλοι κύκλοι διὰ τὸ ἀποτελέσματά τινα προσφέρεσθαι διωρισμένα εἰς τὴν πρώτην εἰσαγωγὴν τῆς ἀστρολογίας κατεγράφησαν εἰς τὴν σφαῖραν. ὁ μὲν γὰρ ἀρκτικὸς κύκλος ἀφορίζει τὰ ἀεὶ θεωρούμενα τῶν ἄστρων, ὁ δὲ θερινὸς τροπικὸς κύκλος τὴν θερινὴν τροπὴν περιέχει καὶ πέρας ἐστὶ τῆς τοῦ ἡλίου πρὸς ἄρκτον μεταβάσεως, ὁ δὲ ἰσημερινὸς κύκλος τὰς ἰσημερίας περιέχει, ὁ δὲ χειμερινὸς τροπικὸς κύκλος τέρμα ἐστὶ τῆς πρὸς μεσημβρίαν παρόδου τῷ ἡλίῳ καὶ τὴν χειμερινὴν τροπὴν περιέχει, ὁ δὲ ἀνταρκτικὸς κύκλος τὰ μὴ θεωρούμενα τῶν ἄστρων ἀφορίζει. ἔχοντες οὖν κεφάλαια καὶ ἀποτελέσματα ὡρισμένα πρὸς

---

3. *Εἰσαγωγή* Einführung, Elementarlehre. Titel auch des Geminos selber. — **3.** *Ἀποτέλεσμα* (v. *ἀποτελεῖν*) Wirkung, Folge, Bedeutung, praktischer Wert; praktische Verwendung. — **6.** *Διορίζειν* bestimmen, festsetzen. — **9.** *Περιέχειν complecti* umfassen, in sich fassen. — **10.** *Μετάβασις* Ortswechsel, Vorrücken. — **12.** *Τέρμα*, vgl. *terminus*. — **12.** *Πάροδος* seitliche Abweichung, seitliches Vorrücken (S. 60, 3). Der Ausdruck setzt voraus, daſs man nach (Osten oder) Westen schaut; dann wird Norden (oder Süden) das *latus mundi* = die Weltflanke (Horaz C. I 22, 19). So bestimmt ausdrücklich Kleomedes (p. 138) *μῆκος* und *πλάτος τῆς ὅλης οἰκουμένης*. Damit stimmt auch die Vorstellung vom Nabel der Erde, dem *ὀμφαλός* in Delphi. Vgl. S. 111, 9. ‚Vorn' (*ἐμπρόσθια*) nennt Kleomedes (p. 16) den Westen, ‚hinten' (*ὀπίσθια*) den Osten. Maſsstab ist natürlich die Richtung des täglichen Sonnenlaufs. — **15.** *Κεφάλαιον* Resultat, Ergebnis. Ausdruck der Addition: Griechen und Römer schrieben die Summanden über-

τὴν εἰσαγωγὴν τῆς ἀστρολογίας εὐλόγως κατεγράφησαν εἰς τὴν σφαῖραν.

11. Gröfse der fünf Hauptparallelen. § 36.

Τῶν δὲ προειρημένων πέντε παραλλήλων κύκλων τινῶν μὲν τὰ μεγέθη καθ' ὅλην τὴν οἰκουμένην διαμένει τὰ αὐτά, τινῶν δὲ τὰ μεγέθη μεταπίπτει παρὰ τὰ κλίματα. καὶ οἷς μὲν μείζονες, οἷς δὲ ἐλάσσονες οἱ κύκλοι γίνονται· οἱ μὲν γὰρ τροπικοὶ κύκλοι καὶ ὁ ἰσημερινὸς καθ' ὅλην τὴν οἰκουμένην ἴσοι εἰσὶ τοῖς μεγέθεσιν, οἱ δὲ ἀρκτικοὶ κύκλοι μεταπίπτουσι κατὰ τὰ μεγέθη καὶ οἷς μὲν μείζονες, οἷς δὲ ἐλάσσονες γίνονται.

Τοῖς μὲν γὰρ πρὸς ἄρκτον οἰκοῦσι μείζονες οἱ ἀρκτικοὶ κύκλοι γίνονται· τοῦ γὰρ πόλου μετεωρότερον φαινομένου ἀνάγκη καὶ τὸν ἀρκτικὸν κύκλον τὸν ἐφαπτόμενον τοῦ ὁρίζοντος μείζονα ἀεὶ μᾶλλον γίνεσθαι. τοῖς δ' ἔτι πρὸς ἄρκτον οἰκοῦσι γίνεταί ποτε ὁ θερινὸς τροπικὸς κύκλος ἀρκτικός, ὥςτε τοὺς δύο κύκλους ἐφαρμόσαι ἀλλήλοις, τὸν θερινὸν τροπικὸν κύκλον καὶ τὸν ἀρκτικόν, καὶ μίαν λαβεῖν

---

einander, die Summe auf die oberste Linie. Daher *summa (sc. linea)* = Summe, Facit, Resultat. — **1.** *Εὐλόγως* vernünftigerweise, eig. mit gutem Grunde. — **5.** *Καθ' ὅλην τὴν οἰκουμένην.* Man schied *γῆ* ‚Erde' und *οἰκουμένη* ‚bewohnter Teil der Erde' und nahm seit Krates v. Mallos (§ 9) vier *οἰκουμέναι* an. Also hat *οἰκουμένη* eine technische Bedeutung. Hier aber kann der Ausdruck nicht Terminus technicus sein, sondern mufs ganz allgemein heifsen: *καθ' ὅλην τὴν οἰκουμένην γῆν* ‚überall wo Menschen wohnen' = *παρὰ πᾶσι τοῖς ἐπὶ τῆς γῆς οἰκοῦσιν.* Vgl. S. 80, 20. — **6.** *Παρά* entsprechend. — **15.** *Τοῖς δ' ἔτι* auch T. — **17.** *Ἐφαρμόσαι ἀλλήλοις* einander decken, genau aufeinander fallen. Vgl. B. 1, S. 40, 18.

τάξιν. πρὸς δὲ τοὺς ἀρκτικωτέρους τόπους καὶ τοῦ θερινοῦ τροπικοῦ κύκλου μείζονες οἱ ἀρκτικοὶ κύκλοι γίνονται. πέρας δέ ἐστί τις χώρα πρὸς ἄρκτον κειμένη, ἐν ᾗ ὁ μὲν πόλος κατὰ κορυφὴν γίνεται, ὁ δ' ἀρκτικὸς κύκλος τὴν τοῦ ὁρίζοντος ἐπέχει τάξιν καὶ ἐφαρμόζει αὐτῷ κατὰ τὴν περιστροφὴν τοῦ κόσμου καὶ τὸ αὐτὸ μέγεθος λαμβάνει τῷ ἰσημερινῷ, ὥςτε τοὺς τρεῖς κύκλους, τὸν ἀρκτικὸν καὶ τὸν ἰσημερινὸν καὶ τὸν ὁρίζοντα, τὴν αὐτὴν τάξιν καὶ θέσιν λαμβάνειν.

Πάλιν δέ τοῖς πρὸς μεσημβρίαν ἡμῶν οἰκοῦσιν οἱ μὲν πόλοι ταπεινότεροι γίνονται, οἱ δὲ ἀρκτικοὶ κύκλοι ἐλάσσονες. καὶ πέρας ἐστὶ χώρα τις πρὸς μεσημβρίαν ἡμῶν κειμένη (αὕτη δέ ἐστιν ἡ λεγομένη ὑπὸ τὸν ἰσημερινόν), ἐν ᾗ οἱ μὲν πόλοι ἐπὶ τοῦ ὁρίζοντος γίνονται, οἱ δὲ ἀρκτικοὶ κύκλοι καθόλου ἀναιροῦνται, ὥςτε ἀντὶ τῶν πέντε παραλλήλων κύκλων τρεῖς παραλλήλους γίνεσθαι, τούς τε τροπικοὺς καὶ τὸν ἰσημερινόν.

§ 37. 12. Bedeutung und Abstände der fünf Parallelen.

Ὁμοίως δὲ οὐδ' αἱ δυνάμεις τῶν πέντε παραλλήλων κύκλων παρὰ πᾶσι τοῖς ἐπὶ τῆς γῆς οἰκοῦσιν αἱ αὐταί εἰσιν. ὁ γὰρ παρ' ἡμῖν θερινὸς τροπικὸς κύκλος τοῖς ἀντίποσι χειμερινὸς τροπικὸς κύκλος γίνεται, ὁ δὲ παρ'

---

1. *Τάξιν* Platz. — **4.** *Κατὰ κορυφὴν* im Zenith. — **6.** *Περιστροφὴν* (Man.) für *ἐπιστροφήν*. — **13.** *Αὕτη* (Man.) für *αὐτή*. — **13.** *Ἡ λεγομένη ὑ. τ. ἰ.* subäquatoriale (Zone). — **15.** *Ἀναιροῦνται* aufgehoben werden, fortfallen. — **19.** *Δυνάμεις* Bedeutung. — **20.** *Γῆς*. Hier sind also alle vier *οἰκουμέναι* gemeint. — **22.** *Ἀντίποδες* Gegenfüfsler. Vgl. § 54.

ἐκείνοις θερινὸς τροπικὸς παρ' ἡμῖν γίνεται χειμερινὸς τροπικός. τοῖς δὲ ὑπὸ τὸν ἰσημερινὸν οἰκοῦσι τῇ μὲν δυνάμει οἱ τρεῖς κύκλοι θερινοί εἰσι τροπικοί· ὑπ' αὐτὴν γὰρ τὴν πάροδον τοῦ ἡλίου κεῖνται. τῇ δὲ πρὸς ἀλλήλους παραλλαγῇ γένοιτ' ἂν θερινὸς μὲν τροπικὸς κύκλος ὁ παρ' ἡμῖν ἰσημερινός, χειμερινοὶ δὲ οἱ δύο τροπικοί. φύσει γὰρ λέγοιτ' ἂν καὶ καθολικῶς πρὸς ἅπασαν τὴν οἰκουμένην θερινὸς τροπικὸς κύκλος ὑπάρχειν ὁ ἔγγιστα τῆς οἰκήσεως ὑπάρχων. δι' ἣν αἰτίαν τοῖς ὑπὸ τὸν ἰσημερινὸν οἰκοῦσι θερινὸς τροπικὸς κύκλος γίνεται ὁ ἰσημερινός. τότε γὰρ αὐτοῖς κατὰ κορυφὴν γίνεται ὁ ἥλιος. ἰσημερινοὶ δὲ κύκλοι γίνονται παρ' αὐτοῖς πάντες οἱ παράλληλοι. ἰσημερία γὰρ διὰ παντός ἐστι παρ' αὐτοῖς· πάντες γὰρ οἱ παράλληλοι κύκλοι διχοτομοῦνται ὑπὸ τοῦ ὁρίζοντος.

*Οὐδὲ αἱ **διαστάσεις** δὲ αἱ ἀπ' ἀλλήλων τοῖς κύκλοις αἱ αὐταὶ διαμένουσι καθ' ὅλην τὴν οἰκουμένην. ἀλλὰ πρὸς τὴν καταγραφὴν τῶν σφαιρῶν ὁ μεσημβρινὸς διαιρεῖται οὕτως. τοῦ παντὸς μεσημβρινοῦ κύκλου διαιρουμένου εἰς μέρη ξ' ὁ ἀρκτικὸς ἀπὸ τοῦ πόλου καταγράφεται*

---

3. *Τῇ μὲν δυνάμει .... τῇ δὲ πρὸς ἀλλήλους παραλλαγῇ* der Bedeutung nach .... dem gegenseitigen Lagenunterschiede nach. Beachte übrigens, dafs die Äquatorbewohner zweimal Sommer und zweimal Winter im Jahre haben. — **4.** *Πάροδον*, S. 110, 13. — **7.** *Καθολικῶς* für alle Fälle giltig, ganz allgemein. Aus *καθ' ὅλον* gebildet. — **15.** *Διαστάσεις* Abstände. — **17.** *Σφαιρῶν* auch T. — **17.** *Ὁ μεσημβρινός* (Man.) fehlt auch in T. — **18.** *Τοῦ παντός* für *τοῦ κατὰ πλάτος* (auch T.) *παντός* Man. — **19.** Jedes Sechzigstel hat also sechs Grade, da *τοῦ παντὸς μεσημβρινοῦ κύκλου* (also $2 \times 180^\circ$) gesagt ist. Das ergiebt für die Abstände von Pol bis Pol die Zahlen 36°, 30°, 24°, 24°,

ἀπέχων ἑξηκοστὰ ἕξ, ὁ δὲ θερινὸς τροπικὸς ἀπὸ τοῦ ἀρκτικοῦ καταγράφεται ἀπέχων ἑξηκοστὰ πέντε, ὁ δὲ ἰσημερινὸς ἀφ' ἑκατέρου τῶν τροπικῶν ἑξηκοστὰ τέσσαρα, ὁ δὲ χειμερινὸς τροπικὸς κύκλος ἀπὸ τοῦ ἀνταρκτικοῦ ἀπέχων ἑξηκοστὰ πέντε, ὁ δὲ ἀνταρκτικὸς ἀπὸ τοῦ πόλου ἀπέχων ἑξηκοστὰ ἕξ.

Οὐ κατὰ πᾶσαν δὲ χώραν καὶ πόλιν τὰς αὐτὰς διαστάσεις ἔχουσιν ἀπ' ἀλλήλων οἱ κύκλοι. ἀλλ' οἱ μὲν τροπικοὶ κύκλοι ἀπὸ τοῦ ἰσημερινοῦ κατὰ πᾶν ἔγκλιμα τὴν αὐτὴν ἀπόστασιν ἔχουσιν, οἱ δὲ τροπικοὶ κύκλοι ἀπὸ τῶν ἀρκτικῶν οὐ τὴν αὐτὴν ἔχουσι διάστασιν κατὰ πάντας τοὺς ὁρίζοντας, ἀλλ' οἷς μὲν ἔλασσον, οἷς δὲ πλέον διεστήκασιν. ὁμοίως δὲ οὐδ' οἱ ἀρκτικοὶ ἀπὸ τῶν πόλων τὴν ἴσην ἀπόστασιν ἔχουσι κατὰ πᾶν ἔγκλιμα, ἀλλ' οἷς μὲν ἐλάσσονα, οἷς δὲ πλείονα. καταγράφονται μέντοι γε πᾶσαι αἱ σφαῖραι πρὸς τὸν ἐν τῇ Ἑλλάδι ὁρίζοντα.

§ 38. 13. Kolure und Ekliptik.

Διὰ τῶν πόλων δέ εἰσι κύκλοι οἱ ὑπό τινων κ ό λ ο υ ρ ο ι *προσαγορευόμενοι, οἷς συμβέβηκεν ἐπὶ τῶν ἰδίων περιφερειῶν τοὺς τοῦ κόσμου πόλους ἔχειν. κόλουροι δὲ κέκληνται διὰ τὸ μέρη τινὰ αὐτῶν ἀθεώρητα γίνεσθαι.*

30°, 36°. Da die Polhöhe gleich der geographischen Breite ist, so bezeichnet 36° die Breite von Rhodos. Die Zahl 24° ist abgerundet für die Breite der Ekliptik, die schon Eratosthenes, Hipparch und Ptolemäos (Alm. I cp. 12) kleiner berechneten. — **11.** *Οἷς μὲν ... οἷς δὲ* Manitius f. *οἱ μὲν ... οἱ δὲ.* — **15.** *Σφαῖραι* auch T. — **18.** *Κόλουροι* gestutzt. Von *κολούω* (vgl. *κόλος μάχη* = Θ der Ilias). — **19.** *Περιφερειῶν* auch T.

οἱ μὲν γὰρ λοιποὶ κύκλοι κατὰ τὴν περιστροφὴν τοῦ κόσμου ὅλοι θεωροῦνται, τῶν δὲ κολούρων κύκλων μέρη τινά ἐστιν ἀθεώρητα τὰ ὑπὸ τοῦ ἀνταρκτικοῦ ὑπὸ τὸν ὁρίζοντα ἀπολαμβανόμενα. γράφονται δὲ οὗτοι οἱ κύκλοι διὰ τῶν πόλων καὶ τῶν τροπικῶν καὶ ἰσημερινῶν σημείων καὶ εἰς τέσσαρα μέρη ἴσα διαιροῦσι τὸν διὰ μέσων τῶν ζῳδίων κύκλον.

Λοξὸς δέ ἐστι κύκλος ὁ τῶν ιβʹ ζωδίων· αὐτὸς δ' ἐκ τριῶν κύκλων παραλλήλων συνέστηκεν, ὧν οἱ μὲν τὸ πλάτος ἀφορίζειν λέγονται τοῦ ζῳδιακοῦ κύκλου, ὁ δὲ διὰ μέσων τῶν ζῳδίων καλεῖται. οὗτος δὲ ἐφάπτεται δύο κύκλων ἴσων τε καὶ παραλλήλων, τοῦ μὲν θερινοῦ τροπικοῦ κατὰ τὴν τοῦ Καρκίνου πρώτην μοῖραν, τοῦ δὲ χειμερινοῦ τροπικοῦ κατὰ τὴν τοῦ Αἰγόκερω πρώτην μοῖραν· τὸν δ' ἰσημερινὸν δίχα τέμνει κατὰ τὴν τοῦ Κριοῦ πρώτην μοῖραν καὶ κατὰ τὴν τοῦ Ζυγοῦ πρώτην μοῖραν. τὸ δὲ πλάτος ἐστὶ τοῦ ζῳδιακοῦ κύκλου μοιρῶν ιβʹ. λοξὸς δὲ κέκληται ὁ ζῳδιακὸς κύκλος διὰ τὸ λοξῶς τέμνειν τοὺς παραλλήλους κύκλους.

14. Der Horizont. § 39.

Ὁρίζων δέ ἐστι κύκλος ὁ διορίζων ἡμῖν τό τε φανερὸν καὶ τὸ ἀφανὲς μέρος τοῦ κόσμου καὶ διχοτομῶν τὴν ὅλην σφαῖραν τοῦ κόσμου, ὥςτε ἡμισφαίριον μὲν ὑπὲρ γῆν ἀπολαμβάνεσθαι, ἡμισφαίριον δὲ ὑπὸ γῆν. εἰσὶ δὲ οἱ

---

2. *Θεωροῦνται*, erg. *ἢ ὅλοι εἰσὶν ἀθεώρητοι.* — **4.** *Διὰ τῶν πόλων καὶ τῶν τροπικῶν* nach dem Wiener Codex und T., aber *καὶ* eingeschoben (Sch.). — **7.** Auch heute noch ‚Kolur der Wenden' und ‚Kolur der Gleichen'. — **12.** *Ἴσων τε* auch T. — **18.** *Λοξῶς* auch T.

ὁρίζοντες δύο, εἷς μὲν ὁ αἰσθητός, ἕτερος δὲ ὁ λόγῳ θεωρητός. αἰσθητὸς μὲν οὖν ἐστιν ὁρίζων ὁ ὑπὸ τῆς ἡμετέρας ὄψεως περιγραφόμενος κατὰ τὸν ἀποτερματισμὸν τῆς ὁράσεως, ὃς οὐ μείζονα τὴν διάμετρον ἔχει σταδίων ͵β. ὁ δὲ λόγῳ θεωρητὸς ὁρίζων ἐστὶν ὁ μέχρι τῆς τῶν ἀπλανῶν ἀστέρων σφαίρας διήκων καὶ διχοτομῶν τὸν ὅλον κόσμον.

Οὐ κατὰ πᾶσαν δὲ χώραν καὶ πόλιν ὁ αὐτός ἐστιν ὁρίζων. ἀλλὰ πρὸς μὲν τὴν αἴσθησιν σχεδὸν ἐπὶ σταδίους υʹ ὁ αὐτὸς ὁρίζων διαμένει, ὥστε καὶ τὰ μεγέθη τῶν ἡμερῶν καὶ τὸ κλίμα καὶ πάντα τὰ φαινόμενα τὰ αὐτὰ διαμένειν. πλειόνων δὲ σταδίων γινομένων κατὰ τὴν παραλλαγὴν τῆς οἰκήσεως ἕτερος ὁρίζων γίνεται κατὰ τὸ κλίμα διαφέρων καὶ πάντα τὰ φαινόμενα μεταπίπτει. δεῖ μέντοι γε τὴν παραλλαγὴν τῆς οἰκήσεως τὴν ὑπὲρ υʹ στάδια λαμβάνεσθαι κατὰ τὴν πρὸς ἄρκτον ἢ πρὸς μεσημβρίαν πάροδον. τοῖς μὲν γὰρ ἐπὶ τοῦ αὐτοῦ παραλλήλου οἰκοῦσι, κἂν ἀπὸ μυρίων σταδίων ὑπάρχωσιν, ὁ μὲν ὁρίζων ἐστὶ διάφορος, τὸ δὲ κλίμα τὸ αὐτὸ καὶ πάντα τὰ φαινό-

---

1. *Λόγῳ* in Gedanken, in der Vorstellung. — **3.** *Ἀποτερματισμόν* Abgrenzung. — **4.** *Ὅς ..... ἔχει* auch T. — **4.** *Σταδίων ͵β* 2000 Stadien = 50 Meilen. Rechnet man die Körperlänge des Menschen zu 1,6 m, so übersieht er eine Kalotte mit dem Durchmesser von 9020 m oder 48 Stadien. Ein Durchmesser von 2000 Stadien setzte einen Höhenstandpunkt von 7,8 km, also mehr als eine Meile voraus. — **9.** *Σταδίους υʹ* 400 Stadien = 10 Meilen. Das ist mehr, als unsere Schärfe der Beobachtung erlaubt, da es $^2/_3$ eines Grades beträgt. — **12.** *Παραλλαγή* seitliche Veränderung, d. h. Verschiebung in der Breite. Vgl. S. 81, 3. — **13.** *Κατὰ τὸ κλίμα* entsprechend der Breite. *Κλίμα* heifst nicht ‚Klima'. — **16.** *Πάροδος*. Vgl. S. 60, 3.

μενα παραπλήσια· αἱ μέντοι γε ἀρχαὶ καὶ τελευταὶ τῶν ἡμερῶν οὐχ ἅμα πᾶσιν ἔσονται τοῖς ἐπὶ τοῦ αὐτοῦ παραλλήλου οἰκοῦσι. πρὸς δὲ τὴν κατὰ τὸν λόγον ἀκρίβειαν ἅμα τῷ στιγμιαίαν πάροδον γενέσθαι καθ' ὁποιονοῦν μέρος τοῦ κόσμου μεταπίπτει καὶ ὁ ὁρίζων καὶ τὸ ἔγκλιμα, καὶ πάντα τὰ φαινόμενα διάφορα.

Οὐ καταγράφεται δὲ ὁ ὁρίζων ἐν ταῖς σφαίραις δι' αἰτίαν τοιαύτην, ὅτι οἱ μὲν λοιποὶ κύκλοι πάντες φερομένου τοῦ κόσμου ἀπ' ἀνατολῆς ἐπὶ δύσιν συμπεριστρέφονται καὶ αὐτοὶ ἅμα τῇ τοῦ κόσμου κινήσει, ὁ δὲ ὁρίζων ἐστὶ φύσει ἀκίνητος τὴν αὐτὴν τάξιν διαφυλάττων διὰ παντός. εἰ οὖν κατεγράφοντο οἱ ὁρίζοντες ἐν ταῖς σφαίραις, στρεφομένων αὐτῶν συνέβαινεν ἂν τὸν ὁρίζοντα μετακινεῖσθαι καὶ κατὰ κορυφήν ποτε γίνεσθαι, ὅπερ ἐστὶν ἀδιανόητον καὶ ἀλλότριον τοῦ σφαιρικοῦ λόγου. ὑπὸ μέντοι γε τῆς σφαιροθήκης ἡ τοῦ ὁρίζοντος θέσις κατανοεῖται.

15. Meridiane und Milchstrafse. § 40.

Μεσημβρινὸς δέ ἐστι κύκλος ὁ διὰ τῶν τοῦ κόσμου πόλων καὶ τοῦ κατὰ κορυφὴν σημείου γραφόμενος

---

1. *Μέντοι γε* aber freilich. — **3.** *Πρὸς δὲ τὴν κατὰ* (Man. für *Κατὰ δὲ τὴν πρὸς*) *λόγον ἀκρίβειαν* für die rechnerische (gedankliche) Genauigkeit aber. — **4.** *Ἅμα τῷ* gleichzeitig mit = sobald als. — **4.** *Στιγμιαῖος* winzig. Von *στιγμή* Punkt. — **5.** *Καθ' ὁποιονοῦν μέρος* auf jeder beliebigen Seite. — **6.** *Διάφορα sc. ἔσται.* — **9.** *Ἀπ' ἀνατολῆς ἐπὶ δύσιν.* T *ἀνατολῶν* und *τὴν δύσιν.* — **13.** *Μετακινεῖσθαι* (Man.) für *κινεῖσθαι* (auch T). — **14.** *Ποτε* fehlt auch in T. — **14.** *Ἀδιανόητον* undenkbar. — **15.** *Τοῦ σφαιρικοῦ λόγου* Lehre von der Kugel. — **16.** *Σφαιροθήκη* Unterlage des Himmelsglobus. — **16.** *Κατανοεῖται ὑπό.* Auch wir: Man denkt sich unter, verlegt auf.

κύκλος, ἐφ' οὗ γενόμενος ὁ ἥλιος τὰ μέσα τῶν ἡμερῶν καὶ τὰ μέσα τῶν νυκτῶν ποιεῖται. καὶ οὗτος δέ ἐστιν ὁ κύκλος ἀκίνητος ἐν τῷ κόσμῳ καὶ τὴν αὐτὴν τάξιν διαφυλάττων ἐν ὅλῃ τῇ τοῦ κόσμου περιστροφῇ. οὐ καταγράφεται δὲ οὐδὲ οὗτος ὁ κύκλος ἐν ταῖς καταστεριζομέναις σφαίραις διὰ τὸ καὶ ἀκίνητος εἶναι καὶ μηδεμίαν ἐπιδέχεσθαι μετάπτωσιν.

Οὐ κατὰ πᾶσαν δὲ χώραν καὶ πόλιν ὁ αὐτός ἐστι μεσημβρινός. ἀλλὰ πρὸς μὲν τὴν αἴσθησιν σχεδὸν ἐπὶ σταδίους υ' ὁ αὐτὸς μεσημβρινὸς διαμένει, πρὸς δὲ τὴν ἐν τῷ λόγῳ ἀκρίβειαν ἅμα τῷ τὴν τυχοῦσαν γίνεσθαι πάροδον ἢ πρὸς ἀνατολὴν ἢ πρὸς δύσιν ἕτερος γίνεται μεσημβρινός. κατὰ μὲν γὰρ τὴν πρὸς ἄρκτον καὶ πρὸς μεσημβρίαν πάροδον, καὶ ἐὰν μεταξὺ μύριοι στάδιοι ὑπάρχωσιν, ὁ αὐτὸς μένει μεσημβρινός, κατὰ δὲ τὴν ἀπ' ἀνατολῆς πρὸς δύσιν πάροδον διαφοραὶ μεσημβρινῶν.

Λοξὸς δέ ἐστι κύκλος καὶ ὁ τοῦ γάλακτος. οὗτος μὲν μείζονι πλάτει λελόξωται διὰ τῶν τροπικῶν κύκλων· συνέστηκε δὲ ἐκ βραχυμερείας νεφελοειδοῦς καὶ ἔστιν ἐν

---

2. *Καὶ* auch T. — **3.** *Ὅλῃ* auch T. — **5.** *Καταστεριζομέναις* auch T. (nur *η* für *ε*). — **9.** *Σταδίους υ'* 400 Stadien. Fast alle Handschriften, auch T., schreiben *τ'*. — **10.** *Πρὸς δὲ τὴν ἐν τῷ λόγῳ ἀκρίβειαν* angesichts der rechnerischen (gedanklichen) Schärfe aber. Vgl. S. 85, 3. — **10.** *Τὴν τυχοῦσαν* die erste beste, die geringste. — **11.** *Πάροδος* seitliche Verschiebung, hier in der Ost-West-Linie, da der Verfasser sich jetzt den Meridian verschoben denkt. — **13.** *Μύριοι στάδιοι* = 250 Meilen. — **15.** *Διαφοραὶ* sc. *γίνονται*. — **17.** *Διὰ* Manitius. — **18.** *Βραχυμέρεια* kleinverteilte Masse, verdünnter Stoff. Aus *βραχυμερής* (vgl. *ἰσομερής* aus gleichartiger Masse). Man vergleiche die Wörter des Anaxagoras *ὁμοιομερής* und *ὁμοιομέρεια*.

τῷ κόσμῳ μόνος θεωρητός. οὐχ ὥρισται δὲ αὐτοῦ τὸ πλάτος, ἀλλὰ κατὰ μέν τινα μέρη πλατύτερός ἐστι, κατὰ δέ τινα στενώτερος. δι' ἣν αἰτίαν ἐν ταῖς πλείσταις σφαίραις οὐδὲ καταγράφεται ὁ τοῦ γάλακτος κύκλος. ἔστι δὲ καὶ οὗτος τῶν μεγίστων κύκλων. μέγιστοι γὰρ ἐν σφαίραις λέγονται κύκλοι οἱ τὸ αὐτὸ κέντρον ἔχοντες τῇ σφαίρᾳ. εἰσὶ δὲ μέγιστοι κύκλοι ἑπτά· ἰσημερινός, ζῳδιακὸς καὶ ὁ διὰ μέσων τῶν ζῳδίων, οἱ διὰ τῶν πόλων, ὁ καθ' ἑκάστην οἴκησιν ὁρίζων, ὁ μεσημβρινός, ὁ τοῦ γάλακτος.

IV. Bewegung der Planeten.

16. Die Planetenbewegung ist der des Himmels entgegengesetzt. § 41.

Ὁ κόσμος κινεῖται φορὰν ἐγκύκλιον ἀπ' ἀνατολῆς ἐπὶ δύσιν. ὅσοι γὰρ ἂν τῶν ἀστέρων μετὰ τὴν τοῦ ἡλίου δύσιν πρὸς τῇ ἀνατολῇ θεωρηθῶσι, προβαινούσης τῆς νυκτὸς μετεωριζόμενοι μᾶλλον ἀεὶ καὶ μᾶλλον θεωροῦνται· εἶτα βλέπονται πρὸς τῇ μεσουρανήσει. προβαινούσης δὲ τῆς νυκτὸς ἀποκλινόμενοι πρὸς τὴν δύσιν οἱ αὐτοὶ ἀστέρες θεωροῦνται· καὶ πέρας δύνοντες ὁρῶνται. καὶ τοῦτο καθ' ἑκάστην ἡμέραν ἐπὶ πάντων τῶν ἀστέρων γίνεται. ὥςτε φανερὸν ὅτι ὅλος ὁ κόσμος σὺν πᾶσι τοῖς ἐφ' ἑαυτοῦ μέρεσι

---

1. *Οὐχ ὥρισται* ist nicht fest umgrenzt, scharf abgesteckt. (So liest auch T., nur verschrieben *οὐ χώρισται*). — **3.** *Στενώτερος* (Sch.) f. *στενότερος*. — **3.** *Δι' ἣν* (Man.) für *δι' ἥν τινα* (so auch T.). — **6.** *Σφαίραις* hier = Kugel (S. 74, 16). — **8.** *Οἱ* (scheint auch T.). — **8.** *Οἱ διὰ τῶν πόλων* die beiden Kolure: § 38. — **13.** *Ἐγκύκλιον* S. 88, 1. — **17.** *Μεσουρανήσει* Kulmination. Aus *μέσος* und *οὐρανός*. — **19.** *Πέρας* endlich, zuletzt. — **20.** *Τῶν* (Man.). — **21.** *Σὺν πᾶσι* (Sch.) f. *πᾶσι*.

κινεῖται ἀπ' ἀνατολῆς ἐπὶ δύσιν. ὅτι δὲ ἐγκύκλιον ποιεῖται τὴν φοράν, πρόδηλον ἐκ τοῦ πάντας τοὺς ἀστέρας ἐκ τοῦ αὐτοῦ τόπου ἀνατέλλειν καὶ εἰς τὸν αὐτὸν τόπον δύνειν. ἔτι δὲ καὶ διὰ τῶν διόπτρων θεωρούμενοι πάντες οἱ ἀστέρες φαίνονται ἐγκύκλιον ποιούμενοι τὴν κίνησιν ἐν ὅλῃ τῇ περιαγωγῇ τῶν διόπτρων.

Ὁ μέντοι γε ἥλιος ἀπὸ δύσεως ἐπὶ τὴν ἀνατολὴν φέρεται ὑπεναντίως τῷ κόσμῳ. τοῦτο δέ ἐστι φανερὸν ἐκ τῶν προανατελλόντων ἀστέρων τοῦ ἡλίου. ὅσοι γὰρ ἂν πρὸ τῆς τοῦ ἡλίου ἀνατολῆς θεωρηθῶσιν ἀστέρες προανατεταλκότες τοῦ ἡλίου, ἐν ταῖς ἐχομέναις νυξὶν ἐνωρότερον προανατεταλκότες θεωροῦνται. καὶ τοῦτο γίνεται κατὰ τὸ ἑξῆς ἐπὶ πασῶν τῶν νυκτῶν. ἐξ οὗ φανερὸν ὅτι εἰς τὰ ἑπόμενα τῶν ζῳδίων ὁ ἥλιος μεταβαίνει, ἀπὸ δύσεως ἐπ' ἀνατολὴν κινούμενος ὑπεναντίως τῷ κόσμῳ.

Εἰ δέ γε ἀπὸ τῆς ἀνατολῆς ἐπὶ τὴν δύσιν ἐφέρετο ὁ ἥλιος, ἀεὶ τοὺς προανατέλλοντας ἀστέρας ἀθεωρήτους

---

1. *Ἀπ' ἀνατολῆς* Manitius für *καὶ* (so auch T.) *ἀπ' ἀνατολῆς*. — **1.** *Ἐγκύκλιος* im Kreise verlaufend, kreisförmig. — **2.** *Φοράν* Manitius für *προφοράν* (so auch T.). — **6.** Das *δίοπτρον* (oder die *διόπτρα* § 23) bestand aus Röhren (aus zwei: Polyb. X 46) zum Visieren oder Nivellieren und einem in Grade geteilten Kreis. Man konnte jene drehen und die Gestalt und Gröſse der Drehungslinie feststellen. — **8.** *Φέρεται* eilt. Wie *ferre* von jeder schnellen Bewegung. Horaz E. II 2, 47: *civilisque rudem belli tulit aestus in arma.* O. IV 2, 11: *numerisque* (in Rhythmen) *fertur lege solutis (sc. Pindarus).* Ovid Met. II 69: *ne ferar in praeceps.* *Α* 592: *πᾶν δ' ἦμαρ φερόμην* sagt Hephaestos, den einst Zeus auf die Erde hinabschleuderte. — **11.** *Ἐχομέναις* sich anschlieſsend. — **11.** *Ἔνωρος* 1. rechtzeitig; 2. frühzeitig, zeitig. — **13.** *Κατὰ τὸ ἑξῆς* der Reihe nach, unausgesetzt.

ἂν εἶναι συνέβαινεν. εἰς γὰρ τὰ προηγούμενα μεταβαίνων μέρη ὤφειλεν ἀποκρύπτειν αὐτοὺς ταῖς ἰδίαις αὐγαῖς· ἀεὶ γὰρ οἱ κατὰ τὸν ἥλιον γινόμενοι ἀστέρες ἀθεώρητοι ὑπάρχουσι καταυγούμενοι ὑπὸ τοῦ ἡλίου. νῦν δὲ οὐ γίνεται τοῦτο, ἀλλ' οἱ προανατέλλοντες ἀστέρες ἐν ταῖς ἐχομέναις νυξὶ πλεῖον ἀεὶ καὶ πλεῖον ἀπὸ τῆς ἀνατολῆς ἀπέχοντες διάστημα θεωροῦνται, ὥςτε ἐν τῷ μηνιαίῳ χρόνῳ ζῴδιον ὅλον προανατέλλειν τοῦ ἡλίου τὸ πρότερον ὑπάρχον ἐν ταῖς αὐγαῖς τοῦ ἡλίου. ἀεὶ γὰρ τὸ μὲν ἑπόμενον ζῴδιον ὑπὸ τοῦ ἡλίου ἀθεώρητόν ἐστι διὰ τὰς αὐγὰς τοῦ ἡλίου, τὸ δὲ προηγούμενον αὐτοῦ θεωρεῖται. ἐν δὲ τῷ μηνιαίῳ χρόνῳ ἀεὶ τὸ μὲν ἑπόμενον ζῴδιον ἀθεώρητον γίνεται μεταβαίνοντος εἰς αὐτὸ τοῦ ἡλίου, τὸ δὲ προηγούμενον ζῴδιον δύο ζῳδίων διάστημα ἀφεστηκὸς βλέπεται. καὶ τοῦτο ἐπὶ τῶν ιβ' ζῳδίων διὰ παντὸς γίνεται. ἐξ ὧν φανερὸν ὅτι ὁ ἥλιος ὑπεναντίως τῷ κόσμῳ κινούμενος εἰς τὰ ἑπόμενα τῶν ζῳδίων, καὶ οὐκ εἰς τὰ προηγούμενα ποιεῖται τὴν μετάβασιν.

Ἐκδηλότερον δὲ ἐπὶ τῆς σελήνης θεωρεῖται ἡ κίνησις. καὶ γὰρ αὕτη ὑπεναντίως τῷ κόσμῳ θεωρεῖται ἀπὸ δύσεως ἐπ' ἀνατολὴν κινουμένη. τοῦτο δ' ἐν μιᾷ νυκτὶ δύναται

---

1. *Τὰ προηγούμενα μέρη* sc. *τοῦ ζῳδιακοῦ* die vorangehenden Tierbilder, die ihr dann entgegenzukommen scheinen würden. — **2.** *Αὐγή* Strahl; *καταυγούμενοι* überstrahlt, verdunkelt. — **7.** *Ἐν τῷ* Manitius. Vgl. Zeile 11. — **14.** *Ἀφεστηκὸς βλέπεται* wird in einer Entfernung von . . . sichtbar. — **15.** *Διὰ παντός* durchgängig, durchweg. — **18.** *Μετάβασις* Ortsveränderung, das Vorwärtsschreiten (S. 78, 10); *μετάβασιν ποιεῖσθαι* vorrücken, fortschreiten. — **20.** *Αὕτη* auch T.

καταλαμβάνεσθαι διὰ τῆς δράσεως ἐπιμαρτυροῦντος τοῦ φαινομένου. ὅταν γὰρ παρά τινα τῶν ἀπλανῶν ἀστέρων θεωρήθῇ ἡ σελήνη, προβαινούσης τῆς νυκτὸς ἀφίσταται ἀπὸ τοῦ παρατετηρημένου ἀστέρος πρὸς ἀνατολὴν καὶ ὁ ἀστὴρ ἀπὸ τῆς σελήνης πρὸς δύσιν· καὶ πολλάκις ἐν ὅλῃ τῇ νυκτὶ ὀκτὼ μοίρας ἢ πλέον ἀπὸ τοῦ παρατετηρημένου ἀστέρος διίσταται πρὸς ἀνατολήν, ὥςτε ἐν μιᾷ νυκτὶ θεωρεῖσθαι τὴν ὑπεναντίαν κίνησιν τῷ κόσμῳ. οὐ γὰρ εἰς τοὺς προηγουμένους ἀστέρας μεταβαίνει, ἀλλ' εἰς τοὺς ἑπομένους.

§ 42. 17. Die Planetenbewegung ist nicht blofs scheinbar.

Λέγουσι δέ τινες εἰς μὲν τὰ ἑπόμενα ζῴδια τὴν μετάβασιν γίνεσθαι τῷ ἡλίῳ καὶ τῇ σελήνῃ, μὴ μέντοι γε ὑπεναντίως αὐτοὺς κινεῖσθαι τῷ κόσμῳ, ἀλλὰ διὰ τὰ μεγέθη ὑπολείπεσθαι αὐτοὺς τῆς τῶν ἀπλανῶν ἀστέρων σφαίρας· δοκεῖν δὲ ἡμῖν εἰς τὰ ἑπόμενα τῶν ζῳδίων τὴν μετάβασιν γίνεσθαι κατὰ τὴν ἐναντίαν κίνησιν. τοῦτο δὲ μὴ εἶναι ἀληθές, ἀλλὰ φέρεσθαι μὲν ἥλιον καὶ σελήνην ἀπ' ἀνατολῆς ἐπὶ δύσιν, καταταχουμένους δὲ ὑπὸ

---

1. *Διὰ τῆς δράσεως.* Wir: durch unmittelbare Beobachtung des Auges. — **4.** *Παρατηρεῖν* (vgl. Z. 2 *παρά τινα*) daneben beobachten. — **6.** *'Οκτὼ μοίρας ἢ πλέον* (Sch.) nach der alten lateinischen Übersetzung (S. 47, 24): *octo graduum fere aut plus.* T.: *ἡ μοῖρα.* — **8.** *Θεωρεῖσθαι* wahrnehmbar wird. — **9.** *Μεταβαίνει* auch T. — **16.** *Δοκεῖν δὲ ἡμῖν* es scheine uns nur so. Bewegt sich A und vor ihm B in gleicher Richtung, aber B langsamer als A, so scheint B dem A entgegen zu laufen. — **19.** *Καταταχεῖν τινα* überflügeln, überholen.

τοῦ κόσμου πρὸ τοῦ κύκλον περιδραμεῖν ἐν τοῖς ἑπομένοις ζῳδίοις θεωρεῖσθαι. χρῶνται δέ τινες καὶ τῷ ὁμοιώματι τούτῳ. εἰ γάρ τις, φασίν, ὑπεστήσατο δρομεῖς ιβ' ἴσῳ τάχει χρωμένους καὶ ποιουμένους ἐπὶ κύκλου τὴν κίνησιν, εἶτα μέντοι γε ἄλλον τινὰ ἕνα βραδύτερον ἐν αὐτοῖς κινούμενον, ὁμοίαν δὲ τὴν κίνησιν αὐτοῖς ποιούμενον ἐπὶ κύκλου, δόξει μὲν περικαταλαμβανόμενος εἰς τὰ ἑπόμενα μεταβαίνειν. οὐκ ἔσται δὲ τοῦτο ἐπὶ τῆς ἀληθείας, ἀλλ' ὁμοίως αὐτὸς κινούμενος διὰ τὴν βραδυτῆτα δόξει εἰς τἀναντία κινεῖσθαι. τοῦτο δὴ καὶ ἐπὶ τοῦ ἡλίου καὶ ἐπὶ τῆς σελήνης συμβεβηκέναι. ἐπὶ γὰρ τὰ αὐτὰ μέρη κινούμενοι τῷ κόσμῳ διὰ τὴν βραδυτῆτα εἰς τὰ ἑπόμενα ὑποφέρονται, καθάπερ τὰ ἐπὶ τῶν ποταμῶν καταφερόμενα πλοῖα προκατατα χούμενα ὑπὸ τοῦ ῥεύματος δοκεῖ εἰς τὰ ὀπίσω κινεῖσθαι. τοῦτο δή φασι καὶ ἐπὶ τοῦ ἡλίου καὶ ἐπὶ τῆς σελήνης συμβαίνειν.

Αὕτη δὲ ἡ δόξα ὑπὸ πολλῶν φιλοσόφων εἰρημένη ἀσύμφωνός ἐστι τοῖς φαινομένοις. εἰ κὰρ καθ' ὑπόλειψιν ἐκεῖνοι ἐκινοῦντο ὑποφερομένων τῶν σωμάτων διὰ τὰ

---

1. *Κύκλον περιδραμεῖν* einen Kreis ablaufen, einen Kreislauf vollenden. — **2.** *Τῷ* (Man.) fehlt in den Handschriften (auch T.) — **2.** *Ὁμοίωμα* Gleichnis, Vergleich, analoger Fall. — **3.** *Ὑφίστασθαι* sich vorstellen. — **3.** *Δρομεῖς* Läufer. — **8.** *Ἐπὶ τῆς ἀληθείας* bei der (d. h. im Anschlufs an die) Wahrheit. — **9.** *Αὐτός* auch T. — **12.** *Κινούμενοι τῷ κόσμῳ.* Auch T.: *κινουμένου τοῦ κόσμου.* — **14.** *Πλοῖα* wie oben *δρομεῖς* ein *ὁμοίωμα.* Solche Vergleiche mit bekannten oder einfachen sinnlichen Vorstellungen liebten die Stoiker (S. 50, 16). — **18.** *Ἀσύμφωνος* nicht im Einklang. — **19.** *Ἐκεῖνοι* ist eingeschoben (Sch.) und kann vor *ἐκινοῦντο* leicht ergänzt werden. — **19.** *Καθ' ὑπόλειψιν*

μεγέθη, ἔδει κατὰ παραλλήλους κύκλους τὴν ὑπόλειψιν γίνεσθαι, καθάπερ καὶ οἱ ἀπλανεῖς ἀστέρες πάντες ἐπὶ παραλλήλων κύκλων φέρονται διὰ τὸ καὶ τὴν τοῦ κόσμου φορὰν ἐγκύκλιον εἶναι ἀπ' ἀνατολῆς ἐπὶ δύσιν. νυνὶ δ' οὐχ ὑπολείπονται κατὰ παραλλήλους κύκλους, ἀλλ' ὁ μὲν ἥλιος ἐπὶ τοῦ διὰ μέσων τῶν ζῳδίων κύκλου κινούμενος ἅμα καὶ τὴν κατὰ πλάτος πάροδον ποιεῖται ἀπὸ τροπῶν ἐπὶ τροπάς, ὡς ἄν, οἶμαι, ἰδίας ὑπαρχούσης αὐτῷ τῆς κινήσεως τῆς ἀπὸ δύσεως ἐπ' ἀνατολήν. ἡ δὲ σελήνη ἐν ὅλῳ τῷ πλάτει τοῦ ζῳδιακοῦ κύκλου τὴν πάροδον ποιεῖται. οὐδὲν δὲ τῶν καθ' ὑπόλειψιν ὑποφερομένων ἅμα δύναται κατὰ πλάτος κινεῖσθαι, ἀλλ' ὀφείλει κατὰ τὴν τοῦ κόσμου φορὰν τὴν ὑπόλειψιν ποιεῖσθαι. ἐλέγχει δὲ τὴν δόξαν ψευδῆ ὑπάρχουσαν μάλιστα πάντων ἡ περὶ τοὺς πέντε πλανήτας ἀστέρας κίνησις. ἐκεῖνοι γὰρ ὁτὲ μὲν ὑπολείπονται τῶν ἀπλανῶν ἀστέρων, ὁτὲ δὲ προηγοῦνται, ὁτὲ δὲ κατὰ τοὺς αὐτοὺς ἀστέρας μένουσιν, οἳ δὴ καὶ καλοῦνται στηριγμοί. τοιαύτης δ' ὑπαρχούσης περὶ αὐτοὺς τῆς κινήσεως φανερὸν ὅτι ἡ εἰς τὰ ἑπόμενα μετάβασις οὐ γίνεται καθ' ὑπόλειψιν. διὰ παντὸς γὰρ ἂν ὑπολείποιντο. νυνὶ

ἐκινοῦντο im Sinne einer Zurückbleibung sich bewegten. — **19.** (S. 91). *Ὑποφερομένων* sich hinterdrein bewegen, langsamer laufen. — **2.** *Οἱ ἀπλανεῖς ἀστέρες fixae stellae* Fixsterne. — **9.** *Κινήσεως τῆς.* Die hiernach folgenden Worte *μὲν ἀπ' ἀνατολῆς ἐπὶ δύσιν, τῆς δὲ* strich Manitius mit Recht. — **11.** *Καθ' ὑπόλειψιν* erg. ‚nur'. — **13.** *Κατὰ τὴν τοῦ κόσμου φορὰν* im Sinne der Bewegung des Weltalls (Himmels). — **13.** *Ἐλέγχει* es erweist, überführt. — **17.** *Κατὰ τοὺς* mitten unter. — **18.** *Στηριγμός* (scheinbarer) Stillstand (S. 64, 15).

δὲ ἰδία τίς ἐστιν ἡ περὶ ἕκαστον σφαιροποιία, καθ' ἣν ποτὲ μὲν εἰς τὰ ἑπόμενα μεταβαίνουσι, ποτὲ δὲ εἰς τὰ προηγούμενα, ποτὲ δὲ στηρίζουσιν. οὕτω δὴ καὶ περὶ τὸν ἥλιον καὶ περὶ τὴν σελήνην ἰδία τίς ἐστι καὶ προαιρετικὴ καὶ κατὰ φύσιν ἡ κατὰ πλάτος κίνησις, καθ' ἣν ἀπὸ δύσεως ἐπ' ἀνατολὴν κινούμενοι τὴν κατὰ πλάτος πάροδον ποιοῦνται.

Ὅτι δὲ οὐ δύνανται καθ' ὑπόλειψιν εἰς τὰ ἑπόμενα τῶν ζῳδίων τὴν μετάβασιν ποιεῖσθαι, φανερὸν καὶ ἐκ τοῦ μὴ ἀνάλογον τοῖς μεγέθεσι μηδὲ τοῖς ἀποστήμασι τὰς μεταβάσεις γίνεσθαι. εἰ γὰρ διὰ τὰ μεγέθη τῶν σωμάτων ὑπεφέροντο βραδυτέραν ἔχοντος τῶν ἀπλανῶν ἀστέρων κίνησιν, ἔδει ἀνάλογον τοῖς μεγέθεσι καὶ τοῖς ἀποστήμασι τὰς ὑπολείψεις γίνεσθαι. μὴ γινομένου δὲ τούτου ἀνάγκη λέγειν κατὰ φύσιν εἶναι τοῖς πλανωμένοις ἄστροις τὴν ὑπεναντίαν κίνησιν. ἤδη μέντοι διὰ τὴν ἰδίαν ἑκάστου σφαιροποιίαν διαφόρους συμβέβηκε τὰς μεταβάσεις γίνεσθαι.

---

1. *Ἰδία τις* eine ganz besondere. Vgl. lat. *mira quaedam* eine ganz erstaunliche. — **1.** *Σφαιροποιία* Gestaltung (Herstellung) der Sphäre. Jeder Planet haftet an einer eigenen Sphäre, bei deren Drehung er sich mitdreht. So die Pythagoreer (B. 1, S. 28, 6) und Eudoxos (B. 1, S. 7, 14. B. 2, S. 17, 5. 67, 16). — **5.** *Προαιρετικός* freigewählt, selbständig. Vgl. Kleomedes p. 30: *τὰ μὲν* (*sc. ἄστρα*) . . . *κ. τ. λ.*, *κινεῖται δὲ καὶ ἑτέραν* (eine zweite) *προαιρετικὴν* (*sc. κίνησιν*). — **15.** *Κατὰ φύσιν* naturgemäfs, natürlich; also: anerschaffen, wesentlich.

V. Gestalt und Gröfse der Erde.

18. Indirekter Beweis für die Kugelgestalt der Erde.

§ 43. *Πλείους διαφοραὶ περὶ τοῦ κατὰ τὴν γῆν σχήματος παρὰ τοῖς παλαιοτέροις τῶν φυσικῶν γεγόνασιν. οἱ μὲν γὰρ αὐτῶν αὐτῇ τῇ κατὰ τὴν ὄψιν φαντασίᾳ ἀκολουθήσαντες πλατεῖ καὶ ἐπιπέδῳ τῷ σχήματι κεχρῆσθαι αὐτὴν ἀπεφήναντο. ἕτεροι δὲ ὑπονοήσαντες, ὅτι μὴ ἂν διέμενε τὸ ὕδωρ ἐπ' αὐτῆς, εἰ μὴ βαθεῖα καὶ κοίλη τὸ σχῆμα ἦν, αὐτῷ τούτῳ κεχρῆσθαι τῷ σχήματι ἔφασαν αὐτήν. ἄλλοι δὲ κυβοειδῆ καὶ τετράγωνον εἶναι αὐτὴν ἀπεφήναντο, τινὲς δὲ πυραμοειδῆ. οἱ δὲ ἡμέτεροι καὶ οἱ ἀπὸ τῶν μαθημάτων πάντες καὶ οἱ πλείους τῶν ἀπὸ τοῦ Σωκρατικοῦ διδασκαλείου σφαιρικὸν εἶναι τὸ σχῆμα τῆς γῆς ἀπεφήναντο. ἑτέρου τοίνυν σχήματος παρὰ τὰ προειρημένα οὐκ ἂν εὐφυῶς προσαφθέντος αὐτῇ, ἀναγκαίως ἂν τὸ τοιοῦτον διεζευγμένον ἀληθὲς γένοιτο· ἤτοι πλατεῖά καὶ ἐπίπεδός ἐστιν ἡ γῆ, ἢ κοίλη καὶ βαθεῖα, ἢ τετράγωνος, ἢ πυραμοειδής, ἢ σφαιρικὴ τὸ σχῆμα.*

Τιθέντες οὖν ὡς ἀληθὲς τοῦτο τὸ διεζευγμένον, κατὰ τὸν καλούμενον παρὰ τοῖς διαλεκτικοῖς διὰ πλειόνων

---

3. Die §§ 43—52 stammen aus Kleomedes p. 74 ff. — **3.** *Διαφοραί* verschiedene Ansichten. — **6.** *Ἐπιπέδῳ τῷ σχήματι.* Vgl. die Regel S. 62, 2. — **9.** *Αὐτῷ τούτῳ hoc eodem* eben diese. — **10.** *Ἕτεροι ... Ἄλλοι δὲ.* Eine zweite Klasse ... Wieder andere. — **10.** *Κυβοειδής* würfelförmig. — **11.** *Ἡμέτεροι* Stoiker. — **13.** *Διδασκαλεῖον* Schule. — **15.** *Παρὰ τὰ προειρημένα* neben den genannten. — **16.** *Τὸ τοιοῦτον διεζευγμένον* etwa folgende Scheidung (Trennung), folgendes Entweder Oder. — **20.** *Διαλεκτικοῖς* wie Zeile 4 *φυσικῶν*, vgl S. 8, 12. 9, 2.

πέμπτον ἀναπόδεικτον προϊόντες δείξομεν, ὅτι σφαιρικὸν ἔχει τὸ σχῆμα ἡ γῆ. φήσομεν γάρ, ὅτι οὔτε πλατεῖά ἐστιν οὔτε κοίλη, οὔτε τετράγωνος οὔτε πυραμοειδής, ὡς δείξομεν ταῦτα· ἔπειτα ἐποίσομεν, ὡς σφαιρικὴν εἶναι αὐτὴν ἀναγκαιότατόν ἐστιν.

Ὅτι τοίνυν μή ἐστιν ἐπίπεδος, οὕτως ἂν καταμάθοιμεν. § 44. εἰ πλατεῖ καὶ ἐπιπέδῳ τῷ σχήματι ἐκέχρητο, εἷς ἂν ἦν ὁρίζων παρὰ πᾶσιν ἀνθρώποις. οὐ γάρ ἔστιν ἐπινοῆσαι, πῶς ἂν ἐν τοιούτῳ τῆς γῆς σχήματι μεταπίπτοιεν οἱ ὁρίζοντες. ἑνὸς δὲ ὄντος ὁρίζοντος, κατὰ ταὐτὸν ἂν παρὰ πᾶσιν αἱ ἀνατολαὶ καὶ αἱ δύσεις ἐγίνοντο, ὥςτε καὶ αἱ ἀρχαὶ τῶν ἡμερῶν τε καὶ νυκτῶν. νυνὶ δ' οὐκ ἀπαντᾷ τοῦτο, ἀλλὰ πλείστη φαίνεται ἡ ἐν τοῖς εἰρημένοις παραλλαγὴ ἐν τοῖς κλίμασι τῆς γῆς, ἄλλοτε παρ' ἄλλοις καὶ δυομένου καὶ ἀνίσχοντος τοῦ ἡλίου. οἱ γοῦν Πέρσαι, πρὸς τῇ ἀνατολῇ οἰκοῦντες, τέσσαρσιν ὥραις πρῶτοι λέγονται ἐντυγχάνειν τῇ ἐκβολῇ τοῦ ἡλίου τῶν

---

1. Ἀναπόδεικτον *sc.* συλλογισμόν unerwiesene Schlufsfolgerung. Unerwiesen, weil keines Beweises fähig und bedürftig, also unmittelbar einleuchtend. Solcher Grundschlüsse zählte Chrysippos (S. 2, 15) nach dem Vorgange des Theophrast (B. 1, S. 17, 6) fünf auf. Der fünfte heifst: Entweder ist *a* oder *b* oder *c*; nun ist weder *a* noch *b*; also ist *c*. Diog. L. VII 78—81. — **2.** Ὅτι (Sch.) f. ὅτι ἀλλὰ μήν. — **4.** Ἐποίσομεν von ἐπιφέρειν anführen, darlegen. — **9.** Ἐπινοῆσαι ausdenken. — **10.** Μεταπίπτοιεν wechseln. — **11.** Κατὰ ταὐτὸν gleichzeitig. — **12.** Τε καὶ (Sch.) f. καὶ. — **14.** Παραλλαγή Abweichung. — **14.** Κλίμα Breite. — **17.** Πρῶτοι am frühesten, und zwar um vier Stunden früher. Die Sonne durchläuft in vier Minuten einen Grad, also in vier Stunden 60 Grade. In der That ist z. B. Hispalis (12°) von Persepolis (72°) etwa 60 Grad entfernt. — **17.** Ἐκβολή τοῦ (vgl.

Ἰβήρων, πρὸς δυσμαῖς οἰκούντων. ἐλέγχεται δὲ ταῦτα καὶ ἐξ ἑτέρων καὶ ἐκ τῶν περὶ τὰ ἄστρα γινομένων ἐκλείψεων, κατὰ ταὐτὸν μὲν παρὰ πᾶσιν ἐκλειπόντων, οὐ μὴν τῆς αὐτῆς ὥρας εὑρισκομένης· ἀλλὰ τὸ ἐν Ἴβηρσι πρώτης ὥρας ἐκλεῖπον πέμπτης εὑρίσκεται ὥρας παρὰ τοῖς Πέρσαις τὴν ἔκλειψιν πεποιημένον, παρὰ δὲ τοῖς ἄλλοις ἀναλόγως.

Καὶ μὴν ἐν πλατεῖ καὶ ἐπιπέδῳ τῆς γῆς σχήματι τὸ ἴσον ἂν παρὰ πᾶσιν ὁ πόλος τοῦ ὁρίζοντος ἐφαίνετο ἀφεστὼς καὶ ὁ αὐτὸς κύκλος ἀρκτικός. ὧν οὐδὲν ἐν τοῖς φαινομένοις ἐστίν, ἀλλὰ παρὰ μὲν Συηνίταις καὶ Αἰθίοψιν ἐλάχιστον φαίνεται τὸ τοῦ πόλου ὕψος, μέγιστον δὲ ἐν Βρεττανοῖς, ἐν δὲ τοῖς διὰ μέσου κλίμασιν ἀναλόγως. ἀπιόντων τε ὡς πρὸς ἄρκτον ἀπὸ μεσημβρίας, καὶ ἀποκρύπτεταί τινα τῶν ὁρωμένων πρὸς μεσημβρίᾳ ἄστρων, καὶ πρὸς ἄρκτῳ τινὰ ὁρᾶται τέως ἀφανῆ ὄντα· καὶ εἴ τις ἀπ' ἄρκτων ὡς πρὸς μεσημβρίαν ἴοι, τὸ ἔμπαλιν γίνεται. ὧν οὐδὲν ἂν συνέβαινε πλατεῖ τῷ σχήματι τῆς γῆς κεχρημένης καὶ διὰ τοῦτο ἑνὸς ὄντος τοῦ ὁρίζοντος. οὐκ ἄρα τούτῳ τῷ σχήματι κέχρηται ἡ γῆ.

§ 45. Συνέβαινε δ' ἂν καὶ τὰς ἡμέρας παρὰ πᾶσιν ἴσας εἶναι· ὧν πάντα τὰ ἐναντία ἐν τοῖς φαινομένοις ἐστί. καὶ μὴν εἰ πλατεῖ καὶ ἐπιπέδῳ τῷ σχήματι ἐκέχρητο ἡ γῆ,

---

ποταμοῖο Ausflufs) *ἡλίου* Bestrahlung durch die Sonne. — **3.** *Ἔκλειψις* Verfinsterung. — **11.** *Συήνη* j. Assuan am Nil. — **12.** Polhöhe = Breite. Also in Syene 24°, in Britannien (Colchester) 52° oder gar (Orkney) 59°. — **14.** *Καί* eingeschoben (Sch.). — **16.** *Τέως* bis dahin (Xen. Anab. VII 6, 29). — **17.** *Τὸ ἔμπαλιν* das Gegenteil (Thuc. III 20).

δέκα μυριάδων σταδίων ἡ ὅλη ἂν τοῦ κόσμου διάμετρος ἦν. τοῖς μὲν γὰρ ἐν Λυσιμαχίᾳ κατὰ κορυφήν ἐστιν ἡ τοῦ Δράκοντος κεφαλή, τῶν δὲ ἐν Συήνῃ τόπων ὑπέρκειται ὁ Καρκίνος. τοῦ δὲ διὰ Λυσιμαχίας καὶ Συήνης ἥκοντος μεσημβρινοῦ πεντεκαιδέκατον μέρος ἐστὶν ἡ ἀπὸ τοῦ Δράκοντος μέχρι Καρκίνου περιφέρεια, ὥς γε διὰ τῶν σκιοθηρικῶν δείκνυται. τὸ δὲ τοῦ ὅλου κύκλου πεντεκαιδέκατον πέμπτον ἔγγιστα τῆς διαμέτρου γίνεται. ἂν τοίνυν ἐπίπεδον ὑποθέμενοι τὴν γῆν καθέτους ἐπ' αὐτὴν ἀγάγωμεν ἀπὸ τῶν ἄκρων τῆς περιφερείας τῆς ἀπὸ τοῦ Δράκοντος ἐπὶ Καρκίνον ἡκούσης, ἐφάψονται τῆς διαμέτρου, ἣ διαμετρεῖ τὸν διὰ Συήνης καὶ Λυσιμαχίας μεσημβρινόν. ἔστιν οὖν τὸ μεταξὺ τῶν καθέτων μυριάδων δύο· δισμύριοι γὰρ ἀπὸ Συήνης εἰς Λυσιμαχίαν στάδιοι. ἐπεὶ οὖν πέμπτον τῆς ὅλης διαμέτρου τοῦτο τὸ διάστημα, δέκα μυριάδων ἡ ὅλη τοῦ μεσημβρινοῦ διάμετρος γενήσεται. δέκα δὲ μυριάδων τὴν διάμετρον ἔχων ὁ κόσμος τὸν μέγιστον ἕξει κύκλον μυριάδων λ'. πρὸς ὃν ἡ γῆ μὲν

---

1. Im folgenden steckt eine ältere Erdmessung (vor Eratosthenes). Sie setzt die Breitendifferenz von Syene (24°) und Lysimachia (thrac. Chersones) auf $\frac{360}{15} = 24°$, also Lysimachia ($40\frac{1}{2}°$) auf 48° an; sie nimmt ferner den Meridian von Lysimachia ($45\frac{1}{2}$) für den von Syene (50); sie setzt endlich die Entfernung beider Städte auf 20000 Stadien. Eratosthenes setzte die Breite von Lysimachia auf $42\frac{1}{2}°$ und hielt den Meridian des Bosporos (47) für den von Alexandria (48). Nebenbei verkennt Kleomedes die Gesetze der Projektion. — **7.** *Σκιοθηρικῶν sc. ὀργάνων.* Ein solcher ‚Schattenfänger' (v. *σκιά* und *θηρᾶν*) ist im wesentlichen ein Visierinstrument mit zwei Stiften, deren einer seinen Schatten beim Einstellen auf den anderen wirft. — **9.** *Κάθετος* Lot.

στιγμιαία οὖσα πέντε καὶ εἴκοσι μυριάδων ἐστίν· ὁ δὲ ἥλιος ταύτης πολυπλασίων ἐστίν, ἐλάχιστον τοῦ οὐρανοῦ μέρος ὑπάρχων. πῶς οὖν οὐχὶ καὶ ἀπὸ τούτων φανερόν, διότι μὴ οἷόν τε ἐπίπεδον εἶναι τὴν γῆν;

§ 46. Ὅτι δὲ οὐδὲ βαθεῖ καὶ κοίλῳ τῷ σχήματι κέχρηται, ἀπὸ τούτων ἂν συνοφθείη. εἰ γὰρ οὕτως εἶχε τὰ κατὰ τὸ σχῆμα αὐτῇ, πρώτοις ἂν τοῖς Ἴβηρσι τῶν Περσῶν ἐγίνετο ἡμέρα, τῆς κατὰ τὴν γῆν ἐξοχῆς ἐπιπροσθούσης τοῖς πλησιάζουσι, τοῖς δ' ἀφεστῶσιν ἐπὶ πλέον οὐδὲν ἐμποδιζούσης πρὸς τὴν ὄψιν. καὶ γὰρ ὅταν κοῖλόν τι ἐν ἡλίῳ ᾖ, τὸ μὲν πρὸς τῷ ἡλίῳ μέρος αὐτοῦ σκιάζεται κατὰ τὴν ἀνατολὴν τοῦ ἡλίου, τὸ δὲ ἀντικρὺ ἐλλάμπεται. ἐπὶ τῶν ὅλων οὖν τὸ παραπλήσιον ἂν συνέβαινε, κοίλου τοῦ περὶ τὴν γῆν σχήματος ὄντος. πρῶτοι γὰρ ἂν οἱ πρὸς τῇ δύσει ἐνετύγχανον ταῖς ἀνατολαῖς. νυνὶ δὲ τούτου τὸ ἔμπαλιν ἐν τοῖς φαινομένοις ἐστί. καὶ μὴν καὶ ὁ πόλος ὁ ἀρκτικὸς πλέον ἂν ἐφαίνετο τοῦ ὁρίζοντος ἀφεστὼς τοῖς πρὸς μεσημβρίαν ἐν τοιούτῳ τῆς γῆς σχήματι, ἐπιπροσθούμενος ὑπὸ τῆς ἐξοχῆς τῆς πρὸς ἄρκτοις. καὶ

---

1. *Στιγμιαία.* Diese Ansicht ist richtig, aber modern-griechisch. Ob sie schon jener alte erdmessende Geograph kannte, ist fraglich. Kleomedes erweist sich als urteilslos darin, dafs er die alte Messung 1. überhaupt hervorkramt, 2. mit jener neuen Vorstellung verquickt. — **6.** *Συνορᾶν* zugleich sehen, übersehen, begreifen. — **7.** *Πρώτοις* wieder (wie S. 35, 17) = *προτέροις*. — **8.** *Ἐξοχή* (v. *ἐξέχω*) die Randerhöhung. — **8.** *Ἐπιπροσθεῖν* davorstehen, den Anblick abschneiden. — **9.** *Τοῖς πλησιάζουσι* den nahe (dem Rand) Wohnenden. — **10.** *Ἐμποδίζειν* im Wege, hinderlich sein. — **10.** *Κοῖλόν τι* ein Hohlgefäfs, *ᾖ* steht. — **13.** *Ἐπὶ τῶν ὅλων* beim Weltall.

ὁμοίως πλείονα ἄστρα ἐφαίνετ' ἂν ἀειφανῆ ἐν τῷδε τῷ σχήματι τοῖς πρὸς νότῳ, καὶ μείζων ὁ κύκλος ὁ ἀρκτικὸς ἀκολούθως· ὧν πάντα τὰ ἐναντία ἐν τοῖς φαινομένοις ἐστίν. οἵ τε ἐν τῷ βαθυτάτῳ τοῦ κοιλώματος οἰκοῦντες οὐκ ἂν οἷοί τε ἐγίνοντο τὰ ἓξ ζῴδια ὑπὲρ γῆς ὁρᾶν, ὅθεν οὐδὲ τοῦ ἰσημερινοῦ τὸ ἥμισυ. καὶ γὰρ ἡμεῖς, ὅταν εἰς βαθύτερόν τι κατελθόντες ἀπίδωμεν πρὸς τὸν οὐρανόν, βραχὺ μέρος αὐτοῦ, ἀλλ' οὐ τὸ πᾶν ἡμισφαίριον ὁρῶμεν. καὶ αἱ νύκτες διὰ παντὸς ἂν μείζους τῶν ἡμερῶν ἐγίνοντο, τῆς ὑποκειμένης τῇ κυρτότητι περιφερείας τοῦ οὐρανοῦ πολὺ μείζονος οὔσης τῆς ὑπερκειμένης τῇ κοιλότητι περιφερείας, μεσαιτάτης γε τῆς γῆς ἐν τῷ κόσμῳ ἱδρυμένης.

Εἰ δὲ ἦν *κυβοειδὴς* καὶ τετράγωνος ἡ γῆ, συνέβαινεν ἂν ἓξ μὲν ὡρῶν γίνεσθαι τὴν ἡμέραν, δέκα δὲ καὶ ὀκτὼ τὴν νύκτα, ἑκάστης πλευρᾶς τοῦ κύβου ἓξ ὥρας καταλαμπομένης. εἰ δὲ *πυραμοειδὴς* ἦν ἡ γῆ, ὀκτὼ ἂν ὥρας ἑκάστη πλευρὰ κατελάμπετο αὐτῆς.

Εἰ οὖν μηδὲν εἶναι τούτων τῶν σχημάτων περὶ αὐτὴν τὰ φαινόμενα δείκνυσιν, ἀναγκαῖον σφαιροειδῆ εἶναι αὐτὴν κατὰ τὸν διὰ πλειόνων πέμπτον ἀναπόδεικτον.

19. Direkter Beweis für die Kugelgestalt der Erde. § 47.

Ἔνεστι δὲ καὶ προηγουμένως δεῖξαι, ὅτι *σφαιρική ἐστιν*, ὁμοίως ἀπὸ τῶν φαινομένων ὁρμωμέ-

---

5. Ὅθεν οὐδὲ also auch nicht. — 7. Βαθύτερόν τι irgend eine Vertiefung. — 10. Κυρτότης Krümmung, Wölbung, konvexe Seite; κοιλότης Höhlung, konkave Seite. — 22. Ἔνεστι es ist möglich. — 22. Προηγουμένως (v. vorangehen, den Weg weisen) ausdrücklich,

νους. δι' ὧν γὰρ ἐδείκνυτο μηθὲν τῶν προειρημένων σχημάτων εἶναι περὶ αὐτήν, διὰ τούτων δείκνυται, ὅτι σφαιρική ἐστι. πρῶτον μὲν γὰρ μεταπίπτουσιν ἐπ' αὐτῆς οἱ ὁρίζοντες, ἔπειτα οὐ τὰ αὐτὰ παρὰ πᾶσιν ὁρᾶται ἄστρα πρὸς ἄρκτῳ καὶ μεσημβρίᾳ, οὐδὲ τὸ τοῦ πόλου ὕψος οὐδὲ τὸ μέγεθος τοῦ ἀρκτικοῦ οὐδὲ τὰ μεγέθη τῶν ἡμερῶν τε καὶ νυκτῶν· ἅπερ ἅπαντα δείκνυσι σαφῶς, ὅτι σφαιρικόν ἐστι τὸ περὶ τὴν γῆν σχῆμα. ἐν ἑτέρῳ γὰρ σχήματι οὐδὲν τούτων τῶν φαινομένων γίνεσθαι δυνατόν, ἀλλ' ἐπὶ μόνης τῆς σφαίρας ἐπιφαίνεσθαι τὰ τοιαῦτα τῶν συμπτωμάτων δυνατόν. καὶ μὴν ὁπόταν ἐν πελάγει γῇ πελάζειν μέλλωμεν, πρώταις ταῖς ἀκρωρείαις ἡ ὄψις ἐντυγχάνει, τὰ δὲ ἄλλα ὑπὸ τῆς περὶ τὸ ὕδωρ κυρτότητος ἐπιπροσθεῖται. ἔπειτα κατὰ τὴν πορείαν ὑπερτιθέμενοι τὰ κυρτώματα καὶ ταῖς λαγόσι τῶν ὀρῶν ἐντυγχάνομεν καὶ τοῖς πρόποσι. καὶ ἐν αὐτοῖς δὲ τοῖς πλοίοις ὁπόσα μέρη οὐχ ὁρᾶται ἀπὸ τῶν καταστρωμάτων καὶ ἐκ κοίλης νεώς, ταῦτα ἐπὶ τοῦ ἱστοῦ ἀνιόντες καὶ τὰ ἐπιπροσθοῦντα τῶν κυρτω-

---

geradezu, direkt. — **1.** *Ὁρμᾶσθαι ἀπὸ* ausgehen von; davon *ἀφορμή* Ausgangspunkt, Grundlage. — **9.** *Τούτων* Ziegler. — **11.** *Σύμπτωμα* (v. *συμπίπτω*) zusammentreffende (Vorfälle), Erscheinungen. — **11.** *Πέλαγος* hohes Meer (*πόντος* tiefes Meer). — **12.** *Ἀκρώρεια* Bergspitze; v. *ἄκρος* und *ὄρος*. — **13.** *Περὶ τὸ ὕδωρ* Ziegler. — **13.** *Ἐπιπροσθεῖν* hier trans. = dem Blick entziehen. — **14.** *Κατὰ τὴν πορείαν* während der Fahrt. — **14.** *Τὰ κυρτώματα ὑπερτίθεσθαι* über die Krümmungen fort(hinaus)fahren. — **15.** *Λαγόνες .... πρόποδες* Hohlräume (Schluchten, Thäler) .... Vorderfüfse (Vorberge, Fufs der Berge). — **17.** *Κατάστρωμα* Verdeck. — **17.** *Κοίλη ναῦς* Hohlschiff, Hohlraum des Schiffes. — **18.** *Ἱστός* Mast.

μάτων ὑπερτιθέμενοι πολλάκις ὁρᾶν εἰώθαμεν. καὶ νεὼς δὲ ἀπὸ γῆς ἰούσης πρῶτον τὰ σκάφη ἀποκρύπτεται, ἔτι τῶν περὶ τὸν ἱστὸν ὁρωμένων· καὶ ὁπότε ἐκ θαλάττης γῇ πελάζει, ὁμοίως πρῶτον ὁρᾶται τὰ ἱστία, τὰ δὲ σκάφη ἔτι ἐπιπροσθεῖται ὑπὸ τῆς περὶ τὸ ὕδωρ κυρτότητος. ἅπερ ἅπαντα μονονοὺ γραμμικαῖς ἀποδείξεσιν ἐμφαίνει, διότι σφαιρικόν ἐστι τὸ τῆς γῆς σχῆμα.

Ἀναγκαιότατον οὖν καὶ τὸν περιέχοντα αὐτὴν ἀέρα σφαῖραν εἶναι, ἀπὸ ὅλης αὐτῆς τῶν ἀναθυμιάσεων αἰρομένων καὶ ἐπισυρρεουσῶν καὶ οὕτω καὶ τὸ τοῦ ἀέρος σχῆμα ὅμοιον ἀπεργαζομένων. οὐ μὴν ἀλλὰ καὶ τὰ στερεὰ τῶν σωμάτων οἷά τέ ἐστι πολλαχῶς σχηματίζεσθαι, ἐπὶ δὲ πνευματικῆς ἢ πυρώδους οὐσίας, ὁπότε καθ’ αὑτὰς εἶεν, οὐδὲν ἐγχωρεῖ τοιοῦτον γίνεσθαι. ἐπὶ τὸ οἰκεῖον οὖν τῇ φύσει αὐτῶν παραγίνονται σχῆμα τετονωμέναι καὶ τὸ ἴσον ἀπὸ τοῦ μεσαιτάτου πάντῃ ἀποτεινόμεναι, μαλακῆς αὐτῶν τῆς οὐσίας οὔσης καὶ μηδενὸς ὄντος στερεοῦ, ὃ ἄλλως σχηματίζοι ἂν αὐτάς. τοῦ δὲ ἀέρος ὄντος σφαιρικοῦ, οὕτω καὶ ὁ αἰθήρ, πάλιν τούτου περιεκτικὸς ὢν καὶ

---

2. *Σκάφος* Schiffsrumpf, Schiffskörper. — **4.** *Ἱστίον* Segel. — **6.** *Μονονοῦ = μόνον οὐ* fast. — **6.** *Γραμμικαῖς ἀποδείξεσιν* durch lineare Nachweise = auf konstruktivem Wege. — **9.** *Τὸν περιέχοντα αὐτὴν ἀέρα.* Das Wort ‚Atmosphäre' (v. *ἀτμός* Dunst, *σφαῖρα* Kugel) ist nicht antik. — **9.** *Ἀναθυμίασις* Ausdünstung. Die Alten hielten die Atmosphäre für Ausdünstungen, die von der Erde aufsteigen (*αἴρεσθαι*) und ‚dann zusammenfliefsen' (*ἐπι-συρ-ῥεῖν*). — **12.** *Στερεά* feste Körper. — **12.** *Σχηματίζεσθαι* sich gestalten. — **13.** *Οὐσία* Stoff. — **14.** *Τοιοῦτον = τὸ πολλαχῶς σχηματίζεσθαι.* — **15.** *Τονοῦν* spannen. — **19.** *Περιεκτικός* (v. *περιέχειν*) umfassend, umspannend.

οὔτε εἰς γωνίας ὑπό τινος στερεοῦ ἀποκλινόμενος οὔτε εἰς ἐπίμηκές τι σχηματίζεσθαι αὐτὸν τὸ βιαζόμενον ἔχων, σφαῖρα καὶ αὐτὸς ἂν εἴη ἀναγκαίως. ὅθεν πολλὴ ἀνάγκη, καὶ τὸν σύμπαντα κόσμον τοιούτῳ τῷ σχήματι κεχρῆσθαι. καὶ μὴν κἀκεῖνο πιθανώτατον, τὸ τελεώτατον τῶν σωμάτων τῷ τελεωτάτῳ τῶν σχημάτων κεχρῆσθαι. καὶ ἔστι πάντων μὲν σωμάτων τελεώτατον ὁ κόσμος, πάντων δὲ σχημάτων ἡ σφαῖρα. αὕτη μὲν γὰρ οἵα τέ ἐστι περιλαμβάνειν πάντα τὰ τῇ αὐτῇ διαμέτρῳ κεχρημένα τῶν σχημάτων· τῶν δὲ ἄλλων σχημάτων οὐδὲν οἷόν τε περιλαμβάνειν τὴν σφαῖραν τῇ ἴσῃ διαμέτρῳ κεχρημένην αὐτῷ. ἀναγκαιότατον τοιγαροῦν σφαῖραν εἶναι τὸν κόσμον.

§ 48.

20. Erdmessung des Posidonios.

Περὶ τοῦ μεγέθους τῆς γῆς πλείους μὲν γεγόνασιν δόξαι παρὰ τοῖς φυσικοῖς, βελτίους δὲ τῶν ἄλλων εἰσὶν ἥ τε Ποσειδωνίου καὶ ἡ Ἐρατοσθένους· αὕτη μὲν διὰ γεωμετρικῆς ἐφόδου δεικνύουσα τὸ μέγεθος αὐτῆς· ἡ δὲ τοῦ Ποσειδωνίου ἐστὶν ἁπλουστέρα. ἑκάτερος δὲ αὐτῶν

---

2. *Ἐπιμήκης* in die Länge gedehnt, länglich. — **5.** *Τέλεος* vollkommen, vollendet. Diese eigentümliche Verquickung ethischer und ästhetischer Urteile mit physischen Gebilden ist griechische, besonders auch stoische Art. — **9.** *Διάμετρος* in weiterem Sinne nicht bloſs ‚Durchmesser' (Kreis, Kugel), sondern auch ‚Diagonale' (Rechteck, Cylinder). — **14.** *Πλείους,* z. B. jene alte Messung des § 45. — **18.** *Ἁπλουστέρα,* aber auch oberflächlicher, so daſs sie schwerlich als eine ausdrückliche Messung des Posidonios angesehen werden darf. Dazu hat sie 1. zu wenig strenge Methode, 2. zu wenig Fühlung mit den Resultaten der groſsen Vorgänger wie Eratosthenes.

ὑποθέσεις τινὰς λαμβάνων διὰ τῶν ἀκολούθων ταῖς ὑποθέσεσιν ἐπὶ τὰς ἀποδείξεις παραγίνεται.

Ἐροῦμεν δὲ περὶ προτέρας τῆς Ποσειδωνίου. φησὶν ὑπὸ τῷ αὐτῷ μεσημβρινῷ κεῖσθαι Ῥόδον καὶ Ἀλεξάνδρειαν. μεσημβρινοὶ δὲ κύκλοι εἰσὶν οἱ διά τε τῶν πόλων γραφόμενοι τοῦ κόσμου καὶ διὰ σημείου, ὃ ἑκάστου τῶν ἐπὶ γῆς βεβηκότων τῆς κορυφῆς ὑπέρκειται. πόλοι μὲν οὖν οἱ αὐτοὶ πάντων, τὸ δὲ κατὰ κορυφὴν σημεῖον ἄλλο ἄλλων. ὅθεν ἄπειροι δύνανται γράφεσθαι μεσημβρινοί. ἡ οὖν Ῥόδος καὶ ἡ Ἀλεξάνδρεια ὑπὸ τῷ αὐτῷ κεῖνται μεσημβρινῷ, καὶ τὸ διάστημα τὸ μεταξὺ τῶν πόλεων πεντακισχιλίων σταδίων εἶναι δοκεῖ· καὶ ὑποκείσθω οὕτως ἔχειν. εἰσὶ δὲ πάντες οἱ μεσημβρινοὶ τῶν μεγίστων ἐν κόσμῳ κύκλων, εἰς δύο ἴσα τέμνοντες αὐτὸν καὶ διὰ τῶν πόλων αὐτοῦ γραφόμενοι. — Τούτων τοίνυν οὕτως ἔχειν ὑποκειμένων ἑξῆς ὁ Ποσειδώνιος ἴσον ὄντα τὸν ζῳδιακὸν τοῖς μεσημβρινοῖς, ἐπεὶ καὶ αὐτὸς εἰς δύο ἴσα τέμνει τὸν κόσμον, εἰς ὀκτὼ καὶ τεσσαράκοντα μέρη διαιρεῖ, ἕκαστον τῶν δωδεκατημορίων αὐτοῦ εἰς τέσσαρα τέμνων. ἂν τοίνυν καὶ ὁ διὰ Ῥόδου καὶ Ἀλεξανδρείας μεσημβρινὸς εἰς τὰ αὐτὰ τῷ ζῳδιακῷ τεσσαρά-

---

1. *Ὑπόθεσις* Vorbedingung, Voraussetzung; *τὰ ἀκόλουθα ταῖς ὑποθέσεσιν* die Folgerungen daraus. — **4.** *Φησίν.* Die Beobachtung, Rhodos (28° 28′) und Alexandria (30°) lägen auf einem Meridian, ist sehr ungenau, aber oft wiederholt. — **5.** *Μεσημβρινοί* Meridiane, § 40. — **8.** *Πόλοι* Pole, § 33. — **9.** *Κορυφή* Scheitel, *τὸ κατὰ κορυφὴν σημεῖον* Zenith. — **13.** *Ὑποκείσθω* es sei vorausgesetzt. — **16.** *Ἑξῆς* im Anschlufs daran, im folgenden, weiter. — **19.** *Δωδεκατημόριον* Zwölftel, § 23.

κοντα καὶ ὀκτὼ μέρη διαιρεθῇ, ἴσα γίνεται αὐτοῦ τὰ τμήματα τοῖς προειρημένοις τοῦ ζῳδιακοῦ τμήμασιν. ὅταν γὰρ ἴσα μεγέθη εἰς ἴσα διαιρεθῇ, ἀνάγκη καὶ τὰ μέρη τοῖς μέρεσι τῶν διαιρεθέντων ἴσα γίνεσθαι. τούτων οὕτως ἐχόντων ἑξῆς φησιν ὁ Ποσειδώνιος, ὅτι ὁ Κάνωβος καλούμενος ἀστὴρ (λαμπρότατός ἐστι πρὸς μεσημβρίαν ὡς ἐπὶ τῷ πηδαλίῳ τῆς Ἀργοῦς) ἐν Ἑλλάδι οὐδ' ὅλως ὁρᾶται (ὅθεν οὐδ' ὁ Ἄρατος ἐν τοῖς Φαινομένοις μιμνήσκεται αὐτοῦ), ἀπὸ δὲ τῶν ἀρκτικῶν ὡς πρὸς μεσημβρίαν ἰοῦσιν ἀρχὴν τοῦ ὁρᾶσθαι ἐν Ῥόδῳ λαμβάνει καὶ ὀφθεὶς ἐπὶ τοῦ ὁρίζοντος εὐθέως κατὰ τὴν στροφὴν τοῦ κόσμου καταδύεται. ὁπόταν δὲ τοὺς ἀπὸ Ῥόδου πεντακισχιλίους σταδίους διαπλεύσαντες ἐν Ἀλεξανδρείᾳ γενώμεθα, εὑρίσκεται ὁ ἀστὴρ οὗτος ἐν Ἀλεξανδρείᾳ ὕψος ἀπέχων τοῦ ὁρίζοντος, ἐπειδὰν ἀκριβῶς μεσουρανήσῃ, τέταρτον ζῳδίου, ὅ ἐστι τεσσαρακοστὸν ὄγδοον τοῦ ζῳδιακοῦ. ἀνάγκη τοίνυν καὶ τὸ ὑπερκείμενον τοῦ αὐτοῦ μεσημβρινοῦ τμῆμα τοῦ διαστήματος τοῦ μεταξὺ Ῥόδου καὶ Ἀλεξανδρείας τεσσαρακοστὸν ὄγδοον μέρος αὐτοῦ εἶναι διὰ τὸ καὶ τὸν ὁρίζοντα τῶν Ῥοδίων τοῦ ὁρίζοντος τῶν Ἀλεξανδρέων ἀφίστασθαι τεσσαρακοστὸν

---

4. Wir: Gleiches durch Gleiches dividiert giebt Gleiches. Verallgemeinerung von B. 1, § 22ε. — **6.** *Κάνωβος* = *Κάνωπος* § 32. — **7.** Vor *ἐν Ἑλλάδι* ist *Οὗτος* gestrichen (Sch.) und der vorangehende Satz eingeklammert. — **8.** *Οὐδ' ὅλως* überhaupt nicht. — **8.** *Ἄρατος* § 6. — **10.** *Ἐν Ῥόδῳ*, allerdings *ἀφ' ὑψηλῶν τόπων ὁρᾶται* § 32. — **15.** *Ὕψος . . . τέταρτον μέρος ζῳδίου* = an Höhe . . . ein Viertel eines Tierbildes. — **16.** *Μεσουρανεῖν* kulminieren.

ὄγδοον τοῦ ζῳδιακοῦ κύκλου. ἐπεὶ οὖν τὸ τούτῳ τῷ τμήματι ὑποκείμενον μέρος τῆς γῆς πεντακισχιλίων σταδίων εἶναι δοκεῖ, καὶ τὰ τοῖς ἄλλοις τμήμασιν ὑποκείμενα πεντακισχιλίων σταδίων ἐστί. καὶ οὕτως ὁ μέγιστος τῆς γῆς κύκλος εὑρίσκεται μυριάδων τεσσάρων καὶ εἴκοσιν, ἐὰν ὦσιν οἱ ἀπὸ Ῥόδου εἰς Ἀλεξάνδρειαν πεντακισχίλιοι· εἰ δὲ μή, πρὸς λόγον τοῦ διαστήματος.

Καὶ ἡ μὲν τοῦ Ποσειδωνίου ἔφοδος περὶ τοῦ κατὰ τὴν γῆν μεγέθους τοιαύτη.

21. Erdmessung des Eratosthenes (Fig. 2).

Ἡ δὲ τοῦ Ἐρατοσθένους γεωμετρικῆς ἐφόδου § 49.
ἐχομένη καὶ δοκοῦσά τι ἀσαφέστερον ἔχειν. ποιήσει δὲ σαφῆ τὰ λεγόμενα ὑπ᾿ αὐτοῦ τάδε προϋποτεθέντα ἡμῖν. ὑποκείσθω ἡμῖν πρῶτον μὲν κἀνταῦθα, ὑπὸ τῷ αὐτῷ μεσημβρινῷ κεῖσθαι Συήνην καὶ Ἀλεξάνδρειαν· καὶ δεύτερον, τὸ διάστημα τὸ μεταξὺ τῶν πόλεων πεντακισχιλίων σταδίων εἶναι· καὶ τρίτον, τὰς καταπεμπομένας ἀκτῖνας ἀπὸ διαφόρων μερῶν τοῦ ἡλίου ἐπὶ διάφορα τῆς γῆς μέρη παραλλήλους εἶναι· οὕτως γὰρ ἔχειν αὐτὰς οἱ γεωμέτραι ὑποτίθενται. τέταρτον ἐκεῖνο ὑποκείσθω, δεικνύμενον παρὰ τοῖς γεωμέτραις, τὰς εἰς παραλλήλους ἐμπιπτούσας εὐθείας τὰς ἐναλλὰξ γωνίας ἴσας ποιεῖν. καὶ πέμπτον, τὰς ἐπὶ ἴσων γωνιῶν βεβηκυίας περιφερείας ὁμοίας εἶναι,

---

7. *Πρὸς λόγον* im Verhältnis, entsprechend. — **13.** *Προϋποτεθέντα ἡμῖν* (Sch.) f. *προϋποτιθεμένων ἡμῶν*. — **15.** *Συήνην* j. Assuan. — **18.** *Ἀκτίς* Strahl. Die Überlieferung *ἀπὸ διαφόρων μερῶν* ist durch S. 107, 18 gesichert, aber unverständlich. — **22.** *Τὰς ἐναλλὰξ γωνίας* Wechselwinkel, B. 1, § 34. *Καὶ* eingeschoben (Sch.). — **23.** *Περιφερείας* Bögen über gleichen Centriwinkeln.

τουτέστι τὴν αὐτὴν ἀναλογίαν καὶ τὸν αὐτὸν λόγον ἔχειν πρὸς τοὺς οἰκείους κύκλους, δεικνυμένου καὶ τούτου παρὰ τοῖς γεωμέτραις. ὁπόταν γὰρ περιφέρειαι ἐπὶ ἴσων γωνιῶν ὦσι βεβηκυῖαι, ἂν μία ἡτιςοῦν αὐτῶν δέκατον ᾖ μέρος τοῦ οἰκείου κύκλου, καὶ αἱ λοιπαὶ πᾶσαι δέκατα μέρη γενήσονται τῶν οἰκείων κύκλων.

§ 50. *Τούτων δ κατακρατήσας οὐκ ἂν χαλεπῶς τὴν ἔφοδον τοῦ Ἐρατοσθένους καταμάθοι ἔχουσαν οὕτως. ὑπὸ τῷ αὐτῷ κεῖσθαι μεσημβρινῷ φησι Συήνην καὶ Ἀλεξάνδρειαν. ἐπεὶ οὖν μέγιστοι τῶν ἐν τῷ κόσμῳ οἱ μεσημβρινοί, δεῖ καὶ τοὺς ὑποκειμένους τούτοις τῆς γῆς κύκλους μεγίστους εἶναι ἀναγκαίως. ὥςτε ἡλίκον ἂν τὸν διὰ Συήνης καὶ Ἀλεξανδρείας ἥκοντα κύκλον τῆς γῆς ἡ ἔφοδος ἀποδείξει αὕτη, τηλικοῦτος καὶ ὁ μέγιστος ἔσται τῆς γῆς κύκλος. φησὶ τοίνυν, καὶ ἔχει οὕτως, τὴν Συήνην ὑπὸ τῷ θερινῷ τροπικῷ κεῖσθαι κύκλῳ. ὁπόταν οὖν ἐν καρκίνῳ γενόμενος ὁ ἥλιος καὶ θερινὰς ποιῶν τροπὰς ἀκριβῶς μεσουρανήσῃ, ἄσκιοι γίνονται οἱ τῶν ὡρολογίων γνώμονες ἀναγκαίως, κατὰ κάθετον ἀκριβῆ τοῦ ἡλίου ὑπερκειμένου· καὶ τοῦτο γίνεσθαι λόγος ἐστὶν ἐπὶ σταδίους τριακοσίους τὴν διάμετρον. ἐν Ἀλεξανδρείᾳ δὲ τῇ αὐτῇ ὥρᾳ ἀποβάλλουσιν οἱ τῶν ὡρολογίων γνώμονες σκιάν, ἅτε πρὸς*

---

1. *Ἀναλογία* Proportion, *λόγος* Verhältnis. — **7.** *Κατακρατεῖν,* auch wir: beherrschen. — **16.** *Θερινῷ τροπικῷ*, gemeint ist der nördliche, also Wendekreis des Krebses (*καρκίνος*), d. h. etwa 24°. — **18.** *Ἄσκιοι* schattenlos. — **18.** *Οἱ τῶν ὡρολογίων γνώμονες* die Weiser der Sonnenuhren. — **19.** *Κατὰ κάθετον ἀκριβῆ* in genauem Lote, gerade senkrecht. — **20.** *Λόγος ἐστὶν* = *λέγεται.* *Ἐστίν* Sch.

ἄρκτῳ μᾶλλον τῆς Συήνης ταύτης τῆς πόλεως κειμένης. ὑπὸ τῷ αὐτῷ μεσημβρινῷ τοίνυν καὶ μεγίστῳ κύκλῳ τῶν πόλεων κειμένων, ἂν περιαγάγωμεν περιφέρειαν ἀπὸ τοῦ ἄκρου τῆς τοῦ γνώμονος σκιᾶς ἐπὶ τὴν βάσιν αὐτὴν τοῦ γνώμονος τοῦ ἐν Ἀλεξανδρείᾳ ὡρολογίου, αὕτη ἡ περιφέρεια τμῆμα γενήσεται τοῦ μεγίστου τῶν ἐν τῇ σκάφῃ κύκλων, ἐπεὶ μεγίστῳ κύκλῳ ὑπόκειται ἡ τοῦ ὡρολογίου σκάφη.

Εἰ οὖν ἑξῆς νοήσαιμεν εὐθείας διὰ τῆς γῆς ἐκβαλλομένας ἀφ' ἑκατέρου τῶν γνωμόνων, πρὸς τῷ κέντρῳ τῆς γῆς (C) συμπεσοῦνται. ἐπεὶ οὖν τὸ ἐν Συήνῃ ὡρολόγιον κατὰ κάθετον ὑπόκειται τῷ ἡλίῳ, ἂν ἐπινοήσωμεν εὐθεῖαν ἀπὸ τοῦ ἡλίου ἥκουσαν ἐπ' ἄκρον τὸν τοῦ ὡρολογίου γνώμονα (D'), μία γενήσεται εὐθεῖα ἡ ἀπὸ τοῦ ἡλίου μέχρι τοῦ κέντρου τῆς γῆς ἥκουσα. ἐὰν οὖν ἑτέραν εὐθεῖαν νοήσωμεν ἀπὸ τοῦ ἄκρου τῆς σκιᾶς τοῦ γνώμονος (B) δι' ἄκρου τοῦ γνώμονος (D) ἐπὶ τὸν ἥλιον ἀναγομένην ἀπὸ τῆς ἐν Ἀλεξανδρείᾳ σκάφης, αὕτη καὶ ἡ προειρημένη εὐθεῖα παράλληλοι γενήσονται ἀπὸ διαφόρων γε τοῦ ἡλίου μερῶν ἐπὶ διάφορα μέρη τῆς γῆς διήκουσαι. εἰς ταύτας τοίνυν παραλλήλους οὔσας ἐμπίπτει εὐθεῖα ἡ § 51.

---

4. *Τὸ ἄκρον* der Endpunkt, die Spitze (B). — **4.** *Ἡ βάσις* Fuſspunkt (A). — **6.** *Σκάφη* Napf, Hohlgefäſs. Die Fläche also, in der der Stift der Sonnenuhr steht, ist eine hohle Halbkugel, deren Randkreis (RK) zum Horizonte parallel steht. Die Stifte der antiken Sonnenuhren stehen stets senkrecht. Hier muſs der Stift (AD) so lang sein wie der Radius der Hohlkugel, d. h. seine Spitze (*ἄκρος ὁ τοῦ ὡρολογίου γνώμων* Z. 12) den Mittelpunkt der Hohlkugel bilden. — **19.** *Γε* beim Participium = wenn anders, da ja doch, *si quidem*. — **20.** *Εὐθεῖα* = CD.

ἀπὸ τοῦ κέντρου τῆς γῆς (C) ἐπὶ τὸν ἐν Ἀλεξανδρείᾳ γνώμονα (AD) ἥκουσα, ὥςτε τὰς ἐναλλὰξ γωνίας ἴσας ποιεῖν· ὧν ἡ μέν ἐστι πρὸς τῷ κέντρῳ τῆς γῆς κατὰ σύμπτωσιν τῶν εὐθειῶν, αἳ ἀπὸ τῶν ὡρολογίων ἤχθησαν ἐπὶ τὸ κέντρον τῆς γῆς, γινομένη, ἡ δὲ κατὰ σύμπτωσιν ἄκρου τοῦ ἐν Ἀλεξανδρείᾳ γνώμονος (D) καὶ τῆς ἀπ' ἄκρου τῆς σκιᾶς αὐτοῦ (BD) ἐπὶ τὸν ἥλιον διὰ τῆς πρὸς αὐτὸν ψαύσεως ἀναχθείσης γεγενημένη. καὶ ἐπὶ μὲν ταύτης βέβηκε περιφέρεια ἡ ἀπ' ἄκρου τῆς σκιᾶς τοῦ γνώμονος ἐπὶ τὴν βάσιν αὐτοῦ περιαχθεῖσα, ἐπὶ δὲ τῆς πρὸς τῷ κέντρῳ τῆς γῆς ἡ ἀπὸ Συήνης διήκουσα εἰς Ἀλεξάνδρειαν. ὅμοιαι τοίνυν αἱ περιφέρειαί εἰσιν ἀλλήλαις ἐπ' ἴσων γε γωνιῶν βεβηκυῖαι. ὃν ἄρα λόγον ἔχει ἡ ἐν τῇ σκάφῃ πρὸς τὸν οἰκεῖον κύκλον, τοῦτον ἔχει τὸν λόγον καὶ ἡ ἀπὸ Συήνης εἰς Ἀλεξάνδρειαν ἥκουσα. ἡ δέ γε ἐν τῇ σκάφῃ πεντηκοστὸν μέρος εὑρίσκεται τοῦ οἰκείου κύκλου. δεῖ οὖν ἀναγκαίως καὶ τὸ ἀπὸ Συήνης εἰς Ἀλεξάνδρειαν διάστημα πεντηκοστὸν εἶναι μέρος τοῦ μεγίστου τῆς γῆς κύκλου· καὶ ἔστι τοῦτο σταδίων πεντακισχιλίων. ὁ ἄρα σύμπας κύκλος γίνεται μυριάδων εἴκοσι πέντε. καὶ ἡ μὲν Ἐρατοσθένους ἔφοδος τοιαύτη.

---

2. *Τὰς ἐναλλὰξ γωνίας* = DCD' und BDC. — **5.** *Γινομένη ἐστὶ πρὸς* entsteht an. — **7.** *Ἄκρου* (Adj.) *τοῦ γνώμονος* Spitze des Stifts, *ἄκρου* (Subst.) *τῆς σκιᾶς* Endpunkt des Schattens. — **8.** *Διὰ τῆς πρὸς αὐτὸν* (sc. *τὸν γνώμονα*) *ψαύσεως* durch die Berührung mit ihm, d. h. so dafs sie ihn berührt (streift). — **10.** *Περιαχθεῖσα* = BA. — **11.** *Διήκουσα* = SA. — **16.** *Εὑρίσκεται* sc. *οὖσα*. — **21.** Andere Stellen nennen statt 250 000 die Zahl 252 000. Diese Zahl ist besser

Τίθεται δὲ καὶ χειμεριναῖς τροπαῖς ὡρολόγια εἰς § 52.
ἑκατέραν τῶν πόλεων, καὶ ἑκατέρων σκιὰς ἀποβαλλόντων μείζων μὲν ἡ ἐν Ἀλεξανδρείᾳ εὑρίσκεται ἀναγκαίως διὰ τὸ πλέον ἀφεστάναι τοῦ χειμερινοῦ τροπικοῦ τὴν πόλιν ταύτην. λαμβάνοντες οὖν τὴν ὑπεροχὴν τῆς σκιᾶς, καθ' ἣν ὑπερέχεται ἡ ἐν Συήνῃ ὑπὸ τῆς ἐν Ἀλεξανδρείᾳ, εὑρίσκουσι καὶ ταύτην μέρος πεντηκοστὸν τοῦ μεγίστου τῶν ἐν τῷ ὡρολογίῳ κύκλων. καὶ οὕτω καὶ ἀπὸ τούτου γνώριμον γίνεται, ὅτι πέντε καὶ εἴκοσι μυριάδων ἐστὶν ὁ μέγιστος τῆς γῆς κύκλος.

Ἔσται οὖν ἡ διάμετρος τῆς γῆς ὑπὲρ τὰς ὀκτὼ μυριάδας, τρίτον γε τοῦ μεγίστου τῶν ἐν αὐτῇ κύκλων ἔχειν ὀφείλουσα. οἱ οὖν λέγοντες μὴ δύνασθαι τὴν γῆν σφαιρικὴν εἶναι διά τε τὰ τῆς θαλάσσης κοιλώματα καὶ τὰς τῶν ὀρῶν ἐξοχάς, πάνυ ἀλόγως τοῦτο δοξάζουσιν. οὔτε γὰρ ὄρος ὑψηλότερον πεντεκαίδεκα σταδίων κατὰ τὴν κάθετον εὑρίσκεται οὔτε θαλάσσης βάθος. τριάκοντα δὲ

---

beglaubigt. Sie ergiebt entweder 6300 Meilen (1 *στάδ.* = 600 Fuſs) oder 5040 Meilen (1 *στάδ.* = 470 Fuſs). Die wahre Äquatorlänge (diese muſs verglichen werden, da die Alten von der Abplattung des Meridians nichts wuſsten) beträgt rund 5400 Meilen (= 40 070 km). — **1.** *Χειμεριναῖς τροπαῖς* zur Zeit der Winterwende. — **5.** *Ὑπεροχή* Überschuſs, Differenz. — **6.** *Καθ' ἥν.* Wir: um welche. — **13.** Man dividiert U (Umfang) durch π, also 252 000 St. durch 3, 143 (so hoch, d. h. $\frac{22}{7}$, berechnete wenigstens Archimedes π). Ergiebt etwa 80 175 Stadien. — **14.** *Κοιλώματα* Vertiefungen, Becken. — **15.** *Ἐξοχαί* Erhebungen. — **16.** *Πεντεκαίδεκα.* Gedacht ist an Dikäarchs Messung der *Κυλλήνη* im Peloponnes: § 60. — **17.** *Θαλάσσης βάθος.* Daſs die Alten Meerestiefen gemessen haben, lehrt z. B. Polybios: § 69.

στάδιοι πρὸς πλεῖον ἢ μυριάδας ὀκτὼ σταδίων οὐδένα λόγον ἔχουσιν· ἀλλ' ὅμοιόν ἐστι τοῦτο, ὡς εἰ καὶ κονιορτός τις ἐπὶ σφαίρας εἴη. αἵ τε ἐξοχαὶ αἱ περὶ τὰ σφαιρία τῶν πλατάνων οὐ κωλύουσιν αὐτὰ σφαιρία εἶναι· καίτοι αὗται πλείονα λόγον ἔχουσι πρὸς τὰ ὅλα τῶν σφαιρίων μεγέθη ἢ αἱ κοιλότητες τῆς θαλάσσης καὶ αἱ τῶν ὀρῶν ὑπεροχαὶ πρὸς τὸ πᾶν τῆς γῆς μέγεθος.

VI. Einteilung der Erdoberfläche.

22. Die fünf Zonen.

§ 53. *Ἡ τῆς συμπάσης γῆς ἐπιφάνεια σφαιροειδὴς ὑπάρχουσα διαιρεῖται εἰς ζώνας πέντε, ὧν δύο μὲν αἱ περὶ τοὺς πόλους, πορρώτατα δὲ κείμεναι τῆς τοῦ ἡλίου παρόδου, κατεψυγμέναι λέγονται καὶ ἀοίκητοι διὰ τὸ ψῦχός εἰσιν. ἀφορίζονται δ' ὑπὸ τῶν ἀρκτικῶν πρὸς τοὺς πόλους. αἱ δὲ τούτων ἑξῆς, συμμέτρως δὲ κείμεναι πρὸς τὴν τοῦ ἡλίου πάροδον, εὔκρατοι καλοῦνται. ἀφορίζονται δ' αὗται ὑπὸ τῶν ἐν τῇ γῇ ἀρκτικῶν καὶ τροπικῶν*

---

2. *Οὐδένα λόγον.* Wir: ein Verhältnis gleich Null. — **2.** *Κονιορτός* Staub. — **3.** *Σφαίρας* Ball, S. 74, 16. — **3.** *Ἐξοχαί* Auswüchse, Warzen, Härchen. — **3.** *Σφαιρία* Kügelchen. Schon Theophrast (B. 1, S. 8, 11) spricht in seiner Pflanzenkunde (*περὶ φυτῶν ἱστορία* III 11, 4) von *βρύα* (Blüten) *σφαιροειδῆ ὥσπερ τὰ τῶν πλατάνων.* — **10.** Hier kommt wieder Geminos zu Worte. — **13.** *Τῆς τοῦ ἡλίου παρόδου* der seitlichen Verschiebung der Sonne, d. h. des Gebietes ihrer seitlichen Verschiebung. Wie § 24. 37. — **13.** *Καταψύχω* abkühlen, auskälten. — **14.** *Εἴσιν* Man. — **15.** *Πρὸς τοὺς πόλους.* Ungeschickt für: Von den Polenaus (gerechnet). — **15.** *Συμμέτρως* symmetrisch, d. h. in Gröſse und Lage sich entsprechend. — **16.** *Εὔκρατοι* wohltemperiert, gemäſsigt. Von *κεράννυμι* mischen. — **17.** *Ἐν τῇ γῇ* nach Manitius, für *ἐν τῷ κόσμῳ.*

κύκλων, μεταξὺ κείμεναι αὐτῶν. ἡ δὲ λοιπὴ μέση τῶν προειρημένων, κειμένη δ' ὑπ' αὐτὴν τὴν τοῦ ἡλίου πάροδον, διακεκαυμένη καλεῖται. διχοτομεῖται δ' αὕτη ὑπὸ τοῦ ἐν τῇ γῇ ἰσημερινοῦ κύκλου, ὃς κεῖται ὑπὸ τὸν ἐν τῷ κόσμῳ ἰσημερινὸν κύκλον.

Τῶν δὲ εὐκράτων δύο ζωνῶν τὴν βόρειον ὑπὸ τῶν ἐν τῇ καθ' ἡμᾶς οἰκουμένῃ κατοικεῖσθαι συμβέβηκεν, ἐπὶ μὲν τὸ μῆκος οὖσαν ὡς ἔγγιστα περὶ δέκα μυριάδας σταδίων, ἐπὶ δὲ τὸ πλάτος ὡς ἔγγιστα τὸ ἥμισυ.

23. Vier Ökumenen und drei Erdteile.

Τῶν δὲ ἐπὶ τῆς γῆς κατοικούντων οἱ μὲν λέγονται § 54.
σύνοικοι, οἱ δὲ περίοικοι, οἱ δ' ἄντοικοι, οἱ δ' ἀντίποδες. σύνοικοι μὲν οὖν εἰσιν οἱ περὶ τὸν αὐτὸν τόπον τῆς αὐτῆς ζώνης κατοικοῦντες, περίοικοι δὲ οἱ ἐν τῇ αὐτῇ ζώνῃ κύκλῳ περιοικοῦντες, ἄντοικοι δὲ οἱ ἐν τῇ νοτίῳ ζώνῃ ὑπὸ τὸ αὐτὸ ἡμισφαίριον κατοικοῦντες, ἀντί-

---

3. *Διακεκαυμένη* durchhitzt, versengt, heiſs, *zona torrida* verdorrt, ausgedörrt. Von *διακαίω torreo*. — **3.** *Δ' αὕτη* auch T. — **9.** Das in solchen Messungen ausgedrückte Verhältnis der beiden Linien gab Anlaſs zur Unterscheidung von *μῆκος* und *πλάτος*, Ausdrücken von solcher Hartnäckigkeit, daſs sie auch nach der Erkennung der Kugelgestalt üblich blieben. Noch heute redet man von geographischer Länge und Breite. Vgl. S. 60, 3. — **11.** *Τῆς* Man. — **12.** *Σύνοικοι nostri* Mitwohner, *περίοικοι transversi* Nebenwohner, *ἄντοικοι obliqui* Gegenwohner, *ἀντίποδες adversi* Gegenfüſsler: Cic. somn. Scip. 12. — **13.** *Περὶ τὸν αὐτὸν τόπον* rings auf demselben Fleck. Also *περί τι* nicht = ‚rings um', sondern = ‚rings in'. So *circa Siciliam* = in Sicilien herum. — **15.** *Ἐν τῇ αὐτῇ ζώνῃ κύκλῳ* ungeschickt für etwa *ἐν τῷ ἑτέρῳ τῆς αὐτῆς ζώνης ἡμικυκλίῳ*.

ποδες δὲ οἱ ἐν τῇ νοτίῳ ζώνῃ ἐν τῷ ἑτέρῳ ἡμισφαιρίῳ κατοικοῦντες κατὰ τὴν αὐτὴν διάμετρον κείμενοι τῇ καθ' ἡμᾶς οἰκουμένῃ· διὸ κέκληνται ἀντίποδες. πάντων γὰρ τῶν βαρέων ἐπὶ τὸ κέντρον συννευόντων διὰ τὸ ἐπὶ τὸ μέσον εἶναι τὴν φορὰν τῶν σωμάτων, ἐὰν ἀπό τινος οἰκήσεως τῶν ἐν τῇ καθ' ἡμᾶς οἰκουμένῃ ἐπὶ τὸ κέντρον τῆς γῆς ἐπιζευχθῇ τις εὐθεῖα καὶ ἐκβληθῇ, οἱ κατὰ τὸ πέρας κείμενοι τῆς διαμέτρου ἐν τῇ νοτίῳ ζώνῃ ἀντίποδες γίνονται τῶν ἐν τῇ βορείῳ ζώνῃ κατοικούντων.

Διαιρεῖται δὲ ἡ καθ' ἡμᾶς οἰκουμένη εἰς μέρη τρία, Ἀσίαν, Εὐρώπην, Λιβύην. διπλάσιον δέ ἐστιν ὡς ἔγγιστα τὸ μῆκος τῆς οἰκουμένης τοῦ πλάτους. δι' ἣν αἰτίαν οἱ κατὰ λόγον γράφοντες τὰς γεωγραφίας ἐν πίναξι γράφουσι παραμήκεσιν, ὡς διπλάσιον εἶναι τὸ μῆκος τοῦ πλάτους. οἱ δὲ στρογγύλας γράφοντες τὰς γεωγραφίας πολὺ τῆς ἀληθείας εἰσὶ πεπλανημένοι. ἴσον γὰρ γίνεται τὸ μῆκος τῷ πλάτει, ὅπερ οὐκ ἔστιν ἐν τῇ φύσει. ἀνάγκη οὖν μὴ τηρεῖσθαι τὰς τῶν διαστημάτων συμμετρίας τὰς ἐν ταῖς στρογγύλαις γεωγραφίαις. ἔκτμημά τι γάρ ἐστι σφαίρας τὸ οἰκούμενον μέρος τῆς γῆς διπλάσιον ἔχον τὸ μῆκος τοῦ πλάτους, ὅπερ οὐ δύναται ἀποτερματίζεσθαι κύκλῳ.

---

4. *Συννεύω* zusammenneigen, sich zusammendrängen (nach dem Centrum hin). — **7.** *Ἐκβάλλω* verlängern. — **14.** *Παραμήκης = ἐπιμήκης* (S. 102, 2). — **15.** *Στρογγύλας* rund, kreisförmig. Vgl. Herod. IV 36. So war die alte Karte des Anaximander gezeichnet. — **15.** *Γεωγραφία* = Erdbild, Landkarte; *γράφω* zeichnen, skizzieren, vgl. *ζωγραφία* Malerei. — **17.** *Ἀνάγκη οὖν μὴ* leider können also nicht. — **19.** *Ἔκτμημα* Ausschnitt. — **20.** *Οὐ δύναται*

24. Länge des Meridians und Breite der Zonen. § 55.

Ἀναμεμετρημένου δὲ τοῦ μεγίστου κύκλου τῶν ἐν τῇ γῇ, ὃς κεῖται κατὰ τὸν ἐν τῷ κόσμῳ μεσημβρινόν, καὶ εὑρημένου μυριάδων κε΄ καὶ σταδίων ͵β, τῆς δὲ διαμέτρου μυριάδων η΄ καὶ σταδίων ͵δ, διαιρουμένου τε τοῦ μεσημβρινοῦ κύκλου εἰς μέρη ξ΄, καλεῖται τὸ ἓν τμῆμα ἑξηκοστόν, ὃ γίνεται σταδίων ͵δσ΄· ἐὰν γὰρ μερισθῶσιν αἱ κε΄ μυριάδες καὶ τὰ ͵β στάδια εἰς μέρη ξ΄, γίνεται τὸ ἑξηκοστὸν σταδίων ͵δσ΄.

Ἔστιν οὖν τὰ μεταξὺ τῶν ζωνῶν διαστήματα τοῦτον ἀφωρισμένα τὸν τρόπον. τῶν μὲν κατεψυγμένων δύο ζωνῶν τὸ πλάτος ἑκατέρας αὐτῶν ἑξηκοστῶν ἕξ, ἅπερ εἰσὶ στάδιοι ͵κεσ΄· τῶν δ' εὐκράτων δύο ζωνῶν τὸ πλάτος ἑκατέρας αὐτῶν ἑξηκοστῶν πέντε, ἃ γίνεται στάδιοι ͵κα· τῆς δὲ διακεκαυμένης ζώνης τὸ πλάτος ἑξηκοστῶν ὀκτώ, ὥςτε ἀπὸ τοῦ ἰσημερινοῦ ἐφ' ἑκάτερα πρὸς τοὺς τροπικοὺς ἑξηκοστὰ εἶναι τέσσαρα, ἃ γίνεται στάδια ͵ιϛω΄.

Γίνονται οὖν ἀπὸ μὲν τοῦ πόλου τοῦ ἐν τῇ γῇ, ὃς κεῖται κατὰ τὸν ἐν τῷ κόσμῳ πόλον, μέχρι τοῦ ἐν τῇ γῇ

ἀποτερματίζεσθαι κύκλῳ läſst sich unmöglich durch einen Kreis abgrenzen; *τέρμα = terminus*. — **4.** Die Zahl 252000 ist besser beglaubigt, als die 250000 des Kleomedes (§ 51). — **5.** Eine sehr ungenaue Rechnung, die nach der Formel ‚*U* durch $\pi = 2r$' für π den Wert 3 ergäbe (§ 34). — **7.** Denn $4200 \times 60 = 252\,000$. — **10.** *Μεταξὺ* gehört zu *διαστήματα*, die ‚Zwischenabstände' der Zonen. Ungeschickt für ‚Breiten'. — **13.** Die folgenden Zahlen ergeben die Rechnung: $2\ (25\,200 + 21\,000 + 16\,800) = 126\,000$ Stadien; oder $2\ (6 + 5 + 4) = 30$ Sechzigstel.

ἀρκτικοῦ στάδιοι ͵κεσʹ, ἀπὸ δὲ τοῦ ἐν τῇ γῇ ἀρκτικοῦ, ὃς κεῖται κατὰ τὸν ἐν τῷ κόσμῳ ἀρκτικόν, πρὸς τὸν ἐν τῇ γῇ θερινὸν τροπικόν, ὃς κεῖται κατὰ τὸν ἐν τῷ κόσμῳ θερινὸν τροπικόν, στάδιοι ͵κα, ἀπὸ δὲ τοῦ θερινοῦ τροπικοῦ μέχρι τοῦ ἐν τῇ γῇ ἰσημερινοῦ, ὃς κεῖται κατὰ τὸν ἐν τῷ κόσμῳ ἰσημερινόν, στάδιοι ͵ιϛωʹ. πάλιν δὲ ἀπὸ τοῦ ἰσημερινοῦ πρὸς τὸν ἕτερον τροπικὸν στάδια ͵ιϛωʹ, ἀπὸ δὲ τοῦ τροπικοῦ πρὸς τὸν ἀνταρκτικὸν στάδια ͵κα, ἀπὸ δὲ τοῦ ἀνταρκτικοῦ πρὸς τὸν ἕτερον πόλον στάδια ͵κεσʹ. ὥςτε συνάγεσθαι τὸ μεταξὺ τῶν πόλων διάστημα μυριάδων ιβʹ καὶ σταδίων ͵ϛ, ὅπερ ἐστὶν ἥμισυ τῆς περιμέτρου τῆς γῆς. τὸ γὰρ ἀπὸ τοῦ πόλου ἐπὶ τὸν πόλον ἐστὶν ἡμικύκλιον.

Ἡ δὲ διαίρεσις τῶν ἑξηκοστῶν τούτων καὶ ἐν ταῖς κρικωταῖς σφαίραις ἡ αὐτὴ ὑπάρχει. κατασκευάζονται γὰρ αἱ κρικωταὶ σφαῖραι οὕτως. ἀπὸ τοῦ πόλου ὁ ἀρκτικὸς διίσταται μοίρας λϛʹ, ὅπερ ἐστὶν ἑξηκοστὰ ἕξ· ἑξάκις γὰρ ἓξ γίνεται λϛʹ. ὁ δὲ ἀρκτικὸς ἀπὸ τοῦ θερινοῦ τροπικοῦ διίσταται μοίρας λʹ, ὅπερ ἐστὶν ἑξηκοστὰ πέντε. ὁ δὲ θερινὸς τροπικὸς ἀπὸ τοῦ ἰσημερινοῦ διέστηκε μοίρας κδʹ, ὅπερ ἐστὶν ἑξηκοστὰ τέσσαρα. ὁ δὲ ἰσημερινὸς ἀπὸ

---

10. *Συνάγεσθαι* zusammenkommen, herauskommen. — **11.** Denn 2 × 126 000 = 252 000. — **14.** *Ἡ διαίρεσις τῶν ἑξηκοστῶν* die Abtrennung (Auseinandernahme, Scheidung) der Sechzigstel = die Einteilung in Sechzigstel. — **15.** *Κρικωταὶ σφαῖραι* Ringsphäre (*κρίκος circus* Reifen, vgl. Ω 272), Armillarsphäre (*sphaera armillaris*, von *armilla* Vitruv X 2, 11). Vgl. unser Buch III. — **18.** Breite von Rhodos ist 36°.

τοῦ χειμερινοῦ τροπικοῦ διέστηκε τὰς ἴσας μοίρας κδ'. ὁ δὲ χειμερινὸς τροπικὸς ἀπὸ τοῦ ἀνταρκτικοῦ διέστηκε μοίρας λ'. ὁ δὲ ἀνταρκτικὸς ἀπὸ τοῦ νοτίου πόλου διέστηκε μοίρας λϛ'. ὥςτε πάλιν ἀπὸ τοῦ πόλου ἐπὶ τὸν πόλον συνάγεσθαι μὲν μοίρας ρπ', ἑξηκοστὰ δὲ λ'. πρὸς γὰρ τοῦτο τὸ ἓν κλίμα καὶ αἱ κρικωταὶ σφαῖραι κατασκευάζονται καὶ αἱ στερεαί, τῶν ἀρκτικῶν μόνων μεταπιπτόντων ἔν τισιν οἰκήσεσι κατὰ τὰς διαστάσεις. αἱ μέντοι γε ἐν τῇ γῇ ζῶναι πρὸς τὸ εἰρημένον ἓν κλίμα λαμβάνουσι τὴν διαίρεσιν.

25. Phänomene unter verschiedenen Breiten und Längen. § 56.

Τῶν δὲ ἐπὶ τῆς γῆς κατοικούντων ὅσοι μὲν ἐπὶ τοῦ αὐτοῦ παραλλήλου κατοικοῦσι, τούτοις τὰ αὐτὰ φαινόμενα κατὰ τὰς οἰκήσεις γίνεται, καὶ τὰ μεγέθη τῶν ἡμερῶν ἴσα καὶ τὰ μεγέθη τῶν ἐκλείψεων τοιαῦτα καὶ αἱ τῶν ὡροσκοπείων καταγραφαὶ αἱ αὐταί. καὶ καθόλου πάντα τὰ περὶ τὰς οἰκήσεις τὰς ἐπὶ τοῦ αὐτοῦ παραλλήλου κειμένας τὰ αὐτὰ ὑπάρχει. τὸ γὰρ ἔγκλιμα' τοῦ κόσμου μένει τὸ αὐτό· παρὰ γὰρ τὸ ἔγκλιμα τοῦ κόσμου διάφορα γίνεται τὰ φαινόμενα. αἱ μέντοι γε ἀρχαὶ τῶν

---

7. *Στερεαί.* Während Armillarsphären nur aus Ringen bestehen, sind die ‚festen' (Manitius ‚massiven') Sphären ganze (wenn auch vielleicht hohle) Kugeln wie unsere Erdgloben. — **14.** *Κατὰ τὰς οἰκήσεις* innerhalb ihrer Wohnsitze. — **15.** *Τῶν ἐκλείψεων τοιαῦτα* stimmt in der Sache nur ungefähr, ist auch im Ausdruck undeutlich. — **16.** *Ὡροσκοπεῖα = ὡρολόγια* Stundenbilder (Wir: Zifferblätter) der Sonnenuhren. — **19.** *Ἔγκλιμα τοῦ κόσμου* Polhöhe = geographische Breite. — **19.** *Παρὰ τὸ* parallel mit, entsprechend.

ἡμερῶν καὶ αἱ τελευταὶ οὐχ ἅμα πᾶσι γίνονται, ἀλλ' οἷς μὲν πρότερον, οἷς δ' ὕστερον. καὶ ἔστιν ἡ παρά τισι πρώτη ὥρα παρ' ἄλλοις μέσον ἡμέρας, παρ' οἷς δὲ δύσις. ἤδη μέντοι γε πρὸς τὴν αἴσθησιν σχεδὸν ἐπὶ σταδίους ν' ἀπ' ἀνατολῆς ἐπὶ δύσιν ὁ αὐτὸς ὁρίζων διαμένει, ὥςτε πρὸς αἴσθησιν ἅμα τὴν ἀνατολὴν αὐτοῖς γίνεσθαι καὶ τὴν δύσιν. ὅταν δὲ πλεῖον γένηται ἀπὸ δύσεως ἐπ' ἀνατολὴν ἰόντι τὸ διάστημα τῶν ν' σταδίων, προανατολαὶ καὶ προδύσεις γίνονται.

Τοῖς δὲ ἐπὶ τοῦ αὐτοῦ μεσημβρινοῦ κατοικοῦσι μέχρι μὲν σταδίων ν' ἀνεπαίσθητος γίνεται ἡ τῶν κλιμάτων παραλλαγή. ἅμα τῷ μέντοι γε πλεῖον διάστημα ὑπερβῆναι πρὸς ἄρκτον ἢ πρὸς μεσημβρίαν ἄλλο γίνεται ἔγκλιμα, ὥςτε πάντα τὰ φαινόμενα διάφορα γίνεσθαι. καὶ γὰρ τὰ μεγέθη τῶν ἡμερῶν καὶ τὰ μεγέθη τῶν ἐκλείψεων καὶ αἱ τῶν ὡρολογίων καταγραφαὶ διάφοροι παρὰ τὰς οἰκήσεις γίνονται τοῖς ἐπὶ τοῦ αὐτοῦ μεσημβρινοῦ κατοικοῦσι· τὸ γὰρ ἔγκλιμα μεταπίπτει πρὸς ἄρκτον ἢ πρὸς μεσημβρίαν τῆς μεταβάσεως γινομένης. τὰ μέντοι γε μέσα τῶν ἡμερῶν καὶ τὰ μέσα τῶν νυκτῶν ἅμα πᾶσι γίνεται τοῖς ἐπὶ τοῦ αὐτοῦ μεσημβρινοῦ κατοικοῦσιν.

Ὅταν δὲ περὶ τῆς νοτίου ζώνης λέγωμεν καὶ τῶν ἐν αὐτῇ κατοικούντων, πρὸς δὲ τούτοις περὶ τῶν ἐν αὐτῇ ἀντιπόδων, τῶν λεγομένων οὕτως ἀκούειν προσήκει ὡς

---

8. *Ἀπὸ δύσεως ἐπ' ἀνατολὴν ἰόντι* eingeschoben (Sch.). Ebenso *τὸ* (Man.). — **11.** *Ἀνεπαίσθητος* nicht wahrnehmbar. — **24.** *Τῶν λεγομένων οὕτως ἀκούειν* das Gesagte so verstehen.

μηδεμίαν ἡμῶν ἱστορίαν παρειληφότων περὶ τῆς νοτίου ζώνης, μηδ' εἴ τινες ἐν αὐτῇ κατοικοῦσιν, ἀλλ' ὅτι, ἕνεκεν τῆς ὅλης σφαιροποιίας καὶ τοῦ σχήματος τῆς γῆς καὶ τῆς παρόδου τοῦ ἡλίου τῆς μεταξὺ τῶν τροπικῶν γινομένης, ἔστι τις καὶ ἑτέρα ζώνη πρὸς νότον κειμένη τὴν αὐτὴν εὐκρασίαν ἔχουσα τῇ βορείῳ ζώνῃ, ἐν ᾗ κατοικοῦμεν ἡμεῖς. ὁμοίως δὲ καὶ περὶ τῶν ἀντιπόδων λέγομεν, οὐχ ὡς κατὰ πᾶν οἰκούντων τινῶν κατὰ τὴν αὐτὴν διάμετρον ἡμῖν, ἀλλ' ὡς ὄντος τινὸς τόπου οἰκησίμου ἐπὶ τῆς γῆς κατὰ διάμετρον ἡμῖν.

26. Der Ocean der heifsen Zone. § 57.

Ὑπὸ δὲ τὴν διακεκαυμένην ζώνην τινὲς τῶν ἀρχαίων ἀπεφήναντο, ὧν ἐστι καὶ Κλεάνθης ὁ Στωϊκὸς φιλόσοφος, ὑποκεχύσθαι μεταξὺ τῶν τροπικῶν τὸν ὠκεανόν. οἷς ἀκολούθως καὶ Κράτης ὁ γραμματικὸς τὴν πλάνην τοῦ Ὀδυσσέως διατάσσων καὶ τὴν ὅλην σφαῖραν τῆς γῆς καταγράφων τοῖς ἀφοριζομένοις κύκλοις, καθὼς προειρήκαμεν, ποιεῖ μεταξὺ τῶν τροπικῶν τὸν ὠκεανὸν κείμενον, λέγων ἀκολούθως τοῖς μαθηματικοῖς τὴν ὅλην

---

1. *Ἱστορίαν* in der Grundbedeutung: persönliches Zeugnis, persönliche Kunde. — **6.** *Εὐκρασία* gemäfsigtes Klima (v. *εὔκρατος*). — **8.** *Οὐχ ὡς κατὰ πᾶν* nicht als ob jedenfalls. — **9.** *Ὡς* Manitius. — **9.** *Οἰκήσιμος* bewohnbar. — **13.** *Κλεάνθης* S. 2, 14. 50, 18. — **14.** *Ὑποκεχύσθαι* sei darunter gegossen, ströme — **15.** *Οἷς ἀκολούθως* im Anschlufs an sie. — **15.** *Κράτης* § 9. — **16.** *Διατάσσων* genau ordnend. — **17.** *Καταγράφειν τι* hier = *γράφειν κατά τι* in (auf) etwas einzeichnen, auftragen. — **17.** *Ἀφοριζομένοις κύκλοις* hier medial = Grenzkreise.

διάταξιν ποιεῖσθαι. ἡ δὲ τοιαύτη διάταξις ἀλλοτρία ἐστὶ καὶ τοῦ μαθηματικοῦ καὶ τοῦ φυσικοῦ λόγου καὶ παρ' οὐδενὶ τῶν ἀρχαίων μαθηματικῶν κατακεχωρισμένη, ὡς ἀποφαίνεται Κράτης. μεταξὺ γὰρ τῶν τροπικῶν ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ἤδη καὶ κατώπτευται καὶ εὕρηται τὰ πλεῖστα οἰκήσιμα καὶ οὐ πελάγει πάντοθεν περιεχόμενα. καὶ τοῦ μεταξὺ διαστήματος ὑπάρχοντος ἀπὸ τοῦ θερινοῦ τροπικοῦ μέχρι τοῦ ἰσημερινοῦ σταδίων ͵ςω´ καὶ σχεδὸν ὡς ἐπὶ σταδίους ͵ηω´ ὡδοιπόρηται καὶ ἡ περὶ τούτων τῶν τόπων ἱστορία ἀναγέγραπται διὰ τῶν ἐν Ἀλεξανδρείᾳ βασιλέων ἐξητασμένη. ὅθεν ψευδοδοξοῦσιν οἱ νομίζοντες τὸν ὠκεανὸν ὑποκεχύσθαι μεταξὺ τῶν τροπικῶν.

§ 58. 27. Die Bewohnbarkeit der heifsen Zone.

Ἐκ δὲ τούτων φανερὸν ὅτι καὶ τὸ δοξαζόμενον, ὅτι ἀοίκητός ἐστιν ἡ μεταξὺ τῶν τροπικῶν κειμένη χώρα διὰ τὴν τοῦ καύματος ὑπερβολήν, καὶ μάλιστα ἡ περὶ μέσην τὴν διακεκαυμένην ζώνην, ψεῦδός ἐστιν. οἱ μὲν γὰρ περὶ τὰ πέρατα τῆς διακεκαυμένης ζώνης οἰκοῦντες Αἰθίοπές εἰσι κατὰ κορυφὴν ἔχοντες ἐν ταῖς τροπαῖς τὸν ἥλιον. δύο γὰρ Αἰθιοπίας ὑποληπτέον τῇ φύσει ὑπάρχειν, περὶ

---

1. *Ἀλλοτρία ἐστὶ* hat nichts zu thun mit. — **2.** *Λόγος* S. 122, 3. — **3.** *Καταχωρίζειν* den Platz anweisen, placieren; eintragen, einzeichnen. — **9.** *Ὁδοιπορεῖν* durchwandern. Die 8800 St. ergeben etwa die Breite von Somaliland und Ceylon. — **11.** *Ἐξετάζειν* genau prüfen. — **11.** *Ψευδοδοξεῖν* eine falsche Vorstellung haben. — **14.** *Δοξαζόμενον* herrschende Vorstellung, verbreitete Meinung. — **17.** *Περὶ* Manitius. — **19.** *Εἰσὶ κατὰ κορυφὴν ἔχοντες* haben im Zenith. — **19.** *Ἐν ταῖς τροπαῖς* während der Wenden.

τε τὸν παρ' ἡμῖν θερινὸν τροπικὸν κύκλον περιοικούντων Αἰθιόπων καὶ περὶ τὸν ἡμῖν μὲν χειμερινὸν τροπικόν, τοῖς δ' ἀντίποσι θερινόν. τοῦτο δέ φησι Κράτης καὶ τὸν Ὅμηρον λέγειν, ἐν οἷς φησιν·

Αἰθίοπες, τοὶ διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν,
οἱ μὲν δυσομένου Ὑπερίονος, οἱ δ' ἀνιόντος.

Κράτης μὲν οὖν παραδοξολογῶν τὰ ὑφ' Ὁμήρου ἀρχαϊκῶς καὶ ἰδικῶς εἰρημένα μετάγει πρὸς τὴν κατὰ ἀλήθειαν σφαιροποιίαν. Ὅμηρος μὲν γὰρ καὶ οἱ ἀρχαῖοι ποιηταὶ σχεδὸν ὡς εἰπεῖν πάντες ἐπίπεδον ὑφίστανται τὴν γῆν καὶ συνάπτουσαν τῷ κόσμῳ καὶ κύκλῳ τὸν ὠκεανὸν περικείμενον καὶ τὴν τοῦ ὁρίζοντος ἐπέχοντα τάξιν καὶ τὰς ἀνατολὰς γινομένας ἐκ τοῦ ὠκεανοῦ καὶ τὰς δύσεις εἰς τὸν ὠκεανόν. ὥςτε τοὺς πλησιάζοντας τῇ ἀνατολῇ καὶ τῇ δύσει Αἰθίοπας ὑπελάμβανον γίνεσθαι καταιθομένους ὑπὸ τοῦ ἡλίου.

Αὕτη δ' ἡ πρόληψις τῇ μὲν προκειμένῃ διατάξει ἀκόλουθός ἐστι, τῆς δὲ κατὰ φύσιν σφαιροποιίας ἀλλοτρία. ἡ γὰρ γῆ μέση κεῖται τοῦ σύμπαντος κόσμου σημείου

---

1. *Τὸν π. ἡ. θ. τρ. κ.* (Sch.) für *τὸν θ. τρ. τὸν π. ἡ. κ.* — **4.** *Ὅμηρον:* *α* 23 f. — **7.** *Παραδοξολογεῖν* Seltsames (*παράδοξος* v. *παρὰ δόξαν*, wie *παράνομος* v. *παρὰ νόμον*) reden (sich denken), Widersinniges sagen. — **8.** *Ἀρχαϊκῶς καὶ ἰδικῶς* nach altertümlicher und besonderer (eigenartiger) Vorstellung. — **8.** *Μετάγει* überträgt. — **12.** *Τὴν τάξιν ἐπέχειν* die Stelle einnehmen, die Rolle spielen. — **13.** *Γινομένας* Man. — **15.** *Καταίθεσθαι* verbrannt werden. Etymologie von *Αἰθίοπες* aus *αἴθειν* und *ὀπ* (cf. *ὄψις*, *ὄψομαι*, *oculus*). — **17.** *Τῇ προκειμένῃ διατάξει* der vorgestellten Ordnung (Gestaltung).

τάξιν ἐπέχουσα. αἱ δὲ ἀνατολαὶ τοῦ ἡλίου καὶ αἱ δύσεις γίνονται ἐκ τοῦ αἰθέρος καὶ εἰς τὸν αἰθέρα, διὰ παντὸς τοῦ ἡλίου ἴσον ἀπέχοντος τῆς γῆς. ὅθεν αἱ μὲν προειρημέναι Αἰθιοπίαι ἀδιανόητοί εἰσιν, αἱ δ' ὑπὸ τοὺς ἐν τῷ κόσμῳ τροπικοὺς κείμεναι, αἵτινες ὑπάρχουσι περὶ τὰ πέρατα τῶν διακεκαυμένων ζωνῶν, κατὰ φύσιν ἔχουσιν. οὐ μέντοι γε ὑποληπτέον ἀοίκητον εἶναι τὴν διακεκαυμένην ζώνην. ἤδη γὰρ ἐπὶ πολλοὺς τόπους τῆς διακεκαυμένης ζώνης ἐληλύθασί τινες, καὶ τὰ πλεῖστα οἰκήσιμα εὕρηται.

§ 59. Ὅθεν καὶ ζητεῖται παρὰ πολλοῖς, εἰ τὰ περὶ μέσην τὴν διακεκαυμένην ζώνην οἰκήσιμα μᾶλλόν ἐστι τῶν περὶ τὰ πέρατα τῆς διακεκαυμένης ζώνης ὑπαρχουσῶν οἰκήσεων. Πολύβιος οὖν ὁ ἱστοριογράφος πεπραγμάτευται βιβλίον, ὃ ἐπιγραφὴν ἔχει „περὶ τῆς ὑπὸ τὸν ἰσημερινὸν οἰκήσεως“. αὕτη δέ ἐστιν ἐν μέσῃ τῇ διακεκαυμένῃ ζώνῃ. καί φησιν οἰκεῖσθαι τοὺς τόπους καὶ εὐκρατοτέραν ἔχειν τὴν οἴκησιν τῶν περὶ τὰ πέρατα τῆς διακεκαυμένης ζώνης κατοικούντων. καὶ ἃ μὲν ἱστορίας φέρει τῶν κατωπτευκότων τὰς οἰκήσεις καὶ ἐπιμαρτυρούντων τοῖς φαινομένοις, ἃ δὲ ἐπιλογίζεται ἐπὶ τῆς φυσικῆς περὶ τὸν ἥλιον ὑπαρχούσης

---

3. *Ἴσον*. Von elliptischen Planetenbahnen weifs das Altertum nichts. — **4.** *Ἀδιανόητοι* undenkbar. — **9.** *Τινες*, z. B. Necho's Afrika umsegelnde Phönizier (um — 600). — **12.** *Ζώνην* (Sch.). *Οἰκήσιμα* (Sch.) für *οἰκησιμώτερα*. — **14.** *Πολύβιος*: § 11. — **19.** *Ἱστορίας* Zeugnisse, persönliche Anschauung: S. 117, 1. — **19.** *Κατοπτεύειν* beschauen, besichtigen. — **20.** *Ἐπιμαρτυρεῖν τινι* sich berufen auf. — **21.** *Ἐπιλογίσασθαι ἐπί τινι* Schlüsse ziehen aus. — **21.** *Ὑπάρχειν*

κινήσεως. ὁ γὰρ ἥλιος περὶ μὲν τοὺς τροπικοὺς κύκλους πολὺν ἐπιμένει χρόνον κατά τε τὴν πρόσοδον τὴν πρὸς αὐτοὺς καὶ τὴν ἀποχώρησιν, ὥςτε σχεδὸν ἐφ' ἡμέρας μ' μένει πρὸς αἴσθησιν ἐπὶ τῶν τροπικῶν κύκλων. δι' ἣν αἰτίαν καὶ τὰ μεγέθη τῶν ἡμερῶν σχεδὸν ἐφ' ἡμέρας μ' τὰ αὐτὰ διαμένει. ὅθεν ἐπιμονῆς γινομένης πρὸς τὰς οἰκήσεις τὰς κειμένας ὑπὸ τοὺς τροπικοὺς ἀνάγκη ἐκπυροῦσθαι τὴν οἴκησιν καὶ ἀοίκητον γίνεσθαι διὰ τὴν τοῦ καύματος ὑπερβολήν. ἀπὸ δὲ τοῦ ἰσημερινοῦ κύκλου ταχείας συμβαίνει τὰς ἀποχωρήσεις γίνεσθαι. ὅθεν καὶ τὰ μεγέθη τῶν ἡμερῶν περὶ τὰς ἰσημερίας μεγάλας λαμβάνει τὰς παραυξήσεις. εὔλογον οὖν καὶ τὰς ὑπὸ τὸν ἰσημερινὸν κειμένας οἰκήσεις εὐκρατοτέρας ὑπάρχειν, ἐπιμονῆς μὲν οὐ γινομένης ἐπὶ τοῦ κατὰ κορυφὴν σημείου, ταχέως δὲ ἀποχωροῦντος τοῦ ἡλίου. πάντες γὰρ οἱ μεταξὺ τῶν τροπικῶν κύκλων οἰκοῦντες παρὰ τὴν πάροδον ὁμοίως κεῖνται τοῦ ἡλίου· πλείονας δὲ χρόνους ἐπιμένει τοῖς περὶ τοὺς τροπικοὺς οἰκοῦσι. δι' ἣν αἰτίαν εὐκρατοτέρας εἶναι συμβέβηκε τὰς ὑπὸ τὸν ἰσημερινὸν οἰκήσεις, αἵτινες κεῖνται ἐν μέσῃ τῇ διακεκαυμένῃ ζώνῃ, τῶν περὶ τὰ πέρατα τῆς διακεκαυμένης οἰκήσεων, αἵτινες ὑπὸ τοὺς τροπικοὺς κύκλους κεῖνται.

περί τι mit (an) etwas vorgehen, statthaben. — **2.** *Πρόσοδος* ... *ἀποχώρησις* Annäherung . . . Entfernung. — **4.** *Τῶν* Man. — **6.** *'Επιμονή* (v. *ἐπιμένω*: Zeile 2) ein Verweilen (S. 128, 22). — **12.** *Μεγάλας* . . *παραυξήσεις* grofse (d. h. schnelle) Zunahme. — **14.** *Οὐ* Man.

VII. Die Sterne als Wetterpropheten.

§ 60. 28. Im allgemeinen.

Ὁ περὶ ἐπισημασιῶν λόγος παρὰ μὲν τοῖς ἰδιώταις ἀλλοίαν ἔχει διάληψιν, ὡς ἐπὶ ταῖς τῶν ἄστρων ἐπιτολαῖς καὶ δύσεσι τῶν περὶ τὸν ἀέρα μεταβολῶν γινομένων· ὁ δὲ μαθηματικὸς καὶ φυσικὸς ἑτέραν ἔχει δόξαν. καὶ πρῶτον μὲν προδιαληπτέον, ὅτι αἱ γινόμεναι ἐπισημασίαι ὄμβρων καὶ πνευμάτων περὶ τὴν γῆν γίνονται, εἰς δὲ πλεῖον ὕψος οὐ διατείνουσιν· ἀναθυμιάσεις γάρ εἰσιν ἐκ γῆς παντοδαπαὶ καὶ ἄτακτοι· ὥςτε μὴ οἷόν τε εἶναι μέχρι τῆς τῶν ἀπλανῶν ἀστέρων σφαίρας διατείνειν, ἀλλὰ μὴ δέκα στάδια τὸ ὕψος ἀνατείνειν τὰ νέφη. οἱ γοῦν ἐπὶ τὴν Κυλλήνην ἀναβαίνοντες, ὄρος τῶν ἐν τῇ Πελοποννήσῳ ὑψηλότατον, καὶ θύοντες τῷ καθωσιωμένῳ ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους Ἑρμῇ, ὅταν πάλιν δι' ἐνιαυτοῦ ἀναβαίνοντες τὰς θυσίας ἐπιτελῶσιν, εὑρίσκουσι καὶ τὰ μηρία καὶ τὴν τέφραν τὴν ἀπὸ τοῦ πυρὸς ἐν τῇ αὐτῇ τάξει μένουσαν, ἐν ᾗ καὶ κατέλιπον, καὶ μηθ' ὑπὸ πνευμάτων μηθ' ὑπὸ ὄμβρων ἠλλοιωμένα διὰ τὸ πάντα τὰ νέφη καὶ τὰς τῶν ἀνέμων συστάσεις ὑποκάτω τῆς τοῦ ὄρους κορυφῆς συνίστα-

---

3. Ἐπισημασία Anzeichen kommender Witterung (oder Krankheit), Wetterzeichen; λόγος Lehre, vgl. ἀστρολογία, ἐτυμολογία, u. dgl. — **3.** Ἰδιώτης Laie. — **4.** Διάληψις Auffassung, ἀλλοῖος andersgeartet, fremdartig, unsachlich. Ἐπὶ infolge. Ταῖς Man. — **5.** Περὶ τὸν ἀέρα atmosphärisch. — **7.** Προδιαληπτέον, Hdschr. (auch T.) meist διαληπτέον. — **12.** Μὴ δέκα στάδια Man. für μηδ' ἕκαστα. — **13.** Ὄρος. Dahinter τῶν für δὲ (Sch.). — **14.** Καθωσιωμένῳ vgl. Horaz O. I 31, 1: *dedicatum Apollinem.* Wir: verehrt. — **17.** Τέφρα Asche. — **20.** Σύστασις Bildung.

σθαι. πολλάκις δὲ καὶ οἱ εἰς τὸ Σαταβύριον ἀναβαίνοντες δια τῶν νεφῶν ποιοῦνται τὴν ἀνάβασιν καὶ ὑποκάτω τῆς τοῦ ὄρους κορυφῆς θεωροῦσι τὴν τῶν νεφῶν σύστασιν. καὶ ἔστι μὲν τῆς Κυλλήνης τὸ ὕψος ἔλασσον σταδίων ιε′, ὡς Δικαίαρχος ἀναμεμετρηκὼς ἀποφαίνεται. τοῦ δὲ Σαταβυρίου ἐλάσσων ἐστὶν ἡ κάθετος σταδίων δέκα. πάντα γὰρ τὰ νέφη, καθάπερ εἴπομεν, ἐκ γῆς ἔχοντα τὴν ἀναθυμίασιν περὶ τὴν γῆν γίνεται.

§ 61.

Αἱ δὲ γινόμεναι προρρήσεις τῶν ἐπισημασιῶν ἐν τοῖς παραπήγμασιν οὐκ ἀπό τινων παραγγελμάτων ὡρισμένων γίνονται, οὐδὲ τέχνῃ τινὶ μεθοδεύονται κατηναγκασμένον ἔχουσαι τὸ ἀποτέλεσμα, ἀλλ' ἐκ τοῦ ὡς ἐπίπαν γινομένου διὰ τῆς καθ' ἡμέραν παρατηρήσεως τὸ σύμφωνον λαμβάνοντες εἰς τὰ παραπήγματα κατεχώρισαν. ἐγένετο γὰρ ἡ σύστασις καὶ ἡ παρατήρησις τὸν τρόπον τοῦτον. λαμβάνοντες γὰρ ἀρχὴν ἐνιαυτοῦ καὶ παρατηρήσαντες, ἐν

1. *Σαταβύριον* Berg auf Rhodos. Man hält die beiden Mittelsilben für das semitische ‚Tabor'. — **5.** *Δικαίαρχος* v. Messene in Sicilien, Schüler des Aristoteles; schrieb: 1. *Καταμετρήσεις τῶν ἐν Πελοποννήσῳ ὀρῶν*, 2. *Βίος Ἑλλάδος* in drei Büchern, den ersten Versuch einer Kulturgeschichte, 3. philosophische Dialoge, z. B. *Κορινθιακός* (drei Bücher), *Λεσβιακός*, etc. Vgl. Cic. Tusc. I 21.76. — **7.** *Δέκα.* Etliche Hdsch. *δ′* oder *ιδ′*. — **9.** *Γινόμεναι* gewöhnlich, üblich. — **10.** *Παράπηγμα* Kalender (cf. *aes figere*), eine ausgehängte Tafel mit Jahreseinteilung und Wetterverkündigung. — **10.** *Παράγγελμα* hier: überlieferte Lehre. Vgl. Xen. Cyneg. III 13, 9: *τὰ τῶν σοφιστῶν παραγγέλματα*. — **11.** *Τέχνη* Wissenschaft. — **11.** *Μεθοδεύειν* methodisch behandeln, gestalten. — **12.** *Κατηναγκασμένον ἔχουσαι τὸ ἀποτέλεσμα*, so daſs ihre Verwirklichung (ihr Eintritt) zwingend sei. — **12.** *Ὡς ἐπίπαν* im allgemeinen, gewöhnlich. — **13.** *Τὸ σύμφωνον* das Übereinstimmende, immer Wiederkehrende.

τίνι ζῳδίῳ ὁ ἥλιος ὑπῆρχε κατὰ τὴν ἀρχὴν τοῦ ἐνιαυτοῦ, καὶ πρὸς τὴν μοῖραν ἀναγράφοντες καθ' ἑκάστην ἡμέραν καὶ μῆνα τὰς γενομένας ὁλοσχερεῖς μεταβολὰς τοῦ ἀέρος, πνευμάτων, ὄμβρων, χαλάζης, παρετίθεσαν ταῖς τοῦ ἡλίου ἐποχαῖς κατὰ ζῴδιον καὶ κατὰ μοῖραν. τοῦτο ἐπὶ πλείονα ἔτη παρατηρήσαντες τὰς μάλιστα περὶ τοὺς αὐτοὺς τόπους τοῦ ζῳδιακοῦ γινομένας μεταβολὰς ἐν τοῖς παραπήγμασιν ἀνεγράψαντο, οὐκ ἀπό τινος τέχνης οὐδὲ μεθόδου ὡρισμένης λαβόντες τὴν ἀναγραφήν, ἀλλ' ἐκ τῆς πείρας τὸ σύμφωνον ὡς ἔγγιστα λαβόντες. ἐπεὶ δὲ οὐκ ἐδύναντο οὐθ' ἡμέραν οὔτε μῆνα οὔτε ἐνιαυτὸν ὡρισμένον ἀναγράψαι, ἐν ᾧ τι τούτων ἐπιτελεῖται, διὰ τὸ καὶ τὰς ἀρχὰς τῶν ἐνιαυτῶν μὴ παρὰ πᾶσιν εἶναι τὰς αὐτάς μηδὲ τοὺς μῆνας τοὺς αὐτοὺς εἶναι παρὰ πᾶσι ταῖς ὀνομασίαις μηδὲ τὰς ἡμέρας ὁμοίως ἄγεσθαι, ἱσταμένοις τισὶ σημείοις ἠθέλησαν ἀφορίσαι τὰς μεταβολὰς τοῦ ἀέρος. ὅθεν ἐπὶ ταῖς τῶν ἄστρων ἐπιτολαῖς κατὰ τοὺς καιροὺς ἀφωρισμέναις αἱ μεταβολαὶ τοῦ ἀέρος γίνονται, οὐχ ὡς τῶν ἄστρων δύναμιν ἐχόντων πρὸς τὴν μεταβολὴν τῶν πνευμάτων καὶ τῶν ὄμβρων, ἀλλ' ὡς σημείου χάριν παρειλημμένων πρὸς τὸ προγινώσκειν ἡμᾶς τὰς περὶ τὸν ἀέρα περιστάσεις. καὶ ὥσπερ ὁ πυρσὸς οὐκ αὐτός ἐστι παραίτιος τῆς πολεμικῆς περιστάσεως, ἀλλὰ σημεῖόν ἐστι

2. *Πρὸς τὴν μοῖραν* zu dem (betreffenden) Grade. — **9.** *Πεῖρα* (persönliche) Erfahrung. — **14.** *Ταῖς ὀνομασίαις* nach ihren Benennungen. — **15.** *Ἱστάμενος* ständig. — **16.** *Ἐπὶ* Man. — **17.** *Κατὰ* Man. — **20.** *Σημείου χάριν* als (bloſses) Zeichen. — **22.** *Περιστάσεις* Umstände, Verhältnisse, Vorgänge. — **22.** *Πυρσός* Feuersignal.

πολεμικοῦ καιροῦ, τὸν αὐτὸν τρόπον καὶ αἱ τῶν ἄστρων ἐπιτολαὶ οὐκ αὐταὶ παραίτιοί εἰσι τῶν περὶ τὸν ἀέρα μεταβολῶν, ἀλλὰ σημεῖα ἔκκεινται τῶν τοιούτων περιστάσεων. οἱ γὰρ ἀπ' ἀρχῆς παρατηρήσαντες καὶ συνταξάμενοι τὰ παραπήγματα ἐξετάσαντες τοὺς τόπους τοῦ ζῳδιακοῦ κύκλου, ἐν οἷς ὡς ἐπίπαν αἱ μεταβολαὶ τοῦ ἀέρος γίνονται, ἐπεσκέψαντο κατὰ τοὺς χρόνους τούτους, τίνα τῶν ἄστρων συνανατέλλει ἢ συγκαταδύνει, καὶ ταῖς τούτων ἐπιτολαῖς καὶ δύσεσι σημείοις ἐχρήσαντο πρὸς τὸ προγινώσκειν τὰς μεταβολὰς τοῦ ἀέρος. ὅθεν καὶ ταῖς φαινομέναις ἐπιτολαῖς καὶ δύσεσι μᾶλλον ἐχρήσαντο εἰς τὴν πρόγνωσιν τῶν προειρημένων. τὰς μὲν γὰρ ἀληθινὰς ἐπιτολὰς καὶ δύσεις ἀθεωρήτους εἶναι συμβέβηκε, τὰς δὲ φαινομένας ἠδύναντο ὁρᾶν περὶ τοὺς ῥηθέντας καιρούς. διέλαβον οὖν, ὅτι αἱ Πλειάδες δύνουσαι ἔχουσι τοιαύτην τινὰ δύναμιν, ὥςτε ὑγρασίαν τινὰ περὶ ἀέρα ἀπογεννᾶν, ἢ πάλιν ἐπιτέλλουσαι θέρους ἀρχὴν διασημαίνουσιν. ὅθεν καὶ ὁ Ἡσίοδός φησι·

Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων
ἄρχεσθ' ἀμήτου, ἀροτοῖο δὲ δυσομενάων,

---

8. *Συνανατέλλει* (Sch.) für *ἀνατέλλει.* — **9.** *Πρὸς τὸ .... ἐχρήσαντο* von Man. aus den Handschriften ergänzt. — **11.** *Φαινομέναις* scheinbaren, sichtbaren. — **14.** Hinter *ὁρᾶν* lesen (wider die Hdschr., auch T.) die Ausgaben *καί,* das Man. tilgte. — **14.** *Καιρούς. διέλαβον οὖν* Man. für *καιροὺς διαλαμβάνειν* nach der alten lat. Übersetzung. — **16.** *Ὑγρασία* Feuchtigkeit; v. *ὑγραίνω,* wie *θερμασία* v. *θερμαίνω.* — **18.** *Ἡσίοδος* Opp. 383 f. — **19.** *Ἀτλαγενέων* S. 70, 1. — **20.** *Ἄμητος* Ernte. *Ἀροτός* Pflügen.

οὐ διὰ τὴν τοῦ ἄστρου δύναμιν· παντελῶς γάρ ἐστιν ἀπόπληκτον. εἴτε γὰρ πύρινά ἐστι τὰ ἄστρα, εἴτε αἰθέρια, ὡς ἀρέσκει τισί, πάντα τῆς αὐτῆς οὐσίας καὶ δυνάμεως κεκοινώνηκε καὶ οὐδεμίαν συμπάθειαν ἔχει πρὸς τὰ ἐπὶ τῆς γῆς γινόμενα. ἡ γὰρ σύμπασα γῆ κέντρου λόγον ἔχει πρὸς τὴν τῶν ἀπλανῶν ἀστέρων σφαῖραν, καὶ οὐδεμία ἀποφορὰ οὐδὲ ἀπόρροια διικνεῖται ἀπὸ τῶν ἀπλανῶν ἀστέρων ἐπὶ τὴν γῆν. πῶς οὖν ὑποληπτέον τούτους ὄμβρων καὶ πνευμάτων καὶ χαλάζης παραιτίους γίνεσθαι, ἀφ' ὧν οὐδεμία δύναμις πίπτει πρὸς ἡμᾶς; ἀπὸ μὲν γὰρ ἡλίου καὶ σελήνης διικνεῖται ἡ δύναμις ἐπὶ τὴν γῆν κατὰ τὰς μεταβάσεις αὐτῶν καὶ μειζόνων ὄντων καὶ ἔλασσον ἀπεχόντων· ὅθεν εὔλογον πρὸς τούτους συμπάθειαν εἶναι κατὰ τὴν ἑκάστου δύναμιν αὐτῶν. αἱ δὲ τῶν ἀπλανῶν ἀστέρων ἐπιτολαὶ καὶ δύσεις σημείου τάξιν ἐπέχουσι, καθάπερ προείπομεν.

§ 62. Ὅθεν οὐδὲ ὑποληπτέον τὰς αὐτὰς ἐπισημασίας ἐπιτελεῖσθαι ἐκ τῶν αὐτῶν ἄστρων, ἀλλὰ κατὰ τὰς τῶν κλιμάτων παραλλαγὰς διαφόρους καὶ τὰς ἐπιτολὰς καὶ τὰς δύσεις τῶν ἄστρων γίνεσθαι. καὶ δεῖ καθ' ἕκαστον ὁρίζοντα ἴδια σημεῖα ἔχειν τὰς περὶ τὸν ἀέρα μεταβολάς· τὸ γὰρ αὐτὸ παράπηγμα οὐ δύναται συμφωνεῖν ἐν τῇ Ῥώμῃ καὶ ἐν τῷ Πόντῳ καὶ ἐν Ῥόδῳ καὶ ἐν Ἀλεξανδρείᾳ,

---

2. *Ἀπόπληκτος* (eig. geschlagen, betäubt) blödsinnig. Schon Herod. II 173: *ἢ μανεὶς ἢ ἀπόπληκτος.* — **4.** *Συμπάθεια* gegenseitiges Einwirken, Beziehung. — **6.** *Ἀστέρων* Man. — **6.** *Ἀπόρροια* Ausströmung, Beeinflussung. — **8.** *Οὖν* Man. — **11.** *Μετάβασις* Ortswechsel. — **12.** *Ὄντων* eingeschoben. *Ἔλασσον ἀπεχόντων* für *ἐλαττόνων* (Sch.). — **17.** *Τῶν κλιμάτων.* Dazwischen tilgte Man. *αὐτῶν.* — **18.** *Παραλλαγή* (seitliche) Verschiebung.

ἀλλ' ἀνάγκη διαφόρους τὰς παρατηρήσεις εἶναι ἐν διαφόροις ὁρίζουσι καὶ καθ' ἑκάστην πόλιν ἕτερα λαμβάνεσθαι ἄστρα ἐπισημασίας ἐπιτελοῦντα.

Ἐξ οὗ φανερὸν ὅτι οὐ φυσικῶς αἱ τῶν ἄστρων ἐπιτολαὶ καὶ δύσεις τὰ περὶ τὸν ἀέρα πάθη ἀπογεννῶσιν, ἀλλὰ καθ' ἕκαστον ὁρίζοντα διάφοροι παρατηρήσεις γεγόνασι καὶ τῶν ἀέρων μεταβολαί. διόπερ οὐδὲ πᾶσαι ἐπισημασίαι ἐν τοῖς παραπήγμασιν ἀγόμεναι ἀεὶ συμφωνοῦσιν· ἀλλ' ἔστι μὲν ὅτε καθόλου οὐ γίνονται, ἀλλὰ τοὺς μεγίστους περιέχουσι χειμῶνας ἐπιτολαὶ καὶ δύσεις εὐδίας σημείωσιν ἔχουσαι, ἔστι δ' ὅτε κατὰ μὲν τὴν πόλιν εὐδία ἐγένετο, ἐπὶ χώρας δὲ ὄμβρος. πολλάκις δέ τις μεθ' ἡμέρας τρεῖς ἢ τέσσαρας ἐπεσήμηνε τῇ ἐπιτολῇ ἢ τῇ δύσει τοῦ ἄστρου, ἔστι δ' ὅτε προέλαβε τὴν ἐπισημασίαν πρὸ ἡμερῶν τεσσάρων. ὅθεν καὶ ἀποτυγχάνουσιν ἐν ταῖς προρρήσεσι τῶν ἐπισημασιῶν ἔχοντες ἀπολογίαν, ὅτι προέλαβον τὴν ἐπισημασίαν ἢ ὅτι ὑστέρα ἐγένετο.

Ἐξ ὧν πάντων φανερὸν ὅτι τὰ κατὰ τὰς ἐπισημασίας ἐν τοῖς παραπήγμασιν ὁλοσχερέστερον ἀναγέγραπται, οὐ τέχνῃ τινὶ οὐδὲ ἀνάγκῃ μεθωδευμένα, ἀλλ' ἐκ τῆς συνεχοῦς παρατηρήσεως ἀναγεγραμμένα. διὸ πολλάκις διαψεύδεται.

---

4. *Φυσικῶς* nach natürlichen Gesetzen. — **10.** *Περιέχειν* um sich haben, mit sich bringen. — **11.** *Εὐδία* heiteres Wetter. — **12.** *Τις* (Man.) fehlt in den Hdschr., auch in T. — **13.** *Μετὰ*, wir: zu spät. — **13.** *Ἐπεσήμηνε* intr. eine Wetterprognose stellen. — **15.** *Πρὸ*, wir: zu früh. — **15.** *Ἀποτυγχάνουσιν .... ἔχοντες ἀπολογίαν* sie verfehlen das Richtige (treffen nicht den Nagel auf den Kopf) mit der Ausrede. — **18.** *Τὰ* (Man.) fehlt in den Hdschr., auch in T.

ὅθεν οὐδὲ κατηγορητέον ἐστὶ τῶν ἀστρολόγων, ἐὰν ἀποτυγχάνωσιν ἐν ταῖς ἐπισημασίαις. ἐὰν δὲ ἔκλειψιν προειπών τις ἢ ἐπιτολὴν ἄστρου διαμάρτῃ, εὐλόγως καὶ τὸ ἐπιτήδευμα καὶ ὁ μεταχειριζόμενος κατηγορίας ἀξιωθήσεται. πάντα γὰρ τὰ τέχνῃ μεθωδευμένα ἀδιαμάρτητον ἔχειν ὀφείλει τὴν ἀπόφασιν. τὰ δὲ περὶ τὰς ἐπισημασίας οὔτε ἐπιτυγχανόμενα ὁλοσχερῆ τὸν ἔπαινον ἔχει, οὔτε ἀποτυγχανόμενα κατηγορίαν. ἄτεχνον γάρ τι μέρος ἐστὶ τοῦτο τῆς ἀστρολογίας καὶ οὐκ ἄξιον προφορᾶς.

29. Im besonderen der Hundsstern.

§ 63. *Τὸ δ' αὐτὸ ὑποληπτέον καὶ περὶ τὴν Κυνὸς ἐπιτολὴν γίνεσθαι. πάντες μὲν γὰρ ὑπολαμβάνουσιν ἰδίαν δύναμιν ἔχειν τὸν ἀστέρα καὶ παραίτιον γίνεσθαι τῆς τῶν καυμάτων ἐπιτάσεως ἅμα συνεπιτέλλοντα τῷ ἡλίῳ. τοῦτο δ' οὐκ ἔστιν οὕτως ἔχον. ἀλλ' ἐπεὶ κατὰ τὸν πυρωδέστατον καιρὸν τοῦ ἐνιαυτοῦ οὗτος ὁ ἀστὴρ ἐπέτελλε, τῇ τούτου φάσει ἐσημειώσαντο τὴν πρὸς τὸ καῦμα μεταβολὴν τοῦ ἀέρος. ἔστι δὲ ὁ ἥλιος παραίτιος τῆς ἐπιτάσεως τῶν καυμάτων. πρῶτον μὲν γὰρ ἐκ τοῦ χειμῶνος κατεψυγμένων ἡμῶν, κατὰ τὸν συνεγγισμὸν τὸν πρὸς ἡμᾶς ἄρχεται ἡμᾶς θερμαίνειν· οὔπω δ' ἔκδηλον ποιεῖ τὴν θερμασίαν, ἔτι τῆς καταψύξεως ἀπὸ τοῦ χειμῶνος διαμενούσης. ἐπιμονῆς δὲ γινομένης καὶ μᾶλλον ἀεὶ καὶ μᾶλλον συνεγγίζοντος τοῦ*

---

4. *Ἐπιτήδευμα* Studium; Man. ‚Verfahren'. — **9.** *Προφορά* Vortrag. — **11.** *Τό δ' αὐτὸ* auch T. — **15.** *Πυρωδέστατος* heifsester (T. *πυροδέστατος*). — **17.** *Φάσις* Erscheinung. — **22.** *Ἐπιμονή* längeres Bleiben, Verharren (S. 121, 6).

ἡλίου, ἐπαίσθησιν συμβαίνει τῆς θερμασίας γίνεσθαι. ἔπειτα συμβαίνει δὶς ἐπὶ τὴν αὐτὴν οἴκησιν κατὰ τὸ συνεχὲς ἐπιβάλλειν τὸν ἥλιον. καὶ γὰρ ἐν τῇ προσόδῳ τῇ πρὸς τὸν θερινὸν τροπικὸν κύκλον καὶ ἐν τῇ ἀποχωρήσει τὰς αὐτὰς οἰκήσεις παροδεύει ὁ ἥλιος. ὅθεν συμβαίνει διὰ τὴν αἰτίαν ταύτην τὰς ἐπιτάσεις τῶν καυμάτων γίνεσθαι. ἔτι δὲ καὶ τὰς προσόδους τὰς πρὸς τὸν θερινὸν τροπικὸν καὶ τὰς ἀποχωρήσεις μικράς τε παντελῶς καὶ ἀνεπαισθήτους εἶναι συμβέβηκε. σχεδὸν γὰρ ἐφ' ἡμέρας μ' ἐπὶ τοῦ θερινοῦ τροπικοῦ κύκλου τὴν ἐπιμονὴν ποιεῖται ὁ ἥλιος. ὅθεν καὶ τὰ μεγέθη τῶν ἡμερῶν περὶ τὰς τροπὰς ἀνεπαίσθητον ἔχει τὴν παραύξησιν. ἐπεὶ δὲ περὶ τοῦτον τὸν καιρὸν ἐπέτελλεν ὁ Κύων, τῇ τούτου φάσει τὸν καιρὸν ἐσημειώσαντο τῆς τῶν καυμάτων ἐπιτάσεως, οὐχ ὡς αὐτοῦ τοῦ ἄστρου παραιτίου γινομένου, ἀλλ' ὡς τοῦ ἡλίου τὴν αἰτίαν ἔχοντος.

Εἰ μὲν οὖν ὡς σημεῖόν τις λαμβάνει τοῦ καιροῦ τὴν § 64.
τοῦ Κυνὸς ἐπιτολήν, ὀρθῶς λαμβάνει· καθάπερ Ὅμηρός φησιν ἐπὶ τοῦ Κυνὸς οὕτως·

κακὸν δέ τε σῆμα τέτυκται·

οὐ γὰρ ὡς ἰδίαν δύναμιν ἔχοντος αὐτοῦ πρὸς τὴν ἐπίτασιν τῶν καυμάτων, ἀλλ' ὡς σημείου χάριν παρειλημμένου. ὅσοι μέντοι γε τῶν ποιητῶν καὶ φιλοσόφων τὴν δύναμιν τῆς ἐπιτάσεως τῶν καυμάτων τῷ Κυνὶ προσάπτουσι, πολὺ τῆς ἀληθείας καὶ τοῦ φυσικοῦ λόγου πεπλα-

---

11. Ὁ ἥλιος Man. — **18.** Ὅμηρος X 30. — **25.** λόγου: S. 118, 2.

νημένοι εἰσίν. ὁ γὰρ ἀστὴρ οὗτος τῆς αὐτῆς οὐσίας κεκοινώνηκε πᾶσι τοῖς ἄστροις. εἴτε γὰρ πύρινά ἐστιν, εἴτε αἰθέρια τὰ ἄστρα, τὴν αὐτὴν δύναμιν ἔχει πάντα. καὶ ὀφείλει κατακρατεῖσθαι ὑπὸ τοῦ πλήθους τῶν ἄστρων ἡ ἀπὸ τοῦ Κυνὸς ἀποφορά. καὶ γὰρ τῷ μεγέθει μείζονες αὐτοῦ εἰσιν ἕτεροι, καὶ τῷ πλήθει ἄπειροι. εἰ οὖν ἐξ ἁπάντων αὐτῶν ἡ δύναμις οὐ διικνεῖται μέχρι τῆς γῆς, οὐδ' εἰς τὴν τοῦ ἡλίου δύναμιν οὐδὲν συμβάλλεται, πῶς πιθανὸν τὴν ἀπὸ τοῦ ἑνὸς ἄστρου ἀποφορὰν τηλικαύτην ἐπίτασιν τῶν καυμάτων ποιεῖν; εἰ δὲ μὴ συνεργοῦσί τι πάντες οἱ ἀπλανεῖς ἀστέρες τῆς αὐτῆς δυνάμεως κεκοινωνηκότες, οὐκ ἐνδέχεται τὴν ἀπὸ τοῦ ἑνὸς ἄστρου θερμασίαν αἰσθητὴν διαφορὰν ἐπιφαίνειν ἐν ταῖς συνανατολαῖς τοῦ ἡλίου. ἔστι δ' αὐτὸς ὁ ἥλιος παραίτιος τῶν καυμάτων δὶς κατὰ τὸ συνεχὲς τὸν αὐτὸν τόπον τῆς οἰκήσεως ἐπιπορευόμενος. οὐ δυνάμενοι δὲ κοινὴν ἡμέραν ἅπασιν ἀφορίσαι, ἐν ᾗ γίνονται αἱ ἐπιτάσεις τῶν καυμάτων, ἐπεὶ κατὰ τοῦτον τὸν καιρὸν ἐπέτελλεν οὗτος ὁ ἀστήρ, τῇ τούτου φάσει τὸν καιρὸν ἐσημειώσαντο.

§ 65. Ὅτι δὲ οὐκ ἔστιν ὁ ἀστὴρ παραίτιος τῆς ἐπιτάσεως τῶν καυμάτων, ἐκ τῶν λέγεσθαι μελλόντων φανερόν.

---

1. *Οὐσία* Stoff. — 4. *Κατακρατεῖν* überwinden, neutralisieren. — 5. *Ἀποφορά* Einwirkung, Ausströmung, Einfluſs. — 7. *Οὐ διικνεῖται* nach *εἰ* wie ein Begriff gedacht: sich verliert, schwindet, versagt. — 9. *Συμβάλλεσθαι* beitragen, einen Zuschuſs liefern. — 15. *Δίς* Man. — 18. *Ἐπεὶ* bringt den Grund zum folgenden. — 22. *Ἐκ τῶν λέγεσθαι μελλόντων* aus dem Folgenden.

πρῶτον μὲν γὰρ πολλάκις συνανατέλλουσι τῷ ἡλίῳ καὶ πλείονες καὶ μείζονες ἀστέρες καὶ οὐδεμίαν αἰσθητὴν ποιοῦσι παραλλαγήν, ἀλλ' ἔστιν ὅτε ἐκ τῶν ἐναντίων ἐν ταῖς ἐπιτολαῖς αὐτῶν καὶ δύσεσι χειμῶνες γίνονται καὶ ἄνεμοι ψυχροὶ πνέουσιν, ὡς μηδὲν αὐτῶν συμβαλλομένων πρὸς τὴν ἐπίτασιν τῶν καυμάτων. πολλάκις δὲ καὶ ἐν τῷ αὐτῷ ζῳδίῳ τῷ ἡλίῳ γίνονται ἀστέρες τῶν πέντε πλανητῶν οἱ μέγιστοι, Φαέθων, Φωσφόρος, Πυρόεις, ἀφ' ὧν καὶ δυνάμεις ἐπὶ τὴν γῆν πίπτουσι, καὶ οὐδὲν παρὰ τὴν αὐτῶν αἰτίαν διαφορώτερον περὶ τὸν ἀέρα γίνεται. ἐξ οὗ φανερὸν ὅτι οὐδὲν συμβάλλονται πρὸς τὴν ἐπίτασιν τῶν καυμάτων οὔθ' οἱ ἀπλανεῖς οὔτε οἱ πλανῆται ἀστέρες.

Εἰ γὰρ δύναμίν τινα προσεφέρετο ὁ Κύων, ἔδει κατὰ τὴν ἀληθινὴν ἐπιτολὴν τὴν τῶν καυμάτων γίνεσθαι ἐπίτασιν· τότε γὰρ ἅμα συνανατέλλει τῷ ἡλίῳ. οὐ γίνεται δὲ τοῦτο, ἀλλὰ κατὰ τὴν φαινομένην ἐπιτολὴν τὰ μέγιστα καύματα γίνεται. περὶ γὰρ τὸν καιρὸν τοῦτον ὁ ἥλιος διὰ τὰς προειρημένας αἰτίας παραίτιός ἐστι τῆς ἐπιτάσεως τῶν καυμάτων. ἐν Ῥόδῳ μὲν γὰρ μετὰ λ' ἡμέρας τῆς θερινῆς τροπῆς ἐπιτέλλει ὁ ἀστήρ, ἐν ἄλλοις δὲ τόποις μετὰ μ' ἡμέρας τῆς θερινῆς τροπῆς, οἷς δὲ μετὰ ν', ὥςτε μηκέτι κατὰ τὴν ἐπίτασιν τῶν καυμάτων τὴν ἐπιτολὴν αὐτὸν ποιεῖσθαι. ἐκ δὲ τούτων φανερὸν ὅτι ὁ μὲν τὴν

7. *Τῷ ἡλίῳ* wie die (mit der) Sonne; abhängig von *τῷ αὐτῷ*. — **8.** *Φαέθων* Jupiter, *Φωσφόρος* Venus, *Πυρόεις* Mars; vgl. § 27. — **9.** *Παρὰ* entsprechend. — **10.** *Διαφορώτερον* gröfsere Verschiedenheit. — **14.** *Ἀληθινὴν ἐπιτολὴν τὴν* Man., blofs *ἐπιτολὴν* T. — **20.** *Θερινῆς* Man. — **22.** *Κατὰ* auch T. — **23.** *Ἐκ δὲ τούτων* Man.

ἐπίτασιν τῶν καυμάτων περιέχων καιρὸς εἷς ἐστιν ὁ μετὰ τὰς θερινὰς τροπὰς ἡμέρας λ', ἐν δὲ τῷ χρόνῳ τούτῳ παρ' οἷς μὲν ὁ Κύων ἐπιτέλλων τὸν καιρὸν μηνύει, παρ' οἷς δὲ ἄλλο τι τῶν κατηστερισμένων ἄστρων. οὐ γὰρ ἅμα πᾶσι τῶν ἄστρων τὰς ἐπιτολὰς καὶ τὰς δύσεις συμβαίνει γίνεσθαι.

Τὸ δὲ λεγόμενον ὑπὸ τῶν πλείστων, ὅτι περὶ τὸν καιρὸν τοῦτον ἀνατέλλει σὺν τῷ ἡλίῳ, παντελῶς ἐστιν ἰδιωτικόν. ἐν γὰρ τούτῳ χρόνῳ πλεῖστον ἀπὸ τοῦ ἡλίου διέστηκεν ὁ ἀστήρ. ὁ μὲν γὰρ ἥλιος πάντως ἐπὶ τοῦ θερινοῦ τροπικοῦ κύκλου τὴν πάροδον ποιεῖται, ὁ δὲ ἐπὶ τοῦ χειμερινοῦ τροπικοῦ κύκλου κεῖται, ὥςτε πλεῖστον ἀπ' ἀλλήλων διάστημα ἀπέχειν αὐτούς. πῶς ἂν οὖν δύναιτο παραίτιος γίνεσθαι τῆς ἐπιτάσεως τῶν καυμάτων; ἐπίτασιν δὲ ἐποίει ἄν, εἴ τινα δύναμιν εἶχεν ὁ ἀστήρ, ἅμα γινόμενος τῷ ἡλίῳ κατὰ χειμερινὰς τροπάς, ὅταν ἐπὶ τοῦ αὐτοῦ κύκλου φέρηται ὁ ἀστὴρ τῷ ἡλίῳ· τότε γὰρ ἔδει γενέσθαι τινὰ πρὸς τὸ φαινόμενον αἰσθητὴν περὶ τὸν ἀέρα παραλλαγήν, οὐ γίνεται δὲ τοῦτο, ἀλλ' ἐκ τῶν ἐναντίων χειμών. ὅθεν τοῖς παραπήγμασι παράκειται σημεῖον.

§ 66. Ὥςτε εἶναι φανερὸν ἐκ πάντων ὅτι οὔτε οὗτος ὁ ἀστὴρ οὔτε ἄλλος οὐδεὶς τηλικαύτην τινὰ δύναμιν ἔχει,

---

4. *Καταστερίζειν*: S. 59, 3. — **9.** *Ἰδιωτικόν* laienhaft, unwissenschaftlich. — **11.** *Πάροδος*: S. 78, 12. — **18.** *Πρὸς τὸ φαινόμενον* angesichts, entsprechend der Erscheinung. — **19.** *Ἐκ τῶν ἐναντίων* infolge der entgegengesetzten Erscheinungen, ganz im Gegenteil. — **20.** *Παράκειται* ist beigesetzt, figuriert als (blofses) Zeichen.

ὥςτε μεταβολὰς περὶ τὸν ἀέρα κατασκευάζειν. ἀλλ' ἔστι τὸ ἡγεμονικὸν αἴτιον περὶ τὸν ἥλιον· αἱ δὲ τούτων ἐπιτολαὶ καὶ δύσεις ἐπὶ τὴν πρόγνωσιν τῶν περὶ τὸν ἀέρα μεταβολῶν παράκεινται. δι' ἣν αἰτίαν οὐδὲ διὰ παντὸς συμφωνοῦσιν. ὅθεν βελτίοσιν ἄν τις σημείοις χρήσαιτο τοῖς ὑπὸ τῆς φύσεως ἡμῖν διδομένοις, οἷς καὶ Ἄρατος κέχρηται. τὰς μὲν γὰρ ἐκ τῶν ἐπιτολῶν καὶ δύσεων τῶν ἄστρων γινομένας μεταβολὰς τοῦ ἀέρος ᾠήθη εἶναι διεψευσμένας, τὰς δὲ φυσικῶς γινομένας καὶ μετά τινος αἰτίας κατεχώρισεν ἐν τῇ τῶν Φαινομένων πραγματείᾳ ἐπὶ πᾶσι τῆς ὅλης συντάξεως. λαμβάνει γὰρ τὰς προγνώσεις ἀπὸ τῆς τοῦ ἡλίου ἀνατολῆς καὶ δύσεως, καὶ ἀπὸ τῶν τῆς σελήνης ἀνατολῶν καὶ δύσεων, καὶ ἀπὸ τῆς ἅλω τῆς γινομένης περὶ τὴν σελήνην, καὶ ἀπὸ τῶν διαϊσσόντων ἀστέρων, καὶ ἀπὸ τῶν ἀλόγων ζῴων. αἱ γὰρ ἀπὸ τούτων προγνώσεις μετά τινος φυσικῆς αἰτίας γινόμεναι κατηναγκασμένα ἔχουσι τὰ ἀποτελέσματα. ὅθεν καὶ Βόηθος ὁ φιλόσοφος ἐν τῷ τετάρτῳ βιβλίῳ τῆς Ἀράτου ἐξηγήσεως φυσικάς τινας αἰτίας ἀποδέδωκε τῶν τε πνευμάτων καὶ ὄμβρων, ἐκ τῶν προειρημένων εἰδῶν τὰς προγνώσεις ἀποφαινόμενος. τούτοις δὲ τοῖς σημείοις καὶ Ἀριστοτέ-

---

2. *Τὸ ἡγεμονικὸν αἴτιον* die Haupt- (eigentliche) Ursache. — **2.** *Ἔστι περὶ τὸν ἥλιον* liegt im Gebiete (an) der Sonne. — **6.** *Ἄρατος*: § 7. — **8.** *Ὠιήθη εἶναι* in den alten Ausgaben zugefügt. — **11.** *Ἐπὶ πᾶσι* hinter allen Teilen = am Schlusse. — **13.** *Ἅλως* Tenne; wir: Hof. — **14.** *Διαϊσσόντων ἀστέρων* hinüberspringende Sterne, Sternschnuppen. — **17.** *Βόηθος* Stoiker: § 1. — **20.** *Εἰδῶν* Gebieten.

λης ὁ φιλόσοφος κέχρηται καὶ Εὔδοξος καὶ ἕτεροι πλείονες τῶν ἀστρολόγων.

VIII. Byzanz und der Bosporus.

§ 67. 30. Günstige Lage von Byzanz im allgemeinen.

Βυζάντιοι κατὰ μὲν θάλατταν εὐκαιρότατον οἰκοῦσι τόπον καὶ πρὸς ἀσφάλειαν καὶ πρὸς εὐδαιμονίαν πάντων τῶν ἐν τῇ καθ' ἡμᾶς οἰκουμένῃ, κατὰ δὲ γῆν πρὸς ἀμφότερα πάντων ἀφυέστατον. κατὰ μὲν γὰρ θάλατταν οὕτως ἐπίκεινται τῷ στόματι τοῦ Πόντου κυρίως, ὥστε μήτ' εἰσπλεῦσαι μήτ' ἐκπλεῦσαι δυνατὸν εἶναι τῶν ἐμπόρων τινὰ χωρὶς τῆς ἐκείνων βουλήσεως. ἔχοντος δὲ τοῦ

---

1. *Εὔδοξος* Platoniker: B. 1, S. 7, 14. — **2.** *Ἀστρολόγοι* Astronomen: S. 64, 8. — **5.** Die §§ 67—73 stammen aus Polybios Histt. IV 38—44. Zu Grunde liegt der Text der neuesten Ausgabe von Büttner-Wobst, Leipzig 1889, Teubner, mit BW bezeichnet. Unsere Abweichungen sind in den Anmerkungen mit Sch. und da, wo wir auf die ältere Ausgabe von Dindorf (1866) zurückweisen, mit D bezeichnet. Vgl. Fig. 3. — **5.** *Εὔκαιρος* rechtzeitig; hier allgemein: zweckmässig. Eine Form der sprachlichen Entwickelung, eine Erscheinung der *Κοινή*, ist die Verblassung der Grundbedeutungen, die Ausgleichung von Unterschieden der Synonyma, also eine Art von Nivellierung. — **6.** *Εὔκαιρος πρὸς accommodatus ad; πρὸς* zwecks, für. — **6.** *Πάντων* (D, *πάντῃ* BW) abhängig von *εὐκαιρότατον*. — **8.** *Ἀφυής* schlecht gewachsen (*σῶμα*), schwach beanlagt (*ἐμαυτῷ ἔδοξα ἀφυὴς πρὸς ταύτην τὴν σκέψιν εἶναι* Plat. Phaed. 96 c.); hier allgemein: ungeeignet. Nivellierung! — **8.** *Κατὰ μὲν τὴν θάλατταν*, Gegensatz *κατὰ γῆν* § 73. — **9.** *Κυρίως* auf seinem eigentlichen Gebiete; im eigentlichen Sinne (des Wortes). Vgl. *ἡ λέξις* (Wort) *αὕτη τοῦτο σημαίνει κυρίως* Polyb. II 22, 1. — **11.** *Ἔμποροι* Kauffahrer (act. wer importiert). Bei Homer: Passagier (pass. wer importiert wird). — **11.** *Τινὰ* D, dafür *μηδένα* vor *δυνατὸν* BW. — **11.** *Χωρίς* = *ἄνευ*.

Πόντου πολλὰ τῶν πρὸς τὸν βίον εὐχρήστων τοῖς ἄλλοις ἀνθρώποις, πάντων εἰσὶ τούτων κύριοι Βυζάντιοι. πρὸς μὲν γὰρ τὰς ἀναγκαίας τοῦ βίου χρείας τά τε θρέμματα καὶ τὸ τῶν εἰς τὰς δουλείας ἀγομένων σωμάτων πλῆθος οἱ κατὰ τὸν Πόντον ἡμῖν τόποι παρασκευάζουσι δαψιλέστατον καὶ χρησιμώτατον ὁμολογουμένως· πρὸς δὲ περιουσίαν μέλι, κηρόν, τάριχος ἀφθόνως ἡμῖν χορηγοῦσι. δέχονταί γε μὴν τῶν ἐν τοῖς παρ' ἡμῖν τόποις περιττευόντων ἔλαιον καὶ πᾶν οἴνου γένος· σίτῳ δ' ἀμείβονται, ποτὲ μὲν εὐκαίρως διδόντες, ποτὲ δὲ λαμβάνοντες. πάντων δὴ τούτων ἢ κωλύεσθαι δέον ἦν ὁλοσχερῶς τοὺς Ἕλληνας ἢ τελέως ἀλυσιτελῆ γίνεσθαι σφίσι τὴν ἀλλαγὴν αὐτῶν, Βυζαντίων ἤτοι βουλομένων ἐθελοκακεῖν καὶ συνδυάζειν ποτὲ μὲν Γαλάταις, ποτὲ δὲ πλείονα Θρᾳξὶν ἢ τὸ παράπαν μὴ κατοικούντων τοὺς τόπους· διά τε γὰρ τὴν στενότητα τοῦ πόρου καὶ τὸ παρακείμενον πλῆθος τῶν βαρβάρων ἄπλους ἂν ἡμῖν ἦν ὁμολογουμένως ὁ Πόντος.

---

3. *Χρεία* Bedürfnis. — **3.** *Θρέμματα* Pfleglinge, Herdentiere. Plat. Polit. 261 d: *τὰ ἐν ταῖς ἀγέλαις θρέμματα.* — **5.** *Δαψιλής* reichlich. — **6.** *Ὁμολογουμένως* anerkanntermafsen, unzweifelhaft, offenkundig. — **6.** *Περιουσία* Überflufs, Luxus; Ggstz. *χρεῖαι.* — **7.** *Τάριχος* (sonst meist Masc.) Pökelfleisch, Salzfisch, Eingesalzenes. — **7.** *Χορηγεῖν* einen Chor ausstatten; ausstatten, versehen mit. Nivellierung! — **8.** *Περιττεύειν* überzählig (entbehrlich) sein. — **9.** *Ἀμείβεσθαι* wechseln, austauschen. — **11.** *Ὁλοσχερής* ganz und gar, überhaupt; von *ὁ σχερός* das feste Land. — **12.** *Ἀλλαγή* Tausch, Tauschhandel. — **13.** *Συνδυάζειν* sich einigen. — **14.** *Ποτὲ δὲ* (Sch.) für *τοτὲ δὲ.* *Πλείονα* häufiger, lieber. — **15.** *Τὸ παράπαν* (aus *παρὰ πᾶν*) überhaupt.

μέγιστα μὲν οὖν ἴσως αὐτοῖς ἐκείνοις περιγίνεται τὰ λυσιτελῆ πρὸς τοὺς βίους διὰ τὰς τῶν τόπων ἰδιότητας· ἅπαν γὰρ τὸ μὲν περιττεῦον παρ' αὐτοῖς ἐξαγωγῆς, τὸ δὲ λεῖπον εἰσαγωγῆς ἑτοίμου τυγχάνει καὶ λυσιτελοῦς ἄνευ πάσης κακοπαθείας καὶ κινδύνου· πολλά γε μὴν καὶ τοῖς ἄλλοις εὔχρηστα δι' ἐκείνους, ὡς εἰρήκαμεν, ἀπαντᾷ. διὸ καὶ κοινοί τινες ὡς εὐεργέται πάντων ὑπάρχοντες εἰκότως ἂν οὐ μόνον χάριτος, ἀλλὰ καὶ ἐπικουρίας κοινῆς τυγχάνοιεν ὑπὸ τῶν Ἑλλήνων κατὰ τὰς ὑπὸ τῶν βαρβάρων περιστάσεις. ἐπεὶ δὲ παρὰ τοῖς πλείστοις ἀγνοεῖσθαι συνέβαινε τὴν ἰδιότητα καὶ τὴν εὐφυΐαν τοῦ τόπου διὰ τὸ μικρὸν ἔξω κεῖσθαι τῶν ἐπισκοπουμένων μερῶν τῆς οἰκουμένης, βουλόμεθα δὲ πάντες εἰδέναι τὰ τοιαῦτα καὶ μάλιστα μὲν αὐτόπται γίνεσθαι τῶν ἐχόντων παρηλλαγμένον τι καὶ διαφέρον τόπων, εἰ δὲ μὴ τοῦτο δυνατόν, ἐννοίας γε καὶ τύπους ἔχειν ἐν αὐτοῖς ὡς ἔγγιστα τῆς ἀληθείας,

---

2. *Τὰ* (eingeschoben Sch.) *λυσιτελῆ* die Vorteile, *περιγίνεται* erwachsen, *πρὸς τοὺς βίους* für ihre Lebensbedürfnisse. — **2.** *Ἰδιότητες* (charakteristische) Eigenschaften, Eigentümlichkeiten. — **3.** *Ἐξαγωγή* Export. — **6.** *Ἀπαντᾶν* entgegen, zu gute kommen. — **10.** *Περιστάσεις* andrängende Gefahren, Verwickelungen. — **11.** *Εὐφυΐα* gute Natur, günstige Lage. — **12.** *Ἐπισκοπεῖσθαι* besucht werden. — **14.** *Αὐτόπτης* Augenzeuge, persönlich besuchend, mit eigenen Augen beschauend. Dieser Begriff der Autopsie ist seit Herodot ein Hauptmerkmal der griechischen Geographie und Historiographie und nähert beide Wissenschaften der Naturlehre. — **14.** *Παρηλλαγμένος* verändert; abweichend, aufsergewöhnlich. — **16.** *Ἐννοίας γε καὶ τύπους* Vorstellungen und Abbilder. Stoische Begriffe: § 3. Zeno nannte die *φαντασία* (Anschauung) eine *τύπωσις ἐν ψυχῇ* und entlehnte den Begriff *ἀπὸ τῶν τύπων τῶν ἐν τῷ κηρῷ ὑπὸ τοῦ δακτυλίου* (*ὁ δακ-*

ῥητέον ἂν εἴη, τί τὸ συμβαῖνόν ἐστι καὶ τί τὸ ποιοῦν τὴν τηλικαύτην καὶ τοιαύτην εὐπορίαν τῆς προειρημένης πόλεως.

31. Zuflüsse und Abfluſs des Pontus Euxinus. § 68.

Ὁ δὴ καλούμενος Πόντος ἔχει τὴν μὲν περίμετρον ἔγγιστα τῶν δισμυρίων καὶ δισχιλίων σταδίων, στόματα δὲ διττὰ κατὰ διάμετρον ἀλλήλοις κείμενα, τὸ μὲν ἐκ τῆς Προποντίδος, τὸ δ' ἐκ τῆς Μαιώτιδος λίμνης, ἥτις αὐτὴ καθ' αὑτὴν ὀκτακισχιλίων ἔχει σταδίων τὴν περιγραφήν. εἰς δὲ τὰ προειρημένα κοιλώματα πολλῶν μὲν καὶ μεγάλων ποταμῶν ἐκ τῆς Ἀσίας ἐκβαλλόντων, ἔτι δὲ μειζόνων καὶ πλειόνων ἐκ τῆς Εὐρώπης, συμβαίνει τὴν μὲν Μαιῶτιν ἀναπληρουμένην ὑπὸ τούτων ῥεῖν εἰς τὸν Πόντον διὰ τοῦ στόματος, τὸν δὲ Πόντον εἰς τὴν Προποντίδα. καλεῖται δὲ τὸ μὲν τῆς Μαιώτιδος στόμα Κιμμερικὸς Βόσπορος, ὃ τὸ μὲν πλάτος ἔχει περὶ τριάκοντα στάδια, τὸ δὲ μῆκος ἑξήκοντα, πᾶν δ' ἐστὶν ἁλιτενές· τὸ δὲ τοῦ Πόντου

τύλιος Siegelring) *γινομένων*: Diog. L. VII 45. — **16.** (S. 136.) *Αὐτοῖς* nicht bloſs dritte, sondern auch erste und zweite Person; hier = *ἡμῖν αὐτοῖς*. — **1.** *Συμβαῖνον* Begebnis, Ereignis; Erscheinung. — **6.** *Στόματα* Öffnungen, sowohl Einfluſs wie Ausfluſs. Die Küstenmessungen sind nicht recht kontrollierbar, müssen aber ziemlich genau sein, da sie mit gewissen heutigen Messungen sowie den Bildern unserer Karten stimmen. Denn 22 000 Stadien verhalten sich zu 8000 Stadien wie 11 zu 4; die gröſste Länge des Pontos (1187 km) zu der des Asow'schen Meeres (445 km) wie 8 zu 3; gröſste Breite (613 km) zur gröſsten Breite (150 km) wie 25 zu 6. — **10.** *Κοιλώματα* Becken. — **10.** *Μεγάλων.* Die Länge des *Φάσις* (j. Rion) ist im Altertum vielfach überschätzt worden. — **17.** *Ἁλιτενής* flach, seicht.

παραπλησίως ὀνομάζεται μὲν Βόσπορος Θρᾴκιος, ἔστι δὲ τὸ μὲν μῆκος ἐφ' ἑκατὸν καὶ εἴκοσι στάδια, τὸ δὲ πλάτος οὐ πάντη ταὐτόν. ἄρχει δὲ τοῦ στόματος ἀπὸ μὲν τῆς Προποντίδος τὸ κατὰ Καλχηδόνα διάστημα καὶ Βυζάντιον, ὃ δέκα τεττάρων ἐστὶ σταδίων, ἀπὸ δὲ τοῦ Πόντου τὸ καλούμενον Ἱερόν, ἐφ' οὗ τόπου φασὶ κατὰ τὴν ἐκ Κόλχων ἀνακομιδὴν Ἰάσονα θῦσαι πρῶτον τοῖς δώδεκα θεοῖς· ὃ κεῖται μὲν ἐπὶ τῆς Ἀσίας, ἀπέχει δὲ τῆς Εὐρώπης ἐπὶ δώδεκα στάδια πρὸς τὸ καταντικρὺ κείμενον Σαραπιεῖον τῆς Θρᾴκης. τοῦ δὲ ῥεῖν ἔξω κατὰ τὸ συνεχὲς τήν τε Μαιῶτιν καὶ τὸν Πόντον εἰσὶν αἰτίαι διτταί, μία μὲν αὐτόθεν καὶ πᾶσι προφανής, καθ' ἣν πολλῶν εἰσπιπτόντων ῥευμάτων εἰς περιγραφὴν ἀγγείων ὡρισμένων πλεῖον ἀεὶ καὶ πλεῖον γίνεται τὸ ὑγρόν, ὃ μηδεμιᾶς μὲν ὑπαρχούσης ἐκρύσεως δέον ἂν ἦν προσαναβαῖνον ἀεὶ μείζω καὶ πλείω τοῦ κοιλώματος περιλαμβάνειν τόπον, ὑπαρχουσῶν δ' ἐκρύσεων ἀνάγκη τὸ προσγινόμενον καὶ πλεονάζον ὑπερπῖπτον ἀπορρεῖν καὶ φέρεσθαι συνεχῶς διὰ τῶν ὑπαρχόντων στομάτων· δευτέρα δέ, καθ' ἥν, πολὺν καὶ παντοδαπὸν χοῦν εἰσφερόντων εἰς τὰ προειρημένα κοιλώ-

---

3. Πάντη BW, πάντῃ D. — 5. Δεκατεττάρων BW, τεττάρων καὶ δέκα D. Letzteres ergäbe den Hiatus (S. 35, 9) δέκα ἐστί. — 7. Ἀνακομιδή tr. Rücktransport, intr. Rückkehr. — 9. Καταντικρύ BW, κατ' ἀντικρύ D. — 12. Αὐτόθεν von selbst, auf der Stelle. — 13. Περιγραφή Umkreis, umgrenzter Raum, ἀγγεῖον Gefäſs. — 15. Προσαναβαίνειν (zum Rande) aufsteigen. — 16. Τόπος Raum. — 18. Πλεονάζειν zu viel sein. — 20. Χοῦς = χόος (wie ῥοῦς = ῥόος, πλοῦς = πλόος) Schutt, Schlamm.

ματα τῶν ποταμῶν κατὰ τὰς τῶν ὄμβρων ἐπιτάσεις, ἐκπιεζόμενον τὸ ὑγρὸν ὑπὸ τῶν συνισταμένων ἐγχωμάτων ἀεὶ προσαναβαίνει καὶ φέρεται κατὰ τὸν αὐτὸν λόγον διὰ τῶν ὑπαρχουσῶν ἐκρύσεων. τῆς δ' ἐγχώσεως καὶ τῆς ἐπιρρύσεως ἀδιαπαύστου καὶ συνεχοῦς γινομένης ἐκ τῶν ποταμῶν, καὶ τὴν ἀπόρρυσιν ἀδιάπαυστον καὶ συνεχῆ γίνεσθαι διὰ τῶν στομάτων ἀναγκαῖον.

Αἱ μὲν οὖν ἀληθεῖς αἰτίαι τοῦ ῥεῖν ἔξω τὸν Πόντον § 69. *αἵδ' εἰσίν, οὐκ ἐξ ἐμπορικῶν ἔχουσαι διηγημάτων τὴν πίστιν, ἀλλ' ἐκ τῆς κατὰ φύσιν θεωρίας, ἧς ἀκριβεστέραν εὑρεῖν οὐ ῥᾴδιον· ἐπεὶ δ' ἐπὶ τὸν τόπον ἐπέστημεν, οὐδὲν ἀφετέον ἀργὸν οὐδ' ἐν αὐτῇ τῇ φάσει κείμενον, ὅπερ οἱ πλεῖστοι ποιεῖν εἰώθασι τῶν συγγραφέων, ἀποδεικτικῇ δὲ μᾶλλον τῇ διηγήσει χρηστέον, ἵνα μηδὲν ἄπορον ἀπολείπωμεν τῶν ζητουμένων τοῖς φιληκόοις. τοῦτο γὰρ ἴδιόν ἐστι τῶν νῦν καιρῶν, ἐν οἷς πάντων πλωτῶν καὶ πορευτῶν γεγονότων οὐκ ἂν ἔτι πρέπον εἴη ποιηταῖς καὶ μυθο-*

---

1. *Ὄμβρων ἐπιτάσεις* Steigerung der Regengüsse. Diese Ursache als einzige zu betonen, ist ungenau. — **2.** *Συνίστασθαι* sich stauen, sich niedersetzen (‚Sedimente'). — **2.** *Ἐγχώματα* Schuttmassen, Schlammmassen; *ἔγχωσις* Aufschüttung, Versandung. — **9.** *Ἐμπορικὰ διηγήματα* Kauffahrerberichte. Von ihnen hielt Polybios nicht viel; er erklärte den Pytheas v. Massilia (S. 42, 7) für einen Lügner. — **10.** *Ἡ κατὰ φύσιν θεωρία* die Naturlehre, physikalische Theorie. — **11.** *Ἐπὶ τὸν τόπον ἐπέστημεν* auf den Punkt (zu sprechen) gekommen sind. — **12.** *Ἀργός* (= *ἄεργος*) ungethan, unerledigt, unberücksichtigt. — **12.** *Φάσις* (Natur-) Erscheinung. — **13.** *Ἀποδεικτικός* beweiskräftig, unwiderleglich, überzeugend. Wortstellung nach der Regel S. 62, 2. — **14.** *Ἄπορος* unerklärlich, unbegreiflich, rätselhaft. — **15.** *Φιληκόος* hörlustig, lernbegierig; eifriger Leser. — **17.** *Πλωτῶν καὶ*

γράφοις χρῆσθαι μάρτυσι περὶ τῶν ἀγνοουμένων, ὅπερ οἱ πρὸ ἡμῶν πεποιήκασι περὶ τῶν πλείστων, ἀπίστους ἀμφισβητουμένων παρεχόμενοι βεβαιωτὰς κατὰ τὸν Ἡράκλειτον, πειρατέον δὲ δι' αὐτῆς τῆς ἱστορίας ἱκανὴν παριστάναι πίστιν τοῖς ἀκούουσι.

Φαμὲν δὴ χώννυσθαι μὲν καὶ πάλαι καὶ νῦν τὸν Πόντον, χρόνῳ γε μὴν ὁλοσχερῶς ἐγχωσθήσεσθαι τήν τε Μαιῶτιν καὶ τοῦτον, μενούσης γε δὴ τῆς αὐτῆς τάξεως περὶ τοὺς τόπους καὶ τῶν αἰτίων τῆς ἐγχώσεως ἐνεργούντων κατὰ τὸ συνεχές. ὅταν γὰρ ὁ μὲν χρόνος ἄπειρος ᾖ, τὰ δὲ κοιλώματα πάντῃ πάντως ὡρισμένα, δῆλον ὡς, κἂν τὸ τυχὸν εἰσφέρηται, πληρωθήσονται τῷ χρόνῳ. κατὰ φύσιν γὰρ τὸ πεπερασμένον ἐν ἀπείρῳ χρόνῳ συνεχῶς γινόμενον ἢ φθειρόμενον, κἂν κατ' ἐλάχιστον γίνηται (τοῦτο γὰρ νοείσθω νῦν) ἀνάγκη τελειωθῆναι κατὰ τὴν πρόθεσιν.

πορευτῶν schiffbar und betretbar, zu Wasser und zu Lande zugänglich. — **2.** *Ἄπιστος* unglaubwürdig. — **3.** *Ἀμφισβητεῖν* bestreiten, bezweifeln; *ἀμφισβητούμενα* Streitiges. — **3.** *Βεβαιωτής* Bekräftiger, Gewährsmann, bestätigender Zeuge. — **4.** *Ἡράκλειτος* v. Ephesos (um — 500) hatte gesagt: *ὀφθαλμοὶ τῶν ὤτων ἀκριβέστεροι μάρτυρες* Polyb. XII 27, 1. Man sieht, wie verwachsen der Begriff der *αὐτοψία* mit dem der *ἱστορία* ist. — **4.** *Ἱστορία* persönliche Erforschung. — **7.** *Ἐγχώννυμι* zuschütten. Der Spiegel der Mäotis ist bei Kertsch 1,45 m höher als der des Pontos. — **8.** *Τάξις* Ordnung, Stellung, Lage. — **10.** *Ἐνεργεῖν* wirksam bleiben. Die grofse Tiefe des Pontos (bis 1870 m) ist den Alten entgangen; daher die Übertreibung. — **11.** *Πάντῃ* (D *πάντῃ*) überall, *πάντως* völlig. — **12.** *Τὸ τυχόν* die erste beste Menge, das geringste Bischen. — **14.** *Γίνεσθαι καὶ φθείρεσθαι* werden und vergehen, wachsen und abnehmen. — **15.** *Τελειωθῆναι κατὰ τὴν πρόθεσιν* dem Vorsatz entsprechend, in der eingeschlagenen Richtung, nach der angefangenen Tendenz zum Ziele kommen.

ὅταν δὲ μὴ τὸ τυχόν, ἀλλὰ καὶ λίαν πολύς τις εἰσφέρηται χοῦς, φανερὸν ὡς οὐ ποτέ, ταχέως δὲ συμβήσεται γενέσθαι τὸ νῦν δὴ λεγόμενον ὑφ' ἡμῶν. ὃ δὴ καὶ φαίνεται γινόμενον. τὴν μὲν οὖν Μαιῶτιν ἤδη κεχῶσθαι συμβαίνει· τὸ γάρ τοι πλεῖστον αὐτῆς μέρος ἐν ἑπτὰ καὶ πέντε ὀργυιαῖς ἐστι· διὸ καὶ πλεῖν αὐτὴν οὐκέτι δύνανται ναυσὶ μεγάλαις χωρὶς καθηγεμόνος. οὖσά τ' ἐξ ἀρχῆς θάλαττα σύρρους τῷ Πόντῳ, καθὰ οἱ παλαιοὶ συμφωνοῦσι, νῦν ἐστι λίμνη γλυκεῖα, τῆς μὲν θαλάττης ἐκπεπιεσμένης ὑπὸ τῶν ἐγχωμάτων, τῆς δὲ τῶν ποταμῶν εἰσβολῆς ἐπικρατούσης. ἔσται δὲ καὶ περὶ τὸν Πόντον παραπλήσιον, καὶ γίνεται νῦν· ἀλλ' οὐ λίαν τοῖς πολλοῖς ἐστι καταφανὲς διὰ τὸ μέγεθος τοῦ κοιλώματος. τοῖς μέντοι γε βραχέα συνεπιστήσασι καὶ νῦν ἐστι δῆλον τὸ γινόμενον. τοῦ γὰρ Ἴστρου πλείοσι στόμασιν ἀπὸ τῆς Εὐρώπης εἰς τὸν Πόντον εἰσβάλλοντος, συμβαίνει πρὸς τοῦτον σχεδὸν ἐπὶ χίλια στάδια συνεστάναι ταινίαν ἡμέρας δρόμον ἀπέχουσαν τῆς γῆς (ἥτις νῦν συνέ-

---

2. *Ποτέ* irgend wann (spät) einmal. — **5.** *Ἐν ἑπτὰ καὶ πέντε ὀργυιαῖς* (*sc. τὸ βάθος*) zwischen fünf und sieben Strecken; *ὀργυιά* Strecke, Spanne (v. *ὀρέγειν*) = 1,85 m. Also 5 *ὀργ.* = 9,25 m; 7 *ὀργ.* = 12,95 m. Die gröſste Tiefe des Asowschen Meeres beträgt 16 m = 8,5 *ὀργ.* Die Reede von Taganrog ist nur 3,5 m = etwa 2 *ὀργ.* Die Stelle lehrt zugleich, daſs der Tiefgang der Kauffahrer (*μεγάλαι νῆες*) den der Kriegsschiffe (*τριήρεις* = Dreireiher: wenig über 1 m) erheblich übertraf. — **7.** *Καθηγεμών* Lotse. — **9.** *Λίμνη γλυκεῖα* Süſswasser-See. Auch der Pontos hat nur 1,9 % Salzgehalt. — **10.** *Ἐπικρατούσης*: S. 142, 8. — **13.** *Συνεφιστάναι* = *συνεφίστασθαι* dabei stehen bleiben, darauf Obacht geben. — **16.** *Συνεστάναι* sich angesetzt haben. — **17.** *Ταινία* Band, Streifen, Erdzunge. Polybios meint einen vom Festland völlig getrennten Schlammgürtel, eine Sandbank.

στηκεν) ἐκ τῆς τοῖς στόμασιν εἰσφερομένης ἰλύος· ἐφ' ἣν ἔτι πελάγιοι τρέχοντες οἱ πλέοντες τὸν Πόντον λανθάνουσιν ἐποκέλλοντες νυκτὸς ἐπὶ τοὺς τόπους. καλοῦσι δ' αὐτοὺς οἱ ναυτικοὶ Στήθη.

§ 70. Τοῦ δὲ μὴ παρ' αὐτὴν συνίστασθαι τὴν γῆν, ἀλλ' ἐπὶ τὸ πολὺ προωθεῖσθαι τὸν χοῦν, ταύτην νομιστέον εἶναι τὴν αἰτίαν. ἐφ' ὅσον μὲν γὰρ αἱ ῥύσεις τῶν ποταμῶν διὰ τὴν βίαν τῆς φορᾶς ἐπικρατοῦσι καὶ διωθοῦνται τὴν θάλατταν, ἐπὶ τοσοῦτο καὶ τὴν γῆν καὶ πάντα τὰ φερόμενα τοῖς ῥεύμασιν ἀνάγκη προωθεῖσθαι καὶ μὴ λαμβάνειν μονὴν μηδὲ στάσιν ἁπλῶς· ὅταν δὲ διὰ τὸ βάθος ἤδη καὶ πλῆθος τῆς θαλάττης ἐκλύηται τὰ ῥεύματα, τότ' εἰκὸς ἤδη κατὰ φύσιν φερόμενον κάτω μονὴν καὶ στάσιν λαμβάνειν τὸν χοῦν. δι' ἃ δὴ τῶν μὲν λάβρων καὶ μεγάλων ποταμῶν τὰ μὲν χώματα μακρὰν συνίσταται, τὰ δὲ παρὰ τὴν χέρσον ἐστὶν ἀγχιβαθῆ, τῶν δ' ἐλαττόνων καὶ πρᾴως ῥεόντων παρ' αὐτὰς τὰς εἰσβολὰς οἱ θῖνες συνίστανται. μάλιστα δ' ἔκδηλον γίνεται τοῦτο κατὰ τὰς τῶν ὄμβρων ἐπιφοράς· καὶ γὰρ τὰ τυχόντα τότε τῶν ῥείθρων, ἐπειδὰν ἐπικρατήσωσι τοῦ κύματος κατὰ τὴν εἰσβολήν,

---

1. *Ἡ ἰλύς* Schlamm. — **2.** *Πελάγιος* noch auf (hoher) See befindlich. — **3.** *Ἐποκέλλειν* hier intr. landen. — **4.** *Στήθη* Brust; wir: Gürtel. — **8.** *Φορά* Schwung, Fall, Stofs (S. 88, 2 u. 8). — **8.** *Ἐπικρατοῦσι* die Oberhand behalten. — **11.** *Μονή* Halt, *στάσις* Stillstand. — **12.** *Ἐκλύεσθαι* erschlaffen. — **14.** *Λάβρος* reifsend, ungetüm, mit starkem Fall. — **15.** *Μακράν* (*sc. ὁδόν*) eig. ein weites Stück; hier: in weiter Entfernung. — **16.** *Ἀγχιβαθής* in der Nähe (*παρὰ τὴν χέρσον*) tief. — **17.** *Εἰσβολαί* Flufsmündung. Meist Plur. wie *πηγαί* Flufsquelle. -- **17.** *Θῖνες* Sanddünen. — **19.** *Ἐπιφοραί* Andrang.

προωθοῦσι τὸν χοῦν εἰς τὴν θάλατταν ἐπὶ τοσοῦτον, ὥςτε πρὸς λόγον ἑκάστου γίνεσθαι τὴν ἀπόστασιν τῇ βίᾳ τῶν ἐμπιπτόντων ῥευμάτων. τῷ δὲ μεγέθει τῆς προειρημένης ταινίας καὶ καθόλου τῷ πλήθει τῶν εἰσφερομένων λίθων καὶ ξύλων καὶ γῆς ὑπὸ τῶν ποταμῶν οὐδαμῶς ἀπιστητέον (εὔηθες γάρ), θεωροῦντας ὑπὸ τὴν ὄψιν τὸν τυχόντα χειμάρρουν ἐν βραχεῖ χρόνῳ πολλάκις ἐκχαραδροῦντα μὲν καὶ διακόπτοντα τόπους ἠλιβάτους, φέροντα δὲ πᾶν γένος ὕλης καὶ γῆς καὶ λίθων, ἐπιχώσεις δὲ ποιούμενον τηλικαύτας, ὥςτ' ἀλλοιοῦν ἐνίοτε καὶ μηδὲ γινώσκειν ἐᾶν ἐν βραχεῖ χρόνῳ τοὺς αὐτοὺς τόπους. ἐξ ὧν οὐκ εἰκὸς θαυμάζειν, πῶς οἱ τηλικοῦτοι καὶ τοιοῦτοι ποταμοὶ συνεχῶς ῥέοντες ἀπεργάζονταί τι τῶν προειρημένων καὶ τέλος ἐκπληροῦσι τὸν Πόντον. οὐ γὰρ εἰκός, ἀλλ' ἀναγκαῖον γενέσθαι τοῦτό γε προφαίνεται κατὰ τὸν ὀρθὸν λόγον. σημεῖον δὲ τοῦ μέλλοντος· ὅσῳ γάρ ἐστι νῦν ἡ Μαιῶτις γλυκυτέρα τῆς Ποντικῆς θαλάττης, τοσούτῳ θεωρεῖται διαφέρουσα προφανῶς ἡ Ποντικὴ τῆς καθ' ἡμᾶς. ἐξ ὧν δῆλον ὡς,

---

1. *Τὴν* Sch. — **2.** *Πρὸς λόγον ἑκάστου* (je) nach der Gröſse eines jeden. Davon ist *τῶν ἐμπιπτόντων ῥευμάτων* abhängig.— **6.** *Θεωροῦντας* (*sc. τινας* oder *ἡμᾶς*) wenn man sieht; *ὑπὸ τὴν ὄψιν* mit eigenen Augen, deutlich wahrnehmbar. — **7.** *Ἐκχαραδροῦν* aushöhlen. — **8.** *Ἠλίβατος* steil, hoch, schroff. — **10.** *Ἐᾶν* eingeschoben (Sch.), fehlt in den Handschriften und Ausgaben. — **15.** *Προφαίνεται* ist sichtlich, *προφανῶς* augenscheinlich. — **15.** *Λόγον* Berechnung, Verhältnis. Ausdrücke wie *ὀρθός, λόγος, τοῦτον λαμβάνειν τὸν λόγον πρὸς .... ὃν ἔχει ....* (S. 144, 2), *πρὸς ὀξεῖαν γωνίαν* und *πρὸς ἀμβλεῖαν* (§ 71) verraten des Polybios mathematische Schulung, die er auch ausdrücklich vom Feldherrn fordert. Dasselbe wird durch den Umstand bewiesen, daſs er eine ‚Taktik' schrieb. Denn die Alten rechnen die Taktik zur angewandten Mathematik.

ὅταν ὁ χρόνος, ἐν ᾧ πεπληρῶσθαι συμβαίνει τὴν Μαιῶτιν, τοῦτον λάβῃ τὸν λόγον πρὸς τὸν χρόνον, ὃν ἔχει τὸ μέγεθος τοῦ κοιλώματος πρὸς τὸ κοίλωμα, τότε συμβήσεται καὶ τὸν Πόντον τεναγώδη καὶ γλυκὺν καὶ λιμνώδη γενέσθαι παραπλησίως τῇ Μαιώτιδι λίμνῃ. καὶ θᾶττον δὲ τοῦτον ὑποληπτέον, ὅσῳ μείζους καὶ πλείους εἰσὶν αἱ ῥύσεις τῶν εἰς τοῦτον ἐκπιπτόντων ποταμῶν. ταῦτα μὲν οὖν ἡμῖν εἰρήσθω πρὸς τοὺς ἀπίστως διακειμένους, εἰ δὴ χώννυσθαι νῦν καὶ χωσθήσεσθαί ποτε συμβήσεται τὸν Πόντον καὶ λίμνη καὶ τέναγος ἔσται τὸ τηλικοῦτον πέλαγος. ἔτι δὲ μᾶλλον εἰρήσθω καὶ τῆς τῶν πλοϊζομένων ψευδολογίας καὶ τερατείας χάριν, ἵνα μὴ παντὶ τῷ λεγομένῳ προσκεχηνέναι παιδικῶς ἀναγκαζώμεθα διὰ τὴν ἀπειρίαν, ἔχοντες δ' ἴχνη τῆς ἀληθείας ἐπὶ ποσὸν ἐξ αὐτῶν ἐπικρίνειν δυνώμεθα τὸ λεγόμενον ὑπό τινων ἀληθῶς ἢ τοὐναντίον. ἐπὶ δὲ τὸ συνεχὲς τῆς εὐκαιρίας τῶν Βυζαντίων ἐπάνιμεν.

§ 71.

32. Die Strömung im Bosporus.

Τοῦ δὴ στόματος τοῦ τὸν Πόντον καὶ τὴν Προποντίδα συνάπτοντος ὄντος ἑκατὸν εἴκοσι σταδίων τὸ μῆκος,

---

4. *Τεναγώδης* sumpfig, seicht. — **12.** *Τερατεία* Aufschneiderei. Von *τερατεύεσθαι* Wundergeschichten erzählen. Vgl. B. 1, S. 114, 9. Bei den *πλοϊζόμενοι* denkt Polybios wieder an Pytheas v. Massilia S. 139, 9. — **13.** *Λεγόμενον* Gerede. — **13.** *Προσχαίνειν τινι* einer Sache gegenüber den Mund aufsperren, *προσκεχηνέναι* den Mund aufgesperrt halten, anstaunen (Strab. p. 652). — **14.** *Ἀπειρία* Mangel an persönlicher Erfahrung (Erlebnis), Ggstz. *πεῖρα*. — **15.** *Ἐπὶ ποσόν* bis zu einem gewissen Grade. — **16.** *Συνεχές* Zusammenhang, zusammenhängende Betrachtung, Fortsetzung.

καθάπερ ἀρτίως εἶπον, καὶ τοῦ μὲν Ἱεροῦ τὸ πρὸς τὸν Πόντον πέρας ὁρίζοντος, τοῦ δὲ κατὰ Βυζάντιον διαστήματος τὸ πρὸς τὴν Προποντίδα, μεταξὺ τούτων ἐστὶν Ἑρμαῖον, τῆς Εὐρώπης ἐπὶ προοχῆς τινος ἀκρωτηριαζούσης ἐν τῷ στόματι κείμενον, ὃ τῆς μὲν Ἀσίας ἀπέχει περὶ πέντε στάδια, κατὰ τὸν στενώτατον δὲ τόπον ὑπάρχει τοῦ παντὸς στόματος· ᾗ καὶ Δαρεῖον ζεῦξαί φασι τὸν πόρον, καθ' ὃν χρόνον ἐποιεῖτο τὴν ἐπὶ Σκύθας διάβασιν. κατὰ μὲν δὴ τὸν ἄλλον τόπον τὸν ἀπὸ τοῦ Πόντου παραπλήσιός ἐστιν ἡ φορὰ τοῦ ῥεύματος διὰ τὴν ὁμοιότητα τῶν παρ' ἑκάτερον τὸ μέρος τῷ στόματι παρηκόντων τόπων· ἐπὰν δ' εἰς τὸ τῆς Εὐρώπης Ἑρμαῖον, ᾗ στενώτατον ἔφαμεν εἶναι, φερόμενος ἐκ τοῦ Πόντου καὶ συγκλειόμενος ὁ ῥοῦς βίᾳ προσπέσῃ, τότε δὴ τραπεὶς ὥςπερ ἀπὸ πληγῆς ἐμπίπτει τοῖς ἀντιπέρας τῆς Ἀσίας τόποις. ἐκεῖθεν δὲ πάλιν, οἷον ἐξ ὑποστροφῆς, τὴν ἀνταπόδοσιν ποιεῖται πρὸς τὰ περὶ τὰς Ἑστίας ἄκρα καλούμενα τῆς Εὐρώπης. ὅθεν αὖθις ὁρμήσας προσπίπτει πρὸς τὴν Βοῦν καλουμένην, ὅς ἐστι τῆς Ἀσίας τόπος, ἐφ' ὃν ἐπι-

---

4. *Προοχή* hervorragende Stelle, Vorsprung. — **5.** *Ἀκρωτηριάζειν* eine Spitze, ein Vorgebirge bilden. — **7.** *Ζευγνύναι fluvium ponte iungere* überbrücken. — **9.** *Κατὰ τὸν ἄλλον τόπον* in dem übrigen Raum, in der bisherigen Ausdehnung. — **9.** *Τὸν* (Sch.) vor *ἀπό* ist eingeschoben, fehlt in Handschriften und Ausgaben. *Ἀπὸ τοῦ Πόντου sc.* bis zum *Ἑρμαῖον.* — **10.** *Παραπλήσιός ἐστιν* bleibt sich ähnlich, ist gleichartig; fast so viel wie *ὁμοειδής* oder *σύμμετρος* = gleichmässig, normal. — **16.** *Ἐξ ὑποστροφῆς* infolge einer Flucht. — **16.** *Ἀνταπόδοσις* eig. Vergeltung; hier: Gegenrichtung. Also *τὴν α. ποιεῖσθαι* die entgegengesetzte Richtung nehmen.

στῆναί φασι πρῶτον οἱ μῦθοι τὴν Ἰὼ περαιωθεῖσαν. πλὴν ὅ γε ῥοῦς τὸ τελευταῖον ὁρμήσας ἀπὸ τῆς Βοὸς ἐπ' αὐτὸ φέρεται τὸ Βυζάντιον, περισχισθεὶς δὲ περὶ τὴν πόλιν βραχὺ μὲν εἰς τὸν κόλπον αὐτοῦ διορίζει, τὸ καλούμενον Κέρας, τὸ δὲ πλεῖον πάλιν ἀπονεύει. διευτονεῖν μὲν οὖν οὐκέτι δύναται πρὸς τὴν ἀντιπέρας χώραν, ἐφ' ἧς ἐστι Καλχηδών· πλεονάκις γὰρ τὴν ἀνταπόδοσιν πεποιημένος, καὶ τοῦ πόρου πλάτος ἔχοντος, ἤδη περὶ τοῦτον τὸν τόπον ἐκλυόμενος ὁ ῥοῦς οὐκέτι βραχείας πρὸς ὀξεῖαν γωνίαν ποιεῖται τὰς ἀνακλάσεις ἐπὶ τὴν περαίαν, ἀλλὰ μᾶλλον πρὸς ἀμβλεῖαν· διόπερ ἀπολιπὼν τὴν τῶν Καλχηδονίων πόλιν φέρεται διὰ πόρου.

Καὶ τὸ ποιοῦν τὴν μὲν τῶν Βυζαντίων πόλιν εὐκαιροτάτην, τὴν δὲ τῶν Καλχηδονίων τἀναντία, τοῦτ' ἔστι τὸ νῦν ὑφ' ἡμῶν εἰρημένον, καίπερ ἀπὸ τῆς ὄψεως ὁμοίας ἀμφοτέραις δοκούσης εἶναι τῆς θέσεως πρὸς τὴν εὐκαιρίαν. ἀλλ' ὅμως εἰς τὴν μὲν βουληθέντα καταπλεῦσ' οὐ ῥᾴδιον,

---

1. *Πλήν* adv. aufserdem. — **4.** *Αὐτοῦ* (BW, *αὑτοῦ* D) *διορίζει* trennt von sich ab. — **5.** *Ἀπονεύειν* ablenken, seitwärts wenden. — **5.** *Διευτονεῖν* (v. *εὔτονος* gut gespannt, stramm; *εὐτονεῖν* Kraft haben) die nötige (*διά* = hinüberreichend) Kraft haben. — **9.** *Ἐκλύεσθαι* (Ggstz. *διευτονεῖν*) sich auslösen, sich ausgleichen, kraftlos werden, erlahmen. — **9.** *Ὀξύς* spitz, *ἀμβλύς* stumpf. — **10.** *Βραχείας τὰς ἀνακλάσεις* knappe, kurze Brechungen. Je spitzer der Reflexionswinkel zwischen den parallelen Küsten ist, desto kürzer ist der Weg der Strömung bis zur Gegenseite (*περαία*). Wortstellung nach S. 62, 2. — **11.** *Ἀπολιπών* seitwärts liegen lassen. — **15.** *Ἀπὸ τῆς ὄψεως* (geht man) vom (blofsen) Augenschein aus, dem äufseren Anblick (Anschein) nach. — **17.** *Βουληθέντα καταπλεῦσ' οὐ* BW, *οὐδὲ βουληθέντα καταπλεῦσαι* D.

πρὸς ἣν δέ, κἂν μὴ βούλῃ, φέρει κατ' ἀνάγκην ὁ ῥοῦς, καθάπερ ἀτρίως εἴπομεν. σημεῖον δὲ τούτου· ἐκ Καλχηδόνος γὰρ οἱ βουλόμενοι διαίρειν εἰς Βυζάντιον οὐ δύνανται πλεῖν κατ' εὐθεῖαν διὰ τὸν μεταξὺ ῥοῦν, ἀλλα παράγουσιν ἐπί τε τὴν Βοῦν καὶ τὴν καλουμένην Χρυσόπολιν, ἣν Ἀθηναῖοι τότε κατασχόντες Ἀλκιβιάδου γνώμῃ παραγωγιάζειν ἐπεβάλοντο πρῶτον τοὺς εἰς Πόντον πλέοντας, τὸ δ' ἔμπροσθεν ἀφιᾶσι κατὰ ῥοῦν, ᾧ φέρονται κατ' ἀνάγκην πρὸς τὸ Βυζάντιον. ὅμοια δὲ τούτοις καὶ τὰ κατὰ τὸν ἐπὶ θάτερα πλοῦν ἐστι τῆς Βυζαντίων πόλεως· ἄν τε γὰρ ἀφ' Ἑλλησπόντου τρέχῃ τις τοῖς νότοις ἄν τ' ἐπὶ τὸν Ἑλλήσποντον ἐκ τοῦ Πόντου τοῖς ἐτησίαις, παρὰ μὲν τὴν Εὐρώπην ἐκ τῆς Βυζαντίων πόλεως ὀρθός, ἅμα δ' εὐπαρακόμιστός ἐστιν ὁ πλοῦς ἐπὶ τὰ τῆς Προποντίδος στενὰ κατ' Ἄβυδον καὶ Σηστόν, κἀκεῖθεν ὡσαύτως πάλιν ἐπὶ τὸ Βυζάντιον, ἀπὸ δὲ Καλχηδόνος παρὰ τὴν Ἀσίαν τἀναντία τούτοις διὰ τὸ κολπώδη τὸν παράπλουν ὑπάρχειν καὶ προτείνειν πολὺ τὴν τῶν Κυζικηνῶν χώραν. ἀφ'

---

3. *Διαίρειν* hinüberfahren (*αἴρειν sc. ἄγκυραν* Anker lichten). — **4.** *Κατ' εὐθεῖαν διὰ τὸν ῥοῦν = κατὰ ῥοῦν* quer durch die (senkrecht zur) Strömung. Herod. VII 36. — **5.** *Παράγειν* seitwärts treiben. — **6.** Xen. Hell. I 1, 22: *Ἀφικόμενοι (οἱ Ἀθηναῖοι) τῆς Καλχηδονίας εἰς Χρυσόπολιν ἐτείχισαν αὐτὴν καὶ τὴν δεκάτην ἐξέλεγον τῶν ἐκ τοῦ Πόντου πλοίων.* — **7.** *Παραγωγιάζειν τινα* von j. einen Durchgangszoll (z. B. *δεκάτη*) fordern. — **8.** *Τὸ δ' ἔμπροσθεν* adv. weiterhin, sodann aber. — **9.** *Ὅμοια δὲ τούτοις καὶ τὰ κατὰ* dem ähnlich liegen aber auch die Dinge bei. — **12.** *Ἐτησίαις* Nordwinde, die jährlich wiederkehren; *ἐτησίοις* D und BW. — **17.** *Κολπώδης* mit tief einschneidenden Golfen. — **17.** *Παράπλους* Küstenfahrt.

Ἑλλησπόντου γὰρ φερόμενον εἰς Καλχηδόνα χρήσασθαι τῷ παρὰ τὴν Εὐρώπην πλῷ, κἄπειτα συνεγγίζοντα τοῖς κατὰ Βυζάντιον τόποις κάμπτειν καὶ προστρέχειν πρὸς τὴν Καλχηδόνα διὰ τὸν ῥοῦν καὶ τὰ προειρημένα δυσχερές. ὁμοίως δὲ πάλιν ἐκπλέοντα προστρέχειν εὐθέως τῇ Θρᾴκῃ τελέως ἀδύνατον διά τε τὸν μεταξὺ ῥοῦν καὶ διὰ τὸ τοὺς ἀνέμους ἑκατέρους ἀντιπίπτειν πρὸς ἀμφοτέρας τὰς ἐπιβολάς, ἐπειδήπερ εἰσάγει μὲν εἰς τὸν Πόντον νότος, ἐξάγει δὲ βορέας, καὶ τούτοις ἀνάγκη χρῆσθαι πρὸς ἑκάτερον τὸν δρόμον τοῖς ἀνέμοις.

§ 73. **33. Ungunst der Thracischen Verhältnisse für Byzanz.**

Τὰ μὲν οὖν τὴν κατὰ θάλατταν εὐκαιρίαν ποιοῦντα Βυζαντίοις ταῦτ' ἔστι, τὰ δὲ τὴν κατὰ γῆν ἀκαιρίαν τὰ μέλλοντα ῥηθήσεσθαι. τῆς γὰρ Θρᾴκης κύκλῳ περιεχούσης αὐτῶν τὴν χώραν οὕτως, ὥστ' ἐκ θαλάττης εἰς θάλατταν καθήκειν, ἀίδιον ἔχουσι πόλεμον καὶ δυσχερῆ πρὸς τούτους. οὔτε γὰρ παρασκευασάμενοι καὶ κρατήσαντες αὐτῶν εἰσάπαξ ἀποτρίψασθαι τὸν πόλεμον οἷοί τ' εἰσὶ διὰ τὸ πλῆθος καὶ τῶν ὄχλων καὶ τῶν δυναστῶν· ἐὰν γὰρ ἑνὸς

---

3. *Κάμπτειν* (vgl. Homers *καμπύλα τόξα*) umbiegen, *flectere;* den Kurs ändern. — **7.** *Ἐπιβολή* Unternehmung, Vorhaben. — **8.** *Ἐπειδήπερ* da bekanntlich, da ja doch. — **13.** *Ταῦτά ἐστι* D (mit Hiatus!), *ταῦτ' ἔστι* BW. — **14.** *Περιέχειν* umgeben, umschliefsen. — **16.** *Ἀίδιος* ewig, unaufhörlich. — **17.** *Πρὸς τούτους*, als ob vorher *τῶν Θρᾳκῶν* statt *τῆς Θρᾴκης* gesagt sei. — **17.** *Οὔτε.* Dem entspricht *καὶ μὴν οὐδ'* (S. 149, 2). — **18.** *Εἰσάπαξ* ein für allemal. — **18.** *Ἀποτρίψασθαι* von sich abwischen, erledigen.

περιγένωνται, τρεῖς ἐπιβαίνουσιν ἐπὶ τὴν τούτων χώραν ἄλλοι βαρύτεροι δυνάσται. καὶ μὴν οὐδ' εἴξαντες καὶ συγκαταβάντες εἰς φόρους καὶ συνθήκας οὐδὲν ποιοῦσι πλέον· ἂν γὰρ ἑνὶ πρόωνταί τι, πενταπλασίους δι' αὐτὸ τοῦτο πολεμίους εὑρίσκουσι. διόπερ ἀιδίῳ συνέχονται καὶ δυσχερεῖ πολέμῳ· τί γὰρ ἐπισφαλέστερον ἀστυγείτονος καὶ βαρβάρου πολέμου; τί δεινότερον; οὐ μὴν ἀλλὰ τούτοις τὸ παράπαν κακοῖς παλαίοντες κατὰ γῆν, χωρὶς τῶν ἄλλων τῶν παρεπομένων τῷ πολέμῳ κακῶν, ὑπομένουσί τινα καὶ τιμωρίαν Ταντάλειον κατὰ τὸν ποιητήν· ἔχοντες γὰρ χώραν γενναιοτάτην, ὅταν διαπονήσωσι ταύτην καὶ γένηται τὸ τῶν καρπῶν πλῆθος τῷ κάλλει διαφέρον, κἄπειτα παραγενηθέντες οἱ βάρβαροι τοὺς μὲν καταφθείρωσι, τοὺς δὲ συναθροίσαντες ἀποφέρωσι, τότε δὴ χωρὶς τῶν ἔργων καὶ τῆς δαπάνης καὶ τὴν καταφθορὰν θεώμενοι διὰ τὸ κάλλος τῶν καρπῶν σχετλιάζουσι καὶ βαρέως φέρουσι τὸ συμβαῖνον.

---

3. *Συγκαταβάντες* (vgl. *descendere*) mit (ihnen) sich verstehen zu, sich einigen auf. — **3.** *Ποιοῦσι* wirken, erreichen. — **6.** *Ἀστυγείτων* stadtbenachbart, vor den Thoren. — **8.** *Παλαίειν* ringen. — **9.** *Παρέπεσθαι* an der Seite folgen, begleiten. — **10.** *Ποιητήν* Homer. Er beschreibt die schon im Altertum sprichwörtlichen ‚Tantalusqualen' in der Nekyia des Odysseus: λ 582 ff. — **11.** *Διαπονεῖν* durcharbeiten, gut (erfolgreich) bearbeiten. — **14.** *Χωρὶς* (abgesehen von) *τῶν ἔργων καὶ τῆς δαπάνης*. Auch der Römer sagt: *et operam et oleum perdidi*. — **16.** *Σχετλιάζειν* mifsmutig, verzweifelt, aufgebracht, empört sein.

IX. Latinerküste und Rom.

§ 74. **34. Die Küste von Latium.**

(Fig. 4).

Μετὰ τὴν ὑπώρειαν τῶν Ἄλπεων ἀρχὴ τῆς νῦν Ἰταλίας ἐστίν. ἐν δὲ μέσῃ τῇ πρός τήν τε Λιβύην καὶ τὴν Σαρδὼ τετραμμένῃ πλευρᾷ αὐτῆς ἡ Λατίνη κεῖται, ἐν ᾗ καὶ ἡ τῶν Ῥωμαίων πόλις, πολλὰς πόλεις συνειληφυῖα καὶ τῆς μὴ Λατίνης πρότερον. οἱ γὰρ Λατῖνοι κατ' ἀρχὰς μὲν ἦσαν ὀλίγοι· καὶ οἱ πλείους οὐ προσεῖχον Ῥωμαίοις. ὕστερον δὲ καταπλαγέντες τὴν ἀρετὴν τοῦ τε Ῥωμύλου καὶ τῶν μετ' ἐκεῖνον βασιλέων ὑπήκοοι πάντες

---

2. Der erste Absatz dieses Paragraphen ist aus einzelnen Sätzen der pp. 209, 228, 231 des Strabo und einigen eingeschobenen Worten im Anfang (*ἐστίν* bis *πλευρᾷ αὐτῆς*) zusammengestellt, um für das Folgende eine Einleitung zu finden. Zu Grunde liegt den §§ 74—77 der Meinekesche Text (Leipzig, Teubner 1866). — **4.** *Μετὰ τὴν ὑπώρειαν* nach den Vorbergen. Nur scheinbar ist *μετά* c. acc. hier räumlich gebraucht. Gedacht ist an ein Fortschreiten, das einen Punkt ‚nach' dem andern passiert. — **5.** *Ἰταλία* war 1. zunächst nur ein ethnographischer Begriff: Land der Italer, d. h. etwa Bruttien und Lucanien (so Thuc. VII 33); 2. dann ein politischer Begriff: römisches Italien, d. h. Land bis Rubicon und Macra (so die Römer bis Cäsar); 3. endlich ein geographischer Begriff: Italien bis zu den Alpen (so zuerst Polybios), ein Begriff, den die Römer seit Cäsar auch politisch acceptierten. — **6.** *Σαρδώ* Sardinien. — **7.** *Πόλεις* eingeschoben Sch. — **8.** *Μή* ist Negation der Abwehr: nicht etwa (beileibe nicht, nur ja nicht). — **9.** *Ὀλίγοι*: die 30 Städte der *prisci Latini.* Auch Latium heifst: 1. ethnographisch ‚Land der Latiner'; 2. politisch ‚Latium' im weiteren Sinne. — **9.** *Οὐ προσεῖχον sc. νοῦν* beachteten nicht, gehorchten nicht. Vorort war Albalonga. — **10.** *Καταπλαγέντες* trans. wie *φοβεῖσθαι.*

ὑπῆρξαν. καταλυθέντων δὲ τῶν τε Αἴκων καὶ τῶν Οὐόλσκων καὶ Ἑρνίκων, ἔτι δὲ πρότερον Ῥουτούλων τε καὶ Ἀβοριγίνων ἡ τούτων χώρα Λατίνη προσηγόρευται πᾶσα.

Νυνὶ μὲν οὖν ἡ παραλία μέχρι πόλεως Σινοέσσης ἀπὸ τῶν Ὠστίων Λατίνη καλεῖται, πρότερον δὲ μέχρι τοῦ Κιρκαίου μόνον ἐσχήκει τὴν ἐπίδοσιν. ἅπασα δ' ἐστὶν εὐδαίμων καὶ παμφόρος, πλὴν ὀλίγων χωρίων τῶν κατὰ τὴν παραλίαν, ὅσα ἑλώδη καὶ νοσερά, οἷα τὰ τῶν Ἀρδεατῶν καὶ τὰ μεταξὺ Ἀντίου καὶ Λανουίου μέχρι Πωμεντίνου καί τινων τῆς Σητίνης χωρίων καὶ τῆς περὶ Ταρρακῖναν καὶ τὸ Κιρκαῖον ἢ εἴ τινα ὀρεινὰ καὶ πετρώδη· καὶ ταῦτα δ' οὐ τελέως ἀργὰ οὐδ' ἄχρηστα, ἀλλὰ νομὰς παρέχει δαψιλεῖς ἢ ὕλην ἢ καρπούς τινας ἑλείους ἢ πετραίους· τὸ δὲ Καίκουβον ἑλῶδες ὂν εὐοινοτάτην ἄμπελον τρέφει τὴν δενδρῖτιν.

Πόλεις δ' ἐπὶ θαλάττῃ μὲν τῶν Λατίνων εἰσὶ τά τε Ὤστια, πόλις ἀλίμενος διὰ τὴν πρόσχωσιν, ἣν ὁ Τίβερις

---

1. Ὑπῆρξαν sie wurden. — **1.** *Καταλυθέντων δὲ* ... nach Vernichtung (Unterwerfung) der Äquer, Volsker, Herniker, Rutuler, Aboriginer. — **4.** Der zweite Absatz dieses Paragraphen besteht aus Stücken der p. 231 des Strabo. — **4.** *Παραλία* Küstenstrich. — **6.** Ἐπίδοσις Zunahme, Ausdehnung. — **7.** *Πάμφορος* in jeder Beziehung fruchtbar. — **8.** Ἑλώδη sumpfig, *νοσερά* ungesund. — **12.** *Καί δέ* und auch (*δὲ καί* aber auch). — **12.** Ἀργός (= ἄεργος) unbearbeitet, unbebaut. — **13.** *Δαψιλής* reichlich, üppig. — **13.** Ἕλειος *ἢ πετραῖος* im Sumpf oder auf Felsen wachsend. — **14.** Das *Caecubum vinum* kennt man aus Horaz. — **15.** *Δενδρῖτις* an Bäumen (Ulmen) aufrankend. — **16.** Der dritte Absatz dieses Paragraphen ist der Schlufs der p. 231 und Stücke der p. 232 des Strabo. — **17.** Ὤστια liegt jetzt reichlich eine Stunde weit von der Küste. — **17.** *Πρόσχωσις* An-

παρασκευάζει πληρούμενος ἐκ πολλῶν ποταμῶν· παρακινδύνως μὲν οὖν ὁρμίζονται μετέωρα ἐν τῷ σάλῳ τὰ ναυκλήρια, τὸ μέντοι λυσιτελὲς νικᾷ· καὶ γὰρ ἡ τῶν ὑπηρετικῶν σκαφῶν εὐπορία τῶν ἐκδεχομένων τὰ φορτία καὶ ἀντιφορτιζόντων ταχὺν ποιεῖ τὸν ἀπόπλουν, πρὶν ἢ τοῦ ποταμοῦ ἅψασθαι, καὶ μέρους ἀποκουφισθέντος εἰσπλεῖ καὶ ἀνάγεται μέχρι τῆς Ῥώμης, σταδίους ἑκατὸν ἐνενήκοντα. κτίσμα δ' ἐστὶ τὰ Ὤστια Ἄγκου Μαρκίου. αὕτη μὲν ἡ πόλις τοιαύτη. ἑξῆς δ' ἐστὶν Ἄντιον, ἀλίμενος καὶ αὐτὴ πόλις· ἵδρυται δ' ἐπὶ πέτραις, διέχει δὲ τῶν Ὠστίων περὶ διακοσίους ἑξήκοντα σταδίους.

§ 75. *Μετὰ δὲ Ἄντιον τὸ **Κιρκαῖόν** ἐστιν ἐν διακοσίοις καὶ ἐνενήκοντα σταδίοις, ὄρος νησίζον θαλάττῃ τε καὶ ἕλεσι· φασὶ δὲ καὶ πολύρριζον εἶναι, τάχα τῷ μύθῳ τῷ περὶ τῆς Κίρκης συνοικειοῦντες. ἔχει δὲ πολίχνιον καὶ Κίρκης ἱερὸν καὶ Ἀθηνᾶς βωμόν, δείκνυσθαι δὲ καὶ φιάλην*

---

schüttung. Die sonst tiefblaue See ist an der Tibermündung, fast soweit das Auge reicht, durch den *flavus Tiberis* schmutzig gelb gefärbt. — **2.** *Παρακινδύνως* mit Gefahr. — **2.** *Μετέωρος* auf hoher See. Vgl. Thuc. I 48 *ναῦς μετεώρους*. — **2.** *Ἐν τῷ σάλῳ* in der unruhigen See. — **3.** *Ναυκλήριον* Frachtschiff. — **4.** *Ὑπηρετικὰ σκάφη* Ruderschiffe (v. *ἐρέσσω*). — **4.** *Εὐπορία* leichte Beschaffung, Beweglichkeit, Bequemlichkeit. — **4.** *Φορτία* Lasten, Waren. — **6.** *Ἀποκουφίζειν* eig. erleichtern, hier: auspacken, abladen. — **6.** *Εἰσπλεῖ* sc. *τὰ σκάφη*. — **8.** *Ἑκατὸν ἐνενήκοντα*, also eine Wagenfahrt von etwa $2^1/_2$ Stunde. — **10.** *Καὶ αὐτή* auch ihrerseits. — **12.** Dieser Paragraph besteht aus Teilen der pp. 232, 233, 234 des Strabo. — **13.** *Νησίζειν* eine Insel bilden. — **14.** *Πολύρριζος* reich an Wurzeln. — **15.** *Συνοικειοῦν* in Verbindung (Zusammenhang) bringen. — **16.** *Φιάλη* Schale.

'Ρωμαίοις ἀσσάριον, Deminutiv von *axis*, *ἰούγερον iugerum*, *μιλιάριον miliarium* neben *μίλιον* aus *milia (passuum)*; und aus dem Neuen Testamente: *κῆνσος, κηντουρίων, σουδάριον census, centurio, sudarium*. Anders die Römer. Ihre Fremdwörtersucht verspottete schon Varro. Beispiele aus § 125: *machina, emboli, torni;* aus § 62 sq.: *sacoma, balineum;* aus § 101: *scaphium, phellos, tympanum, parerga, parastatica, horologia, analemma;* aus § 104 sqq.: *gnomon, centrum, hemicyclium, mathematicus, horizon, diametroe, axon, paralleloe, logotomus, menaeus.*

§ 46. 17. Bemerkungen zur Grammatik. Vielleicht erleichtern die folgenden Regeln über gewisse Wortbildungen und Zusammensetzungen, Stellungen und Bedeutungen das Verstehen und Behalten der Texte oder Vokabeln. A. Wortbildungen: 1. Verba auf *οῦν* kommen von Nomina auf *ος* und bedeuten: machen (das oder dazu), was das Nomen heifst. Beispiele: *τυλοῦν* (Herod. VII 63), *ἐνηλοῦν* (72), *δηλοῦν* (72), *κενοῦν* (115), *στεγνοῦν* (77. 115), *ἰσοῦν* (84), *κοινοῦν* (91), *στρεβλοῦν* (97 G), *πυκνοῦν* (97 I), *κληροῦν* (98 D), *λειοῦν* (= *σμηρίζειν* 118), *ῥομβοῦν* (72). Seltener sind andere Ableitungen oder Bedeutungen: *ἀποσφηνοῦν* (88), *ὀδοντοῦν* (89), *χηλοῦν* (92), *πληροῦν* (68. 96 E. 119), *κληροῦν* (96 D)

---

1. Klappenventil: Pneumat. I 10. — **2.** *Jugerum*: Tab. metr. Heron. I, ed. Hultsch p. 182. — **2.** *Μιλιάριον*: Pneumat. II 34. *Μίλιον*: Tab. metr. I p. 182. — **5.** Varr. r. rust. II praef. 2: *nec putant se habere villam, si non multis vocabulis retineant graecis, quom vocent particulatim loca: palaestram, peristylon, peripheron*, etc. Vgl. III 3, 7. III 10, 1.

und andere. — 2. Verbalsubstantiva auf *σις* und *μα* bezeichnen, jene die Handlung des Verbs, diese Erzeugnis, Mittel oder Objekt der Thätigkeit. So heifst *ἡ χρῆσις* ‚das Gebrauchen', *τὸ χρῆμα* ‚das gebrauchte Ding'; so *ἡ κτῆσις* ‚das Erwerben', *τὸ κτῆμα* ‚der erworbene Besitz'. Beispiele: *ἐνήλωσις* (72), *χρύχωσις* (72), *κένωσις* (94), *ξύλωσις* (75), *μάθησις* (60), *ἀπόδειξις* (60), *εἴσκρισις* (117); *μηχάνημα* (49. 80), *κατασκεύασμα* (50), *τόλμημα* (52), *στράτηγημα* (52), *γόμφωμα* (57), *ζεῦγμα* (57), *σύγγραμμα* (59), *τμῆμα* (55), *φρόνημα* (59), *ἄλειμμα* (60), *πρόβλημα* (55), *παράδειγμα* (55), *τόξευμα* (57), *ὀρόφωμα* (72), *φάτνωμα* (80), *κατάστρωμα* (80). Selten macht diese Ableitung oder Bedeutung Schwierigkeiten: *κλίμα* (II 62), *ἀπόστημα* (50), *σῶμα* (59), *σχῆμα* (60) und andere. — 3. Verbale Substantiva auf *εία* sind Paroxytona, nominale auf *εια* sind Proparoxytona. Jene kommen von Verben auf *εύω*, diese von Nomina auf *ος*, *ης* oder *ευς*. So heifst *ἡ βασίλεια* die Frau des *βασιλεύς*, aber *βασιλεία* Gebiet oder Würde des *βασιλεύειν*. Beispiele: *περιφέρεια* (I 32), *ξυλεία* (69), *φυτεία* (78), *εὐπρέπεια* (119). Man denke an *Πατρόκλεια*, *ἀριστεία*, *Βοιώτεια*, *πρεσβεία*, *Ὀδύσσεια* und andere Homer betreffende Vokabeln. — 4. Werden Nomina Eigennamen, so ändern sie den Accent. Beispiele: *Ἀθήναιος* neben *Ἀθηναῖος* (41), *Ἄρατος* (*Ἄρητος* *P* 494) neben *ἀρατός* (II 14). Man denke an *Κλεῖτος*, *Γλαῦκος*, *Λεῦκος* (*Δ* 491),

---

22. Vgl. B. 1, S. 114.

᾿Ιαμενός (*M* 193), ᾿Ακουμενός (Plat. Sympos. 176 B), ᾿Ακεσσαμενός (*Φ* 142), Διιτρέφης (Thuc. VII 29), ᾿Αξιός (*Φ* 141), Ξάνθος (*Y* 40), ᾿Αρέτη (Plut. Dion. 6), Δικαῖος (Herod. VIII 65), Φρόντις (*P* 40). Also heiſst der alte Logograph vielleicht dorisch Ἑλλάνικος für Ἑλληνικός. Etc. — B. Zusammensetzungen: 1. Transitive Verba werden mit ihrem Objekt oft so zusammengesetzt, daſs das Verbum voransteht. Wir: Beutetreibend, Homer: ἀγέλεια (= ἄγουσα λείαν). Beispiele: ἑλέπολις (75), κλέψυδρα (28). Natürlich ist auch die umgekehrte Stellung möglich: θαλαμηγός (70), σιτηγός (75), ναυπηγός (76), βαροῦλκος (33 A). — 2. Wird ein gutturaler oder labialer Verbalstamm mit folgendem Objekt zusammengesetzt, so wird dem Auslaut des Stammes ein σ angeschoben. So ῥιψαυχήν aus ῥίπτειν αὐχένα, so πλήξιππος aus πλήσσειν ἵππους. Beispiel: κλεψύδρα (28). — 3. Wird umgekehrt vor einen vokalisch anlautenden Stamm das Objekt durch Zusammensetzung angefügt, so wird oft der Anlaut des Stammes gesteigert. Beispiele: θαλαμηγός von ἄγειν (70), σιτηγός (75). Vgl. ἀγωγή, σιταγωγός (Herod. VII 149), κατηγορεῖν. — 4. Lateinische Adjectiva composita von Nomina auf *us, a, um* sind oft heteroklitisch: *imbellis* von *bellum*, *implumis* von *pluma;* ferner *inermis, insignis, proclivis* (54). —

§ 47. Einiges ist zu bemerken über die: C. Stellung der Attribute: 1. Betonte Attribute stehen prädikativ. Wir sagen: ‚Auf dem nördlichen Wendekreis vollendet die Sonne den längsten Tag'; der Grieche: μεγίστην τὴν

ἡμέραν. Grund: Der Grieche denkt in zwei Sätzen ‚der Tag, den die Sonne da vollendet, ist der längste'. So bildet das Attribut die eigentliche Aussage, wird also als Prädikat empfunden und gestellt. Beispiel: *διὰ στενοῦ τοῦ αὐλοῦ* (94 fin.). Folge: Adjektiva, die ihrer Bedeutung nach stets den Ton haben, stehen stets prädikativ. So *πᾶς, ἕκαστος, οὗτος, ἐκεῖνος*. — 2. Haben Attribute Bestimmungen bei sich, so stehen diese oft prädikativ. So Herodot (VII 55): *ὁ σύμμικτος στρατὸς παντοίων ἐθνέων*. Beispiel: *Τὸ μεταξὺ* (*sc. διάστημα* der Zwischenraum) *τούτων τῶν τμημάτων* (103). Diese Stelle ist unnötigerweise geändert worden. — Endlich: D. Bedeutung der Wörter. Sie erleidet im Laufe sprachlicher Entwicklung vielfach eine Abschwächung, Verblassung, Verallgemeinerung. Wir würden unbedenklich von ‚goldenen Stahlfedern' reden. Homer aber nennt die Hundsfellkappe ‚aus Ziegenfell'. So werden Ausdrücke von verschiedener, aber verwandter Bedeutung ausgeglichen, wie wenn man Erhebungen des Terrains abtragen wollte. Wir nennen den Vorgang ‚Nivellierung der Synonyma'. Beispiele: *εὔκαιρος* zweckmässig (II 67), *χορηγεῖν* ausstatten (II 135), *χορηγός* (52), *χορηγία* (72), *εὐφυΐα* (60), *ἀφυής* (II 134), *εὐμαρῶς* (48), *τὸ λεγόμενον* = *τοῦτο* (48), *ὁ προειρημένος* = *οὗτος* (48), *πλήν* indessen (48), *ὁλοσχερῶς* (50), *δυσχερῶς* (114), *δυσχέ*-

---

1. Vgl. B. 2, S. 62. — **17.** *Αἰγείην κυνέην* (ω 230). — **20.** Vgl. B. 2, S. 134.

ρεια (52), δυςπειθής = δυςκίνητος (64 fin.), σκάφος (68), κατάγειος (70), ὑπογυίως (75), κεραμίδες aus Blei (76), οἰκονομία (43).

II. Texte.

D. Leben und Leisten des Archimedes.

18. Die Verteidigung von Syrakus (Fig. 1).

a) Nach Polybios.

§ 48. *Οἱ Ῥωμαῖοι πολιορκοῦντες τοὺς Συρακοσίους ἔργου εἴχοντο. Ἄππιος δ' ἦν ἡγεμών. Καὶ ἑτοιμασάμενοι γέρρα τε καὶ βέλη καὶ τἄλλα τὰ πρὸς τὴν πολιορκίαν, ἐν ἡμέραις πέντε διὰ τὴν πολυχειρίαν ἤλπισαν καταταχήσειν τῇ παρασκευῇ τοὺς ὑπεναντίους, οὐ λογισάμενοι τὴν Ἀρχιμήδους δύναμιν οὐδὲ προϊδόμενοι, διότι μία ψυχὴ τῆς ἁπάσης ἐστὶ πολυχειρίας ἐν ἐνίοις καιροῖς ἀνυστικωτέρα. πλὴν τότε δι' αὐτῶν ἔγνωσαν τῶν ἔργων τὸ λεγόμενον. οὔσης γὰρ ὀχυρᾶς τῆς πόλεως διὰ τὸ κεῖσθαι κύκλῳ τὸ τεῖχος ἐπὶ τόπων ὑπερδεξίων καὶ προκειμένης ὀφρύος,*

---

8. Polyb. ed. Dindorf (D) VIII 5—9; ed. Büttner-Wobst (BW) VIII 3—7. Die Reihenfolge der Berichte ist die chronologische: Polybios (um — 130), Livius (um — 18), Plutarch (um + 100). — **9.** *Ἔχεσθαί τινος* sich dranhalten. — **9.** *Γέρρον* Weidengeflecht; geflochtene Schilde: Herod. VII 61. IX 61. 62. 99. — **11.** *Ἤλπισαν* BW, *κατήλπισαν* D. *Καταταχεῖν* schnell überrumpeln. — **14.** *Ἀνυστικός* (v. *ἀνύτω* vollenden) wirksam, erfolgreich. — **15.** *Πλήν* (aufser) indessen. — **16.** *Ὀχυρός* fest. — **17.** *Ὑπερδέξιος* (über der rechten Seite gelegen) vorteilhaft, überlegen: S. 103, 6. — **17.** *Ὀφρύς* (Augenbraue) Rand.

πρὸς ἥν, καὶ μηδενὸς κωλύοντος, οὐκ ἂν εὐμαρῶς τις δύναιτο πελάσαι, πλὴν κατά τινας τόπους ὡρισμένους, τοιαύτην ἡτοίμασε παρασκευὴν ὁ προειρημένος ἀνὴρ ἐντὸς τῆς πόλεως, ὁμοίως δὲ καὶ πρὸς τοὺς κατὰ θάλατταν ἐπιπορευομένους, ὥστε μηδὲν ἐκ τοῦ καιροῦ δεῖν ἀσχολεῖσθαι τοὺς ἀμυνομένους, πρὸς πᾶν δὲ τὸ γινόμενον ὑπὸ τῶν ἐναντίων ἐξ ἑτοίμου ποιεῖσθαι τὴν ἀπάντησιν. πλὴν ὁ μὲν Ἄππιος ἔχων γέρρα καὶ κλίμακας ἐνεχείρει προσφέρειν ταῦτα τῷ συνάπτοντι τείχει τοῖς Ἑξαπύλοις ἀπὸ τῶν ἀνατολῶν.

Ὁ δὲ Μάρκος ἑξήκοντα σκάφεσι πεντηρικοῖς ἐποιεῖτο § 49.
τὸν ἐπίπλουν ἐπὶ τὴν Ἀχραδινήν, ὧν ἕκαστον πλῆρες ἦν ἀνδρῶν ἐχόντων τόξα καὶ σφενδόνας καὶ γρόσφους, δι' ὧν ἔμελλον τοὺς ἀπὸ τῶν ἐπάλξεων μαχομένους ἀναστέλλειν. ἅμα δὲ τούτοις ὀκτὼ πεντήρεσι, παραλελυμέναις τοὺς ταρσούς, ταῖς μὲν τοὺς δεξιούς, ταῖς δὲ τοὺς εὐωνύμους,

1. *Εὐμαρής* (handlich) bequem, leicht. — **3.** *Ἑτοιμάζειν* bereit stellen, schaffen. — **5.** *Ἐκ τοῦ καιροῦ* erst infolge der gegebenen Gelegenheit, wenn Not an Mann war, unvorhergesehen, plötzlich. — **6.** *Ἀσχολεῖσθαι* beschäftigt werden, an die Arbeit gehen. — **6.** *Ὑπό τινος* seitens. — **7.** *Ἐξ ἑτοίμου* auf Grund einer Vorbereitung, schlagfertig. — **7.** *Ἡ ἀπάντησις* das Entgegentreten, die Erwiderung, Antwort. *Ποιεῖσθαι τὴν ἀ. πρός τι* darauf dienen. — **8.** *Κλῖμαξ* (*ἡ*) Leiter. — **9.** *Ἑξάπυλα* (oder *-ον*) Nordthor von Syrakus. — **11.** M. Claudius Marcellus belagert Syrakus seit —214, App. Claudius Pulcher ist Konsul des Jahres —212. — **11.** *Πεντηρικά* § 14. — **12.** *Ἀχραδινή* Vorstadt von Syrakus. — **13.** *Γρόσφος* Lanze (S. 109, 9). — **14.** *Ἔπαλξις* Brustwehr. — **14.** *Ἀναστέλλειν* (zurückschicken) beseitigen. — **15.** *Παραλελυμένος τοὺς ταρσούς* befreit vom Ruderwerk (*ὁ ταρσὸς = ἡ εἰρεσία*).

καὶ συνεζευγμέναις πρὸς ἀλλήλας σύνδυο κατὰ τοὺς ἐψιλωμένους τοίχους, προσῆγον πρὸς τὸ τεῖχος διὰ τῆς τῶν ἐκτὸς τοίχων εἰρεσίας τὰς λεγομένας σαμβύκας. τὸ δὲ γένος τῆς κατασκευῆς τῶν εἰρημένων ὀργάνων ἐστὶ τοιοῦτον. κλίμακα τῷ πλάτει τετράπεδον ἑτοιμάσαντες, ὥστ' ἐξ ἀποβάσεως ἰσοϋψῆ γενέσθαι τῷ τείχει, ταύτης ἑκατέραν τὴν πλευρὰν δρυφακτώσαντες καὶ σκεπάσαντες ὑπερπετέσι θωρακίοις, ἔθηκαν πλαγίαν ἐπὶ τοὺς συμψαύοντας τοίχους τῶν συνεζευγμένων νεῶν, πολὺ προπίπτουσαν τῶν ἐμβόλων. πρὸς δὲ τοῖς ἱστοῖς ἐκ τῶν ἄνω μερῶν τροχιλίαι προσήρτηντο σὺν κάλοις. λοιπὸν ὅταν ἐγγίσωσι τῆς χρείας, ἐνδεδεμένων τῶν κάλων εἰς τὴν κορυφὴν τῆς κλίμακος, ἕλκουσι διὰ τῶν τροχιλιῶν τούτους ἑστῶτες ἐν ταῖς πρύμναις· ἕτεροι δὲ παραπλησίως ἐν ταῖς πρῴραις ἐξερείδοντες ταῖς ἀντηρίσιν ἀσφαλίζονται τὴν ἄρσιν τοῦ μηχανήματος· κἄπειτα διὰ τῆς εἰρεσίας τῆς ἀφ' ἑκατέρου τῶν ἐκτὸς ταρσῶν ἐγγίσαντες τῇ γῇ τὰς ναῦς, πειράζουσι προσ-

---

1. *Σύνδυο* je zwei. — **2.** *Ἐψιλωμένοι τοῖχοι* (der Ruder) entblöſste (Bord-)Wände. — **5.** *Τετράπεδος* von 4 Fuſs. — **6.** *Ἐξ ἀποβάσεως* unmittelbar am Abstieg, d. h. am oberen Ende; *ἰσοϋψής* (v. *τὸ ὕψος*) gleichhoch. — **7.** *Δρυφακτοῦν* einzäunen, verschanzen; *σκεπάζειν* decken. *Ὑπερπετὴς* überhängend, über den Kopf gehend; *θωράκιον* Brustwehr. — **8.** *Πλάγιος* schräg. — **8.** *Συμψαύειν* sich berühren. — **9.** *Ἔμβολος = ἔμβολον* Rammsporn (§ 14). — **10.** *Ἱστός* Mast. — **10.** *Τροχιλία* Haspel, Rolle, Winde. *Προσαρτᾶν* anhängen. *Κάλοι* (pl. v. *κάλως*) Taue. — **11.** *Ἐγγίζειν* (intr. nahen) *τῆς χρείας* (Bedürfnis) gebraucht werden sollen. — **14.** *Πρύμνα* Hinterschiff. — **15.** *Ἐξερείδειν* emporstemmen; *ἀντηρίς* Strebe, Stütze. — **15.** *Ἀσφαλίζειν* oder *-ίζεσθαι* (med.) sichern; *ἄρσις* (v. *αἴρω*) Aufrichtung. *Ἀσφαλίζουσι* D, *ἀσφαλίζονται* BW. — **17.** *Ἐγγίζειν* tr. annähern.

ερείδειν τῷ τείχει τὸ προειρημένον ὄργανον. ἐπὶ δὲ τῆς κλίμακος ἄκρας ὑπάρχει πέτευρον ἠσφαλισμένον γέρροις τὰς τρεῖς ἐπιφανείας, ἐφ' οὗ τέτταρες ἄνδρες ἐπιβεβηκότες ἀγωνίζονται, διαμαχόμενοι πρὸς τοὺς εἴργοντας ἀπὸ τῶν ἐπάλξεων τὴν πρόσθεσιν τῆς σαμβύκης. ἐπὰν δὲ προσερείσαντες ὑπερδέξιοι γένωνται τοῦ τείχους, οὗτοι μὲν τὰ πλάγια τῶν γέρρων παραλύσαντες ἐξ ἑκατέρου τοῦ μέρους ἐπιβαίνουσιν ἐπὶ τὰς ἐπάλξεις ἢ τοὺς πύργους. οἱ δὲ λοιποὶ διὰ τῆς σαμβύκης ἕπονται τούτοις, ἀσφαλῶς τοῖς κάλοις βεβηκυίας τῆς κλίμακος εἰς ἀμφοτέρας τὰς ναῦς. εἰκότως δὲ τὸ κατασκεύασμα τῆς προσηγορίας τέτευχε ταύτης· ἐπειδὰν γὰρ ἐξαρθῇ, γίνεται τὸ σχῆμα τῆς νεὼς ταύτης καὶ τῆς κλίμακος ἑνοποιηθὲν παραπλήσιον σαμβύκῃ.

§ 50. *Πλὴν οὗτοι μὲν τὸν τρόπον τοῦτον διηρμοσμένοι προσάγειν διενοοῦντο τοῖς πύργοις· ὁ δὲ προειρημένος ἀνήρ, παρεσκευασμένος ὄργανα πρὸς ἅπαν ἐμβελὲς διάστημα, πόρρωθεν μὲν ἐπιπλέοντας τοῖς εὐτονωτέροις καὶ μείζοσι λιθοβόλοις καὶ βέλεσι τιτρώσκων εἰς ἀπορίαν ἐνέβαλε καὶ δυσχρηστίαν, ὅτε δὲ ταῦθ' ὑπερπετῆ γίνοιτο, τοῖς ἐλάττοσι κατὰ λόγον ἀεὶ πρὸς τὸ παρὸν ἀπόστημα χρώμενος εἰς*

---

2. *Πέτευρον* = *πέταυρον* Latte, Platte. — **3.** *Βεβηκώς* stehend (B. 1, S. 35, 4). — **6.** *Ὑπερδέξιος* überragend (S. 100, 17). — **7.** *Πλάγιος* seitlich. — **11.** *Εἰκότως* begreiflicherweise. — **13.** *Ἑνοποιεῖν* vereinigen, zusammennehmen. — **13.** *Σαμβύκη* dreieckiges Saiteninstrument, Harfe. — **16.** *Ἐμβελὲς* (innerhalb des Schusses) *διάστημα* Wurfweite. — **17.** *Εὔτονος* stramm gespannt; *λιθοβόλα sc. ὄργανα* Geschütze: § 17 ff. § 86. — **19.** *Δυσχρηστία* Unbrauchbarkeit, Unbehilflichkeit. — **19.** *Ὑπερπετής* darüber hinausfliegend, zu weit tragend. — **20.** *Κατὰ λόγον* nach Verhältnis, entsprechend.

τοιαύτην ἤγαγε διατροπήν, ὥστε καθόλου κωλύειν αὐτῶν τὴν ὁρμὴν καὶ τὸν ἐπίπλουν, ἕως ὁ Μάρκος δυσθετούμενος ἠναγκάσθη λάθρᾳ νυκτὸς ἔτι ποιήσασθαι τὴν παραγωγήν. γενομένων δ' αὐτῶν ἐντὸς βέλους πρὸς τῇ γῇ, πάλιν ἑτέραν ἡτοιμάκει παρασκευὴν πρὸς τοὺς ἀπομαχομένους ἐκ τῶν πλοίων. ἕως ἀνδρομήκους ὕψους κατεπύκνωσε τρήμασι τὸ τεῖχος ὡς παλαιστιαίοις τὸ μέγεθος κατὰ τὴν ἐκτὸς ἐπιφάνειαν· οἷς τοξότας καὶ σκορπίδια παραστήσας ἐντὸς τοῦ τείχους καὶ βάλλων διὰ τούτων, ἀχρήστους ἐποίει τοὺς ἐπιβάτας. ἐξ οὗ καὶ μακρὰν ἀφεστῶτας καὶ σύνεγγυς ὄντας τοὺς πολεμίους οὐ μόνον ἀπράκτους παρεσκεύαζε πρὸς τὰς ἰδίας ἐπιβολάς, ἀλλὰ καὶ διέφθειρε τοὺς πλείστους αὐτῶν. ὅτε δὲ τὰς σαμβύκας ἐγχειρήσαιεν ἐξαίρειν, ὄργανα παρ' ὅλον τὸ τεῖχος ἡτοιμάκει, τὸν μὲν λοιπὸν χρόνον ἀφανῆ, κατὰ δὲ τὸν τῆς χρείας καιρὸν ἐκ τῶν ἔσω μερῶν ὑπὲρ τοῦ τείχους ἀνιστάμενα καὶ προπίπτοντα πολὺ τῆς ἐπάλξεως ταῖς κεραίαις· ὧν τινὰ μὲν ἐβάσταζε λίθους οὐκ ἐλάττους δέκα ταλάντων, τινὰ δὲ σηκώματα μολύβδινα. λοιπὸν ὅτε συνεγ-

---

1. *Διατροπή* Bestürzung. — **3.** *Δυσθετεῖν* schlecht stimmen, böse machen. — **4.** *Παραγωγή* Anfahrt, Landung. — **6.** *Ἕως ἀνδρομήκους (v. τὸ μῆκος) ὕψους* bis Mannshöhe. — **7.** *Καταπυκνοῦν* dicht anfüllen; *τρῆμα* Loch, Schiefsscharte: § 32 C. — **7.** *Παλαιστή* = 4 *δάκτυλοι* = 7,71 cm = 1/4 Fufs. — **8.** *Σκορπίδια* kleine Geschütze. — **10.** *Ἄχρηστος* unbrauchbar, unverwendbar. — **10.** *Ἐπιβάται* Schiffssoldaten. — **12.** *Ἄπρακτος* unwirksam. — **12.** *Ἐπιβολαί* Angriffe. — **13.** *Ὅτε* so oft als, für alle Fälle wo. — **14.** *Ἐγχειρεῖν* daran gehen. — **17.** *Κεραία* Krahnbalken. — **18.** *Βαστάζειν* hochheben. — **19.** *Δέκα τάλαντα* 262 Kilogr. = 5 1/4 Ctr. — **19.** *Σήκωμα*

γίζοιεν αἱ σαμβῦκαι, τότε περιαγόμεναι καρχησίῳ πρὸς τὸ δέον αἱ κεραῖαι διά τινος σχαστηρίας ἀφίεσαν εἰς τὸ κατασκεύασμα τὸν λίθον· ἐξ οὗ συνέβαινε μὴ μόνον αὐτὸ συνθραύεσθαι τοὔργανον, ἀλλὰ καὶ τὴν ναῦν καὶ τοὺς ἐν αὐτῇ κινδυνεύειν ὁλοσχερῶς.

§ 51. Τινά τε τῶν μηχανημάτων πάλιν ἐπὶ τοὺς ἐφορμοῦντας καὶ προβεβλημένους γέρρα καὶ διὰ τούτων ἠσφαλισμένους πρὸς τὸ μηδὲν πάσχειν ὑπὸ τῶν διὰ τοῦ τείχους φερομένων βελῶν, ἠφίει μὲν καὶ λίθους συμμέτρους πρὸς τὸ φεύγειν ἐκ τῆς πρῴρας τοὺς ἀγωνιζομένους, ἅμα δὲ καὶ καθίει χεῖρα σιδηρᾶν ἐξ ἁλύσεως δεδεμένην, ᾗ δραξάμενος ὁ τὴν κεραίαν οἰακίζων, ὅθεν ἐπιλάβοιτο τῆς πρῴρας, κατῆγε τὴν πτέρναν τῆς μηχανῆς ἐντὸς τοῦ τείχους. ὅτε δὲ κουφίζων τὴν πρῴραν ὀρθὸν ποιήσειε τὸ σκάφος ἐπὶ πρύμναν, τὰς μὲν πτέρνας τῶν ὀργάνων εἰς ἀκίνητον καθῆπτε, τὴν δὲ χεῖρα καὶ τὴν ἅλυσιν ἐκ τῆς μηχανῆς ἐξέρραινε διά τινος σχαστηρίας. οὗ γενομένου τινὰ μὲν τῶν πλοίων πλάγια κατέπιπτε, τινὰ δὲ καὶ κατεστρέφετο, τὰ δὲ πλεῖστα τῆς πρῴρας ἀφ' ὕψους ῥιφθείσης βαπτι-

---

Gewicht; *μολύβδινος* aus Blei. — **1.** *Καρχήσιος sc. κάλως* Tau am Toppende (*καρχήσιον* Mastkorb, Topp). — **2.** *Σχαστηρία* Abzug (§ 87 f.). — **5.** *Ὁλοσχερής* völlig, gänzlich (*ὁ σχερός* festes Land). — **9.** *Σύμμετρος πρὸς* entsprechend, grofs genug um. — **11.** *Χείρ*, eine Art *harpăgo*, Widerhaken. Curt. IV 9, 12: *ferreae manus (harpagonas vocant)*. — **11.** *Ἅλυσις* Kette. — **12.** *Δράσσεσθαι* fassen. — **12.** *Οἰακίζειν* handhaben (*ὁ οἴαξ* Griff des Steuers). — **13.** *Πτέρνα* (Ferse) hinteres Ende. — **14.** *Κουφίζειν* anheben. — **15.** *Εἰς ἀκίνητον καθάπτειν* (unbeweglich) festbinden. — **17.** *Ἐκραίνειν* (ausspritzen) schnell loslassen.

ζόμενα πλήρη θαλάττης ἐγίνετο καὶ ταραχῆς. Μάρκος δὲ δυσχρηστούμενος ἐπὶ τοῖς ἀπαντωμένοις ὑπ' Ἀρχιμήδους καὶ θεωρῶν μετὰ βλάβης καὶ χλευασμοῦ τοὺς ἔνδον ἀποτριβομένους αὐτοῦ τὰς ἐπιβολάς, δυσχερῶς μὲν ἔφερε τὸ συμβαῖνον, ὅμως δ' ἐπισκώπτων τὰς αὐτοῦ πράξεις ἔφη ταῖς μὲν ναυσὶν αὐτοῦ κυαθίζειν ἐκ θαλάττης Ἀρχιμήδη, τὰς δὲ σαμβύκας ῥαπιζομένας ὥσπερ ἐκσπόνδους μετ' αἰσχύνης ἐκπεπτωκέναι. καὶ τῆς μὲν κατὰ θάλατταν πολιορκίας τοιοῦτον ἀπέβη τὸ τέλος.

§ 52. Οἱ δὲ περὶ τὸν Ἄππιον εἰς παραπλησίους ἐμπεσόντες δυσχερείας ἀπέστησαν τῆς ἐπιβολῆς. ἔτι μὲν γὰρ ὄντες ἐν ἀποστήματι τοῖς τε πετροβόλοις καὶ καταπέλταις τυπτόμενοι διεφθείροντο, διὰ τὸ θαυμάσιον εἶναι τὴν τῶν βελῶν κατασκευὴν καὶ κατὰ τὸ πλῆθος καὶ κατὰ τὴν ἐνέργειαν, ὡς ἂν Ἱέρωνος μὲν χορηγοῦ γεγονότος, ἀρχιτέκτονος δὲ καὶ δημιουργοῦ τῶν ἐπινοημάτων Ἀρχιμήδους. συνεγγίζοντές γε μὴν πρὸς τὴν πόλιν οἱ μὲν ταῖς διὰ τοῦ

---

2. *Ἀπαντᾶν* trans. widerfahren lassen. — **3.** *Χλευασμός* Verspottung. — **3.** *Τοὺς ἔνδον* = *τοὺς ἀμυνομένους* (S. 101, 6) die Verteidiger; *ἀποτρίβειν* abreiben, med. von sich abwischen, vereiteln. — **4.** *Δυσχερής* unhandlich (*χείρ*), schwierig; *δυσχερῶς* (= *χαλεπῶς*) *φέρειν* unwillig sein. — **5.** *Ἐπισκώπτειν τι* verspotten, sich lustig machen über. — **6.** *Κυαθίζειν* zechen. — **7.** *Ῥαπίζειν* peitschen, ohrfeigen. — **8.** *Ἐκπίπτειν* ans Land verschlagen werden. — **12.** *Πετροβόλα* = *λιθοβόλα* sc. *ὄργανα*: § 108. — **12.** *Καταπέλτης* (ὁ) Katapult, ein *εὐθύτονον ὄργανον*: § 108. — **15.** Hiero II starb — 216; seitdem ging in Syracus alles drunter und drüber. *Χορηγός* (Chorführer) Führer; Geldspender, Unternehmer. — **16.** *Δημιουργός* Werkmeister. *Ἐπινόημα* Erdachtes, Erfindung, Vorhaben.

τείχους τοξότισιν, ὡς ἐπάνω προεῖπον, κακούμενοι συνεχῶς εἴργοντο τῆς προσόδου, οἱ δὲ μετὰ τῶν γέρρων βιαζόμενοι ταῖς τῶν κατὰ κορυφὴν λίθων καὶ δοκῶν ἐμβολαῖς διεφθείροντο. οὐκ ὀλίγα δὲ καὶ ταῖς χερσὶ ταῖς ἐκ τῶν μηχανῶν ἐκακοποίουν, ὡς καὶ πρότερον εἶπα· σὺν αὐτοῖς γὰρ τοῖς ὅπλοις τοὺς ἄνδρας ἐξαιροῦντες ἐρρίπτουν. τὸ δὲ πέρας ἀναχωρήσαντες εἰς τὴν παρεμβολὴν καὶ συνεδρεύσαντες μετὰ τῶν χιλιάρχων οἱ περὶ τὸν Ἄππιον, ὁμοθυμαδὸν ἐβουλεύσαντο πάσης ἐλπίδος πεῖραν λαμβάνειν πλὴν τοῦ διὰ πολιορκίας ἑλεῖν τὰς Συρακούσας, ὡς καὶ τέλος ἐποίησαν· ὀκτὼ γὰρ μῆνας τῇ πόλει προσκαθεζόμενοι τῶν μὲν ἄλλων στρατηγημάτων ἢ τολμημάτων οὐδενὸς ἀπέστησαν, τοῦ δὲ πολιορκεῖν οὐδέποτε πεῖραν ἔτι λαβεῖν ἐθάρρησαν. οὕτως εἷς ἀνὴρ καὶ μία ψυχὴ δεόντως ἡρμοσμένη πρὸς ἔνια τῶν πραγμάτων μέγα τι χρῆμα φαίνεται γίνεσθαι καὶ θαυμάσιον. ἐκεῖνοι γοῦν τηλικαύτας δυνάμεις ἔχοντες καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, εἰ μὲν ἀφέλοι τις πρεσβύτην ἕνα Συρακοσίων, παραχρῆμα τῆς πόλεως κυριεύσειν ἤλπιζον, τούτου δὲ συμ-

---

1. *Τοξότιδες = τρήματα* (S. 104, 7) Schiefsscharten. — 3. *Δοκός* Balken. — 6. *Ἐξαιροῦντες* BW, *ἐξαίροντες* D. — 7. *Τὸ πέρας* schliefslich. — 7. *Παρεμβολή* Lager. — 8. *Συνεδρεύειν* beraten. — 8. *Χιλίαρχοι tribuni militum* (§ 45 D). — 9. *Ὁμοθυμαδόν* einstimmig. — 9. *Πάσης ἐλπ. πεῖρ. λ.* alles Mögliche zu versuchen. — 10. *Πολιορκία* Bestürmung (*oppugnatio*); Ggstz. blofse Belagerung (*obsessio*). — 12. *Στρατήγημα* Kriegslist. — 14. *Δεόντως* (v. *δεῖ*) *ἡρμοσμένος* (v. *ἁρμόζειν*) gehörig geschickt. — 18. *Πρεσβύτης* alter Mann. Archimedes war 75 Jahre alt (S. 64, 5). — 19. *Παραχρῆμα* (neben der Sache) auf der Stelle, sofort.

παρόντος οὐκ ἐθάρρουν οὐδ' ἐπιβαλέσθαι κατά γε τοῦτον τὸν τρόπον, καθ' ὃν ἀμύνασθαι δυνατὸς ἦν Ἀρχιμήδης. οὐ μὴν ἀλλὰ νομίσαντες μάλιστ' ἂν ὑπὸ τῆς τῶν ἀναγκαίων ἐνδείας διὰ τὸ πλῆθος τοὺς ἔνδον ὑποχειρίους σφίσι γενέσθαι, ταύτης ἀντείχοντο τῆς ἐλπίδος· καὶ ταῖς μὲν ναυσὶ τὰς κατὰ θάλατταν ἐπικουρίας αὐτῶν ἐκώλυον, τῷ δὲ πεζῷ στρατεύματι τὰς κατὰ γῆν.

b) Nach Livius.

§ 53. Inde terra marique simul coeptae oppugnari Syracusae, terra ab Hexapylo, mari ab Achradina, cuius murus fluctu adluitur. Et quia non diffidebant Romani vastam disiectamque spatio urbem parte aliqua se invasuros, omnem apparatum oppugnandarum urbium muris admoverunt.

Et habuisset tanto impetu coepta res fortunam, nisi unus homo Syracusis ea tempestate fuisset, Archimedes. Is erat unicus spectator caeli siderumque, mirabilior tamen inventor ac machinator bellicorum tormentorum

---

3. *Οὐ μὴν ἀλλά* nichtsdestoweniger. — **3.** *Ἀναγκαίων ἔνδεια* Mangel an Lebensmitteln. — **4.** *Ὑποχείριός τινι* (unter jemandes Händen) in jemandes Gewalt. — **6.** *Ἐπικουρία auxilium, ἐπικουρίαι auxilia.* — **9.** Liv. XXIV 33, 9—34, 16; der letzte Abschnitt XXV 31, 8—10. Hier wird das Sachliche nur so weit erklärt, als es in den vorigen Paragraphen noch nicht erklärt ist. — **12.** *Vastus* kolossal; *disiectus spatio* räumlich ausgedehnt, weitverzweigt. — **13.** *Oppugnandarum urbium = oppugnandi urbes* für eine Belagerung. — **15.** *Fortunam* Erfolg. — **16.** *Tempestate = aetate.* — **17.** *Unicus spectator* aufsergewöhnlich (aufserordentlich) bedeutender Beobachter. — **18.** *Machinator* Erbauer.

operumque, quibus, quid quid hostes ingenti mole agerent, ipse perlevi momento ludificaretur. Muros per inaequalis ductos colles, pleraque alta et difficilia aditu, submissa quaedam et quae planis vallibus adiri possent, ut cuique aptum visum est loco, ita genere omni tormentorum instruxit. Achradinae murum, qui, ut ante dictum est, mari adluitur, sexaginta quinqueremibus Marcellus oppugnabat. Ex ceteris navibus sagittarii funditoresque et velites etiam, quorum telum ad remittendum inhabile imperitis est, vix quemquam sine vulnere consistere in muro patiebantur. Hi, quia spatio missilibus opus est, procul muro tenebant naves. Iunctae aliae binae quinqueremes demptis interioribus remis, ut latus lateri applicaretur, cum exteriore ordine remorum velut una navis agerentur, turres contabulatas machinamentaque alia quatiendis muris portabant. Adversus hunc navalem apparatum Archimedes variae magnitudinis tormenta in muris disposuit. In eas, quae procul erant, navis saxa ingenti pondere emittebat, propiores levioribus eoque magis crebris petebat telis; postremo ut sui vulnere intacti tela in hostem ingererent, murum ab imo ad summum crebris cubitalibus fere cavis aperuit, per quae cava pars

---

1. *Moles* Wucht. — **2.** *Momentum* (= *movimentum*) Bewegung, Stofs. — **7.** *Quinqueremis* (sc. *navis*) = *πεντήρης*. — **9.** *Velites* Plänkler. — **9.** *Telum* = *γρόσφος* (Polyb. VI 22, 4). Dünn auslaufende und darum leicht sich krümmende Lanze. — **15.** *Contabulatus* mit (Bretterlagen) Stockwerken versehen. — **16.** *Quatiendis* zur Erschütterung. — **22.** *Cubitalia cava* Löcher von je 1 *cubitus*

sagittis, pars scorpionibus modicis ex occulto petebant
§ 54. hostem. Quae propius subibant naves, quo interiores ictibus tormentorum essent, in eas tollenone super murum eminente ferrea manus, firmae catenae illigata, cum iniecta prorae esset, gravique libramento plumbi recelleret ad solum, suspensa prora navem in puppim statuebat; dein remissa subito velut ex muro cadentem navem cum ingenti trepidatione nautarum ita undae adfligebat, ut, etiamsi recta reciderat, aliquantum aquae acciperet. Ita maritima oppugnatio est elusa, omnisque spes eo versa, ut totis viribus terra adgrederentur. Sed ea quoque pars eodem omni apparatu tormentorum instructa erat, Hieronis impensis curaque per multos annos, Archimedis unica arte. Natura etiam adiuvabat loci, quod saxum, cui imposita muri fundamenta sunt, magna parte ita proclive est, ut non solum missa tormento, sed etiam quae pondere suo provoluta essent, graviter in hostem inciderent. Eadem causa ad subeundum arduum aditum instabilemque ingressum praebebat. Ita consilio habito, quoniam omnis conatus ludibrio esset, absistere oppugnatione atque obsidendo tantum arcere terra marique commeatibus hostem placuit. —

(= $1\frac{1}{2}$ Fufs). Vielleicht ist der innere Durchmesser gemeint, den äufseren (ἐκτός) bemifst Polybios auf $\frac{1}{4}$ Fufs (S. 104, 7). — **3.** *Tollēlo* Krahnbalken. — **5.** *Recellere* zurückprallen, aufschlagen. — **6.** *Suspendere* aufhängen, in der Luft (Schwebe) halten. — **15.** *Proclivis* abschüssig. — **16.** *Missa* = *emissa.* — **18.** *Subire* von unten nach oben gehen, hinaufklettern. — **19.** *Ingressus* das Einherschreiten, Auftreten.

Tandem expugnatis Syracusis cum multa irae, multa avaritiae foeda exempla ederentur, Archimeden memoriae proditum est in tanto tumultu, quantum pavor captae urbis in discursu diripientium militum ciere poterat, intentum formis, quas in pulvere descripserat, ab ignaro milite, quis esset, interfectum; aegre id Marcellum tulisse sepulturaeque curam habitam, et propinquis etiam inquisitis honori praesidioque nomen ac memoriam eius fuisse.

c) Nach Plutarch.

Ἄρας ὁ Μάρκελλος τῷ στρατῷ παντὶ πρὸς τὰς Συρα- § 55.
κούσας ἐχώρει. Καὶ καταστρατοπεδεύσας πλησίον εἰσέπεμψε μὲν πρέσβεις, ὡς δὲ οὐδὲν ἦν ὄφελος, προσβολὰς ἐποιεῖτο κατὰ γῆν ἅμα καὶ κατὰ θάλατταν, Ἀππίου μὲν τὸν πεζὸν ἐπάγοντος στρατόν, αὐτὸς δὲ πεντήρεις ἔχων ἑξήκοντα παντοδαπῶν ὅπλων καὶ βελῶν πλήρεις. Ὑπὲρ δὲ μεγάλου ζεύγματος νεῶν ὀκτὼ πρὸς ἀλλήλας συνδεδεμένων μηχανὴν ἄρας ἐπέπλει πρὸς τὸ τεῖχος, τῷ πλήθει

---

1. *Tandem exp. Syr.* des Zusammenhangs halber zugefügt. — **3.** *Pavor captae urbis* der Schreck über die Einnahme der Stadt. — **4.** *Discursus* Auseinanderstieben. — **5.** *Formis* Figuren. — **6.** Cic. Verr. IV 131: *Marcellus requisisse etiam dicitur Archimedem illum, summo ingenio hominem ac disciplina, quem cum audisset interfectum, permoleste tulisse.* Vgl. § 30. — **8.** *Inquīro* = *requīro* forschen nach. — **10.** Plut. Marc. 14—19. Text der Teubnerschen Ausgabe. — **11.** *Ἄρας* v. *αἴρειν* intr. aufbrechen. — **13.** *Προσβολή impetus, oppugnatio.* — **17.** *Ὑπὲρ μεγάλου ζεύγματος νεῶν ὀκτώ* über einer grofsen Verbindung von 8 Schiffen. Ein Mifsverständnis. Vgl. *σύνδυο* S. 102, 1.

καὶ τῇ λαμπρότητι τῆς παρασκευῆς καὶ τῇ δόξῃ τῇ περὶ αὐτὸν πεποιθώς· ἧς ἄρα λόγος οὐδεὶς ἦν Ἀρχιμήδει καὶ τοῖς Ἀρχιμήδους μηχανήμασιν. Ὧν ὡς μὲν ἔργον ἄξιον σπουδῆς οὐδὲν ὁ ἀνὴρ προὔθετο, γεωμετρίας δὲ παιζούσης ἐγεγόνει πάρεργα τὰ πλεῖστα, πρότερον φιλοτιμηθέντος Ἱέρωνος τοῦ βασιλέως καὶ πείσαντος Ἀρχιμήδη τρέψαι τι τῆς τέχνης ἀπὸ τῶν νοητῶν ἐπὶ τὰ σωματικὰ καὶ τὸν λόγον ἁμῶς γέ πως δι᾽ αἰσθήσεως μίξαντα ταῖς χρείαις ἐμφανέστερον καταστῆσαι τοῖς πολλοῖς. Τὴν γὰρ ἀγαπωμένην ταύτην καὶ περιβόητον ὀργανικὴν ἤρξαντο μὲν κινεῖν οἱ περὶ Εὔδοξον καὶ Ἀρχύταν, ποικίλλοντες τῷ γλαφυρῷ γεωμετρίαν, καὶ λογικῆς καὶ γραμμικῆς ἀποδείξεως οὐκ εὐποροῦντα προβλή-

---

2. *Ἧς ἄρα λόγος οὐδεὶς ἦν Α.* um die kümmerte sich (damit rechnete) A. gar nicht. — **3.** *Ὧν* (sc. *μηχανημάτων*) *οὐδὲν προὔθετο* von diesen hatte er sich keine zur (eigentlichen) Aufgabe gestellt. — **4.** *Γεωμετρίας παιζούσης πάρεργα* Nebenbeschäftigungen (Beiwerke) einer spielenden G. — **6.** *Φιλοτιμεῖσθαι* ehrgeizig sein. — **7.** *Νοητά ... σωματικά* Gedankenwelt ... Körperwelt. — **8.** *Λόγος ... αἴσθησις* Theorie ... Anschauung. — **8.** *Ἁμῶς γέ πως* auf irgend eine beliebige Weise (*ἁμός* = *τις*). — **9.** *Μίξαντα ταῖς χρείαις* durch Verbindung mit (Anpassung an) praktischen Bedürfnissen. — **10.** *Ἀγαπώμενος* beliebt. — **11.** *Ὀργανική* sc. *τέχνη* mechanische Technik, Maschinenbau. — **11.** *Εὔδοξος*: B. 1, S. 7 u. 17. *Ἀρχύτας* v. Tarent um —430/365. Über ihn Horaz Od. I 28. Berühmt durch seine Methode der Würfelverdoppelung (mit Hilfe von Halbcylindern: Archim. III 98. 106. 112) und seine Behandlung der arithmetischen, geometrischen, harmonischen Mittel (*μεσότητες*: Cantor I 140). — **11.** *Γλαφυρός* glatt, poliert. *Ποικίλλειν τῷ γλαφυρῷ* verzieren durch die Politur, hübsch niedlich schmücken. — **12.** *Λογικὴ καὶ γραμμικὴ ἀπόδειξις* Beweis durch Rechnung und Zeichnung, arithmetischer und geometrischer Nachweis. — **13.** *Οὐκ εὐπορεῖν τινος* nicht recht

ματα δι' αἰσθητῶν καὶ ὀργανικῶν παραδειγμάτων ὑπερείδοντες, ὡς τὸ περὶ δύο μέσας ἀνὰ λόγον πρόβλημα καὶ στοιχεῖον ἐπὶ πολλὰ τῶν γραφομένων ἀναγκαῖον εἰς ὀργανικὰς ἐξῆγον ἀμφότεροι κατασκευάς, μεσογράφους τινὰς ἀπὸ καμπύλων γραμμῶν καὶ τμημάτων μεθαρμόζοντες. Ἐπεὶ δὲ Πλάτων ἠγανάκτησε καὶ διετείνατο πρὸς § 56. *αὐτοὺς ὡς ἀπολλύντας καὶ διαφθείροντας τὸ γεωμετρίας ἀγαθόν, ἀπὸ τῶν ἀσωμάτων καὶ νοητῶν ἀποδιδρασκούσης ἐπὶ τὰ αἰσθητὰ καὶ προσχρωμένης αὖθις αὖ σώμασι πολλῆς καὶ φορτικῆς βαναυσουργίας δεομένοις, οὕτω διεκρίθη γεωμετρίας ἐκπεσοῦσα μηχανική, καὶ περιορωμένη πολὺν χρόνον ὑπὸ φιλοσοφίας μία τῶν στρατιωτίδων*

---

ermöglichen. — **2.** *Ὑπερείδειν* (v. *ἐρείδειν*) unterstützen, nachhelfen. — **2.** *Τὸ περὶ μέσας ἀνὰ λόγον πρόβλημα* das zwei mittlere Proportionalen betreffende Problem. In der Proportion $a : x = x : y = y : b$ die beiden Unbekannten zu finden, war eine Aufgabe, die man zur Würfelverdoppelung (*κύβου διπλασιασμὸς*) benutzte; sie hiefs Delisches Problem, da ein Orakel den Deliern die Verdoppelung eines Altars gebot. Archytas, Eudoxos, Plato, Eratosthenes und viele andere versuchten sich daran. Berühmt ist ein Brief des Eratosthenes an Ptolemaeos III Euergetes (- - 247/222), in dem er sein ‚Mesolabium' beschreibt (Archim. III 204). — **3.** *Στοιχεῖον ἐπί τι* Element, Grundlage für; *γραφόμενα* Konstruktionen. — **4.** *Μεσογράφοι, sc. κανόνες* (Lineale) oder *πίνακες* (Tafeln), mit denen mittlere Proportionalen beschrieben werden. — **5.** *Καμπύλαι γραμμαί* Kurven; *τμήματα* Kreisabschnitte, Segmente. — **6.** *Διατείνεσθαι* sich anspannen, sich dawider stemmen. — **8.** *Ἀποδιδράσκειν* sich entfernen, sich verirren. Plato ist also der erste Verfechter der Reinen Mathematik. — **10.** *Φορτικός* lästig, plump, gemein (*φόρτος* Last, Fracht); *βαναυσουργία* Handwerksarbeit (S. 5, 18). — **11.** *Ἐκπεσοῦσα* sie fiel heraus, *διεκρίθη* wurde ausgeschieden. — **12.** *Στρατιῶτις* militärisch. Vielfach galt umgekehrt die Taktik (*στρατηγικὴ τέχνη*) für ein Glied

τεχνῶν ἐγεγόνει. Καὶ μέντοι καὶ Ἀρχιμήδης, Ἱέρωνι τῷ βασιλεῖ συγγενὴς ὢν καὶ φίλος, ἔγραψεν, ὡς τῇ δοθείσῃ δυνάμει τὸ δοθὲν βάρος κινῆσαι δυνατόν ἐστι· καὶ νεανιευσάμενος, ὥς φασι, ῥώμῃ τῆς ἀποδείξεως εἶπεν, ὡς, εἰ γῆν εἶχεν ἑτέραν, ἐκίνησεν ἂν ταύτην μεταβὰς εἰς ἐκείνην. Θαυμάσαντος δὲ τοῦ Ἱέρωνος καὶ δεηθέντος εἰς ἔργον ἐξαγαγεῖν τὸ πρόβλημα καὶ δεῖξαί τι τῶν μεγάλων κινούμενον ὑπὸ σμικρᾶς δυνάμεως, ὁλκάδα τριάρμενον τῶν βασιλικῶν πόνῳ μεγάλῳ καὶ χειρὶ πολλῇ νεωλκηθεῖσαν, ἐμβαλὼν ἀνθρώπους τε πολλοὺς καὶ τὸν συνήθη φόρτον, αὐτὸς ἄπωθεν καθήμενος, οὐ μετὰ σπουδῆς, ἀλλ' ἠρέμα τῇ χειρὶ σείων ἀρχήν τινα πολυσπάστου προσηγάγετο λείως καὶ ἀπταίστως καὶ ὥσπερ διὰ θαλάττης ἐπιθέουσαν. Ἐκπλαγεὶς οὖν ὁ βασιλεὺς καὶ συννοήσας τῆς τέχνης τὴν δύναμιν, ἔπεισε τὸν Ἀρχιμήδην, ὅπως αὐτῷ

---

der (angewandten) Mathematik, z. B. bei Geminos (B. 1, S. 45). Vgl. Proklos, ed. Friedlein, p. 38, 4. — **3.** Papp. (Hultsch) p. 1060: *Τῆς αὐτῆς δέ ἐστιν θεωρίας τὸ δοθὲν βάρος τῇ δοθείσῃ δυνάμει κινῆσαι· τοῦτο γὰρ Ἀρχιμήδους εὕρημα μηχανικόν (ἐστιν), ἐφ' ᾧ λέγεται εἰρηκέναι· δός μοι ποῦ στῶ καὶ κινῶ τὴν γῆν.* — **4.** *Νεανιευσάμενος* in jugendlichem Übermut, Selbstbewuſstsein, Stolz. — **6.** *Ἐκείνην* (= *γῆν ἑτέραν*; aber *ταύτην* = *τὴν ἡμετέραν γῆν*) *illam* sie. Regel: Betontes ‚er' oder ‚der' heiſst *ἐκεῖνος*, lat. *is* oder (in bestimmtem Gegensatz) *ille.* Darum heiſst ‚Er aber' am Anfang des Satzes: *Ἀλλ' ἐκεῖνος at ille.* — **7.** *Εἰς ἔργον ἐξαγαγεῖν* verwirklichen. — **8.** *Ὁλκάς* Kauffahrer, Handelsschiff (§ 13 B und C); *τριάρμενος* Dreisegler' (Dreimaster?). — **9.** *Χείρ manus* Mannschaft; *νεωλκεῖν* auf Land ziehen: § 13 A. — **12.** *Ἠρέμα* ruhig, langsam; *σείειν* schwingen, bewegen. — **12.** *Πολύσπαστος* (*sc. μηχανή*) oder *πολύσπαστον* (*sc. ὄργανον*) Flaschenzug: § 64. — **13.** *Λείως καὶ ἀπταίστως* (von *πταίειν* anstoſsen) glatt und sicher.

τὰ μὲν ἀμυνομένῳ, τὰ δ' ἐπιχειροῦντι μηχανήματα κατασκευάσῃ πρὸς πᾶσαν ἰδέαν πολιορκίας, οἷς αὐτὸς μὲν οὐκ ἐχρήσατο, τοῦ βίου τὸ πλεῖστον ἀπόλεμον καὶ πανηγυρικὸν βιώσας, τότε δ' ὑπῆρχε τοῖς Συρακουσίοις εἰς δέον ἡ παρασκευὴ καὶ μετὰ τῆς παρασκευῆς ὁ δημιουργός.

Ὡς οὖν προσέβαλον οἱ Ῥωμαῖοι διχόθεν, ἔκπληξις § 57.
ἦν τῶν Συρακουσίων καὶ σιγὴ διὰ δέος μηδὲν ἂν ἀνθέξειν πρὸς βίαν καὶ δύναμιν οἰομένων τοσαύτην. Σχάσαντος δὲ τὰς μηχανὰς τοῦ Ἀρχιμήδους ἅμα τοῖς μὲν πεζοῖς ἀπήντα τοξεύματά τε παντοδαπὰ καὶ λίθων ὑπέρογκα μεγέθη, ῥοίζῳ καὶ τάχει καταφερομένων ἀπίστῳ, καὶ μηδενὸς ὅλως τὸ βρῖθος στέγοντος ἀθρόους ἀνατρεπόντων τοὺς ὑποπίπτοντας καὶ τὰς τάξεις συγχεόντων, ταῖς δὲ ναυσὶν ἀπὸ τῶν τειχῶν ἄφνω ὑπεραιωρούμεναι κεραῖαι τὰς μὲν ὑπὸ βρίθους στηρίζοντος ἄνωθεν ὠθοῦσαι κατέδυον εἰς βυθόν, τὰς δὲ χερσὶ σιδηραῖς ἢ στόμασιν εἰκασμένοις γεράνων ἀνασπῶσαι πρῴραθεν ὀρθὰς ἐπὶ πρύμναν ἐβάπτιζον, ἢ δι' ἀντιτόνων ἔνδον ἐπιστρεφόμεναι καὶ

---

1. *Ἀμυνόμενος* bei der Verteidigung. — 4. *Πανηγυρικός* (v. *πανήγυρις* Festversammlung) festlich. — 5. *Εἰς δέον* als Hilfe in der Not, zur rechten Zeit, gelegen. Schon Herod. VII 144. VI 88. — 5. *Δημιουργός* Werkmeister, Ingenieur. — 8. *Σχάζειν* öffnen; spielen lassen. — 10. *Ἀπαντᾶν* tr. entgegenwerfen. — 10. *Ὑπέρογκος* übergrofs (*ὁ ὄγκος* Volumen). — 11. *Ῥοῖζος* Schwirren, Pfeifen, Sausen. — 12. *Βρῖθος* Wucht. *Στέγειν* decken, schützen, wehren; abwehren. — 12. *Ἀνατρέπειν* *evertere* umkehren, vernichten. — 13. *Ὑποπίπτειν* darunter geraten. — 15. *Στηρίζειν* stemmen, nachdrücken. — 16. *Βυθός* Tiefe, Grund. — 17. *Εἰκάζειν* ähnlich machen. *Γέρανος* Kranich. Davon das deutsche ‚Krahn'. — 18. *Ἀντίτονον*

περιαγόμεναι τοῖς ὑπὸ τὸ τεῖχος πεφυκόσι κρημνοῖς καὶ σκοπέλοις προσήρασσον, ἅμα φθόρῳ πολλῷ τῶν ἐπιβατῶν συντριβομένων. Πολλάκις δὲ μετέωρος ἐξαρθεῖσα ναῦς ἀπὸ τῆς θαλάσσης δεῦρο κἀκεῖσε περιδινουμένη καὶ κρεμαμένη θέαμα φρικῶδες ἦν, μέχρι οὗ τῶν ἀνδρῶν ἀπορριφέντων καὶ διασφενδονηθέντων κενὴ προσπέσοι τοῖς τείχεσιν ἢ περιολίσθοι τῆς λαβῆς ἀνείσης. Ἦν δὲ ὁ Μάρκελλος ἀπὸ τοῦ ζεύγματος ἐπῆγε μηχανήν, σαμβύκη μὲν ἐκαλεῖτο δι' ὁμοιότητά τινα σχήματος πρὸς τὸ μουσικὸν ὄργανον, ἔτι δὲ ἄπωθεν αὐτῆς προσφερομένης πρὸς τὸ τεῖχος ἐξήλατο λίθος δεκατάλαντος ὁλκήν, εἶτα ἕτερος ἐπὶ τούτῳ καὶ τρίτος, ὧν οἱ μὲν αὐτῆς ἐμπεσόντες μεγάλῳ κτύπῳ καὶ κλύδωνι τῆς μηχανῆς τήν τε βάσιν συνηλόησαν καὶ τὸ γόμφωμα διέσεισαν καὶ διέσπασαν τοῦ ζεύγματος, οἱ δὲ .... ὥστε τὸν Μάρκελλον ἀπορούμενον αὐτόν τε ταῖς ναυσὶν ἀποπλεῖν κατὰ τάχος καὶ τοῖς πεζοῖς ἀναχώρησιν παρεγγυῆσαι.

§ 58. *Βουλευομένοις δὲ ἔδοξεν αὐτοῖς ἔτι νυκτός, ἂν δύνωνται, προσμῖξαι τοῖς τείχεσι· τοὺς γὰρ τόνους, οἷς χρῆσθαι τὸν*

Gegenspann (*τείνειν*), Gegentau. — **2.** *Προσαράσσειν τινί* stofsen auf, werfen gegen. — **2.** *Ἐπιβάτης* Schiffssoldat: § 14 IV. — **3.** *Μετέωρος* hoch, in die Höhe: § 29. — **4.** *Δινεῖν* wirbeln. — **5.** *Φρικώδης* schauerlich, entsetzlich. — **6.** *Διασφενδονᾶν* auseinander schleudern. — **7.** *Περιολισθαίνειν* (aor. *ὤλισθον*) umfallen. *Λαβή* Halt, Griff. *Ἀνιέναι* (part. aor. *ἀνείς*) nachlassen. — **11.** *Ἐξήλατο* (aor. v. *ἅλλομαι*) herausfliegen. — **11.** *Ὁλκή* Gewicht. — **13.** *Κλύδων* (*ὁ*) Wellenschlag. — **14.** *Συνηλοᾶν* zerschlagen. *Γόμφωμα* Gefüge, Verband (*ὁ γόμφος* Nagel). — **15.** *Οἱ δὲ.* Hier ist eine Lücke. — **17.** *Παρεγγυᾶν* weiter geben (Befehle), ankündigen. — **19.** *Τόνος*

Ἀρχιμήδην, ῥύμην ἔχοντας ὑπερπετεῖς ποιήσεσθαι τὰς τῶν βελῶν ἀφέσεις, ἐγγύθεν δὲ καὶ τελέως ἀπράκτους εἶναι διάστημα τῆς πληγῆς οὐκ ἐχούσης. Ὁ δ' ἦν, ὡς ἔοικεν, ἐπὶ ταῦτα πάλαι παρεσκευασμένος ὀργάνων τε συμμέτρους πρὸς πᾶν διάστημα κατασκευὰς καὶ βέλη βραχέα, καὶ διὰ τὸ τεῖχος οὐ μεγάλων, πολλῶν δὲ καὶ συνεχῶν τρημάτων ὄντων, οἱ σκορπίοι βραχύτονοι μέν, ἐγγύθεν δὲ πλῆξαι παρεστήκεσαν ἀόρατοι τοῖς πολεμίοις. Ὡς οὖν προσέμιξαν οἰόμενοι λανθάνειν, αὖθις αὖ βέλεσι πολλοῖς ἐντυγχάνοντες καὶ πληγαῖς, πετρῶν μὲν ἐκ κεφαλῆς ἐπ' αὐτοὺς φερομένων ὥσπερ πρὸς κάθετον, τοῦ δὲ τείχους τοξεύματα πανταχόθεν ἀναπέμποντος, ἀνεχώρουν ὀπίσω. Κἀνταῦθα πάλιν αὐτῶν εἰς μῆκος ἐκτεταγμένων, βελῶν ἐκθεόντων καὶ καταλαμβανόντων ἀπιόντας ἐγίνετο πολὺς μὲν αὐτῶν φθόρος, πολὺς δὲ τῶν νεῶν συγκρουσμός, οὐδὲν ἀντιδρᾶσαι τοὺς πολεμίους δυναμένων. Τὰ γὰρ πλεῖστα τῶν ὀργάνων ὑπὸ τὸ τεῖχος ἐσκευοποίητο τῷ Ἀρχιμήδει, καὶ θεομαχοῦσιν ἐῴκεσαν οἱ Ῥωμαῖοι, μυρίων αὐτοῖς κακῶν ἐξ ἀφανοῦς ἐπιχεομένων.

---

gespanntes Tau, gespannte Sehne; Geschütz. *Βραχύτονος* (S. 117, 5) kurz gespannt, nicht weit schiefsend. — **1.** *Ῥύμη* Schwung. — **2.** *Ἄφεσις* (*ἀφιέναι*) Schiefsen; *ὑπερπετής* darüber hinausfliegend, zu weit. — **3.** *Διάστημα* Abstand, der nötige Zwischenraum. — **5.** *Κατασκευάς* (Sch.) Überliefert: *Κινήσεις* Bewegungen. — **10.** *Ἐκ κεφαλῆς* von oben. — **11.** *Κάθετος* (v. *καθιέναι*) *sc.* *γραμμή* Lot. — **13.** *Εἰς μῆκος* auf eine (gewisse) Länge, weiter ab. — **14.** *Θεῖν* laufen. — **15.** *Συγκρουσμός* (v. *κρούειν*) Zusammenstofs. — **17.** *Ὑπό τι* unter (den Schutz), hinter. — **18.** *Θεομαχεῖν* mit Göttern kämpfen. Erinnert an die Gigantomachien (z. B. am Altar von Pergamon: § 10 C)

§ 59. *Οὐ μὴν ἀλλ' ὁ Μάρκελλος ἀπέφυγέ τε καὶ τοὺς σὺν ἑαυτῷ σκώπτων τεχνίτας καὶ μηχανοποιοὺς ἔλεγεν „Οὐ παυσόμεθα πρὸς τὸν γεωμετρικὸν τοῦτον Βριάρεων πολεμοῦντες, ὃς τὰς μὲν ναῦς ἡμῶν καθίζων πρὸς τὴν θάλασσαν παίζων μετ' αἰσχύνης ἐκβέβληκε, τοὺς δὲ μυθικοὺς ἑκατόγχειρας ὑπεραίρει τοσαῦτα βάλλων ἅμα βέλη καθ' ἡμῶν;" Τῷ γὰρ ὄντι πάντες οἱ λοιποὶ Συρακούσιοι σῶμα τῆς Ἀρχιμήδους παρασκευῆς ἦσαν, ἡ δὲ κινοῦσα πάντα καὶ στρέφουσα ψυχὴ μία, τῶν μὲν ἄλλων ὅπλων ἀτρέμα κειμένων, μόνοις δὲ τοῖς ἐκείνου τότε τῆς πόλεως χρωμένης καὶ πρὸς ἄμυναν καὶ πρὸς ἀσφάλειαν. Τέλος δὲ τοὺς Ῥωμαίους οὕτω περιφόβους γεγονότας ὁρῶν ὁ Μάρκελλος, ὥστ', εἰ καλώδιον ἢ ξύλον ὑπὲρ τοῦ τείχους μικρὸν ὀφθείη προτεινόμενον, τοῦτο ἐκεῖνο, μηχανήν τινα κινεῖν ἐπ' αὐτοὺς Ἀρχιμήδη βοῶντας ἀποτρέπεσθαι καὶ φεύγειν, ἀπέσχετο μάχης ἁπάσης καὶ προσβολῆς, τὸ λοιπὸν ἐπὶ τῷ χρόνῳ τὴν πολιορκίαν θέμενος. Τηλικοῦτον μέντοι φρόνημα καὶ βάθος ψυχῆς καὶ τοσοῦτον ἐκέκτητο θεωρημάτων πλοῦτον Ἀρχιμήδης, ὥστε, ἐφ' οἷς ὄνομα καὶ δόξαν οὐκ ἀνθρωπίνης, ἀλλὰ δαιμονίου τινὸς ἔσχε συνέσεως, μηθὲν ἐθελῆσαι σύγγραμμα περὶ*

und an die Galater in der Schlacht von Delphi (— 278; Apollo v. Belvedere). — **1.** *Οὐ μὴν ἀλλ'* indessen. — **3.** *Βριάρεως* einer der hundertarmigen (*ἑκατόγχειρες*) Erdriesen. — **5.** *Ἐκβάλλειν* ans Land werfen, scheitern lassen. — **13.** *Καλώδιον* ein Stückchen Tau, Tauende (*ὁ κάλως*). — **14.** *Τοῦτο ἐκεῖνο* dies (ist) das, da haben wir's, wieder die alte Geschichte. — **19.** *Ἐφ' οἷς . . . περὶ τούτων*. Wir umgekehrt: darüber . . . um deswillen. — **21.** *Σύνεσις*

τούτων ἀπολιπεῖν, ἀλλὰ τὴν περὶ τὰ μηχανικὰ πραγματείαν καὶ πᾶσαν ὅλως τέχνην χρείας ἐφαπτομένην ἀγεννῆ καὶ βάναυσον ἡγησάμενος εἰς ἐκεῖνα καταθέσθαι μόνα τὴν αὑτοῦ φιλοτιμίαν, οἷς τὸ καλὸν καὶ περιττὸν ἀμιγὲς τοῦ ἀναγκαίου πρόσεστιν, ἀσύγκριτα μὲν ὄντα τοῖς ἄλλοις, ἔριν δὲ παρέχοντα πρὸς τὴν ὕλην τῇ ἀποδείξει, τῆς μὲν τὸ μέγεθος καὶ τὸ κάλλος, τῆς δὲ τὴν ἀκρίβειαν καὶ τὴν δύναμιν ὑπερφυῆ παρεχομένης· οὐ γάρ ἐστιν ἐν γεωμετρίᾳ χαλεπωτέρας καὶ βαρυτέρας ὑποθέσεις ἐν ἁπλουστέροις λαβεῖν καὶ καθαρωτέροις στοιχείοις γραφομένας. § 60. *Καὶ τοῦθ' οἱ μὲν εὐφυΐᾳ τοῦ ἀνδρὸς προσάπτουσιν, οἱ δὲ ὑπερβολῇ τινι πόνου νομίζουσιν ἀπόνως πεποιημένῳ καὶ ῥᾳδίως ἕκαστον ἐοικὸς γεγονέναι. Ζητῶν μὲν γὰρ οὐκ ἄν τις εὕροι δι' αὑτοῦ τὴν ἀπόδειξιν, ἅμα δὲ τῇ μαθήσει παρίσταται δόξα τοῦ κἂν αὐτὸν εὑρεῖν· οὕτω λείαν ὁδὸν*

Intelligenz. — **21.** (S. 118) *Μηθὲν* (= *μηδὲν*) *σύγγραμμα*. Ungenau! Papp. (Hultsch) p. 1026: *Κάρπος δέ πού φησιν ὁ Ἀντιοχεὺς Ἀρχιμήδη τὸν Συρακόσιον ἓν μόνον βιβλίον συντεταχέναι μηχανικὴν τὸ κατὰ τὴν σφαιροποιΐαν, τῶν δὲ ἄλλων οὐδὲν ἠξιωκέναι συντάξαι κ. τ. λ.* Vgl. Proklos (ed. Friedlein) p. 41: *Ἡ σφαιροποιΐα κατὰ μίμησιν τῶν οὐρανίων περιφορῶν, οἵαν καὶ Ἀρχιμήδης ἐπραγματεύσατο.* — **2.** *Ἀγεννής* unedel. — **4.** *Περισσός* übergrofs, gewaltig. *Ἀμιγής τινος* unberührt von. — **6.** *Ἔριν παρέχειν τινὶ πρὸς* einen Wettstreit ermöglichen; *ἀπόδειξις* theoretischer Beweis, wissenschaftliche Darlegung. — **7.** *Ἀκρίβεια* Schärfe. — **9.** *Ὑποθέσεις* Aufgaben, wissenschaftliche Stoffe. — **10.** *Στοιχεῖα* Elemente, hier der Konstruktion (*γραφομένας*). Gemeint sind Punkte und Linien. — **11.** *Εὐφυΐα* gute Anlage. — **11.** *Προσάπτειν* (anfügen) schieben auf. — **13.** *Ἐοικὸς γεγονέναι* es sei ähnlich geworden einem *ἀπόνως καὶ ῥᾳδίως πεποιημένῳ*, es scheine *ἀ. καὶ ῥ.* gemacht zu sein. — **13.** *Ζητεῖν* (selbst) forschen . . . *μάθησις* Lernen (von anderen, hier vom A.).

ἄγειν καὶ ταχεῖαν ἐπὶ τὸ δεικνύμενον. Οὔκουν οὐδὲ ἀπιστῆσαι τοῖς περὶ αὐτοῦ λεγομένοις ἐστίν, ὡς ὑπ' οἰκείας δή τινος καὶ συνοίκου θελγόμενος ἀεὶ σειρῆνος ἐλέληστο καὶ σίτου καὶ θεραπείας σώματος ἐξέλειπε, βίᾳ δὲ πολλάκις ἑλκόμενος ἐπ' ἄλειμμα καὶ λουτρὸν ἐν ταῖς ἐσχάραις ἔγραφε σχήματα τῶν γεωμετρικῶν, καὶ τοῦ σώματος ἀληλιμμένου διῆγε τῷ δακτύλῳ γραμμάς, ὑπὸ ἡδονῆς μεγάλης κάτοχος ὢν καὶ μουσόληπτος ἀληθῶς. Πολλῶν δὲ καὶ καλῶν εὑρετὴς γεγονὼς λέγεται τῶν φίλων δεηθῆναι καὶ τῶν συγγενῶν, ὅπως αὐτοῦ μετὰ τὴν τελευτὴν ἐπιστήσωσι τῷ τάφῳ τὸν περιλαμβάνοντα τὴν σφαῖραν ἐντὸς κύλινδρον, ἐπιγράψαντες τὸν λόγον τῆς ὑπεροχῆς τοῦ περιέχοντος στερεοῦ πρὸς τὸ περιεχόμενον.

§ 61. *Ἀρχιμήδης μὲν οὖν τοιοῦτος γενόμενος ἀήττητον ἑαυτόν τε καὶ τὴν πόλιν ὅσον ἐφ' ἑαυτῷ διεφύλαξε. Ὅμως αἱρεθείσης δὲ τῆς πόλεως ἢ δόλῳ ἢ τύχῃ τινὶ μάλιστα τὸ Ἀρχιμήδους πάθος ἠνίασε Μάρκελλον. Ἔτυχε μὲν γὰρ αὐτός τε καθ' ἑαυτὸν ἀνασκοπῶν ἐπὶ διαγράμματος· καὶ τῇ θεωρίᾳ δεδωκὼς ἅμα τήν τε διάνοιαν καὶ τὴν πρόσοψιν*

---

3. *Θέλγειν* bethören. *Οἰκεῖος καὶ σύνοικος* eigen (ihm gehörig) und zusammen wohnend (zum Hausstand gehörig). — **4.** *Ἐκλείπειν* auslassen, vergessen. — **5.** *Ἄλειμμα* (v. *ἀλείφειν*) Salbe. — **6.** *Ἐσχάρα* Herd. — **8.** *Κάτοχος καὶ μουσόληπτος* beherrscht und begeistert (v. d. Musen gefangen). — **12.** *Ὑπεροχή* Überschufs; *λόγος* Verhältnis, Berechnung. — **13.** *Περιέχων* . . . *περιεχόμενος* einschliefsend . . . eingeschlossen. *Στερεόν* Körper (davon ‚Stereometrie'). — **15.** *Ὅσον ἐφ' ἑαυτῷ* soweit an ihm lag. Hinweis auf den im folgenden erzählten, hier ausgelassenen Fall der Stadt. — **15.** *Ὅμως* bis *τινί* eingeschoben. — **17.** *Ἀνιᾶν* betrüben. — **18.** *Διάγραμμα* Figur, Konstruktion.

οὐ προῄσθετο τὴν καταδρομὴν τῶν Ῥωμαίων οὐδὲ τὴν ἅλωσιν τῆς πόλεως· ἄφνω δὲ ἐπιστάντος αὐτῷ στρατιώτου καὶ κελεύοντος ἀκολουθεῖν πρὸς Μάρκελλον οὐκ ἐβούλετο πρὶν ἢ τελέσαι τὸ πρόβλημα καὶ καταστῆσαι πρὸς τὴν ἀπόδειξιν. Ὁ δὲ ὀργισθεὶς καὶ σπασάμενος τὸ ξίφος ἀνεῖλεν αὐτόν. Ἕτεροι μὲν οὖν λέγουσιν ἐπιστῆναι μὲν εὐθὺς ὡς ἀποκτενοῦντα ξιφήρη τὸν Ῥωμαῖον, ἐκεῖνον δ' ἰδόντα δεῖσθαι καὶ ἀντιβολεῖν ἀναμεῖναι βραχὺν χρόνον, ὡς μὴ καταλίπῃ τὸ ζητούμενον ἀτελὲς καὶ ἀθεώρητον, τὸν δὲ οὐ φροντίσαντα διαχρήσασθαι. Καὶ τρίτος ἐστὶ λόγος, ὡς κομίζοντι πρὸς Μάρκελλον αὐτῷ τῶν μαθηματικῶν ὀργάνων σκιόθηρα καὶ σφαίρας καὶ γωνίας, αἷς ἐναρμόττει τὸ τοῦ ἡλίου μέγεθος πρὸς τὴν ὄψιν, στρατιῶται περιτυχόντες καὶ χρυσίον ἐν τῷ τεύχει δόξαντες φέρειν ἀπέκτειναν. Ὅτι μέντοι Μάρκελλος ἤλγησε καὶ τὸν αὐτόχειρα τοῦ ἀνδρὸς ἀπεστράφη καθάπερ ἐναγῆ, τοὺς δὲ οἰκείους ἀνευρὼν ἐτίμησεν, ὁμολογεῖται.

19. Die Kronenrechnung des Archimedes. § 62.

Archimedis vero cum multa miranda inventa et varia fuerint, ex omnibus etiam infinita sollertia id quod ex-

---

2. *Ἄφνω* plötzlich. Hier ist die Legendenbildung hübsch zu beobachten. Dramatische Ausgestaltung und rhetorische Darstellung sind die Seele der Anekdote. — **7.** *Ξιφήρης* mit gezücktem Schwerte. — **8.** *Ἀντιβολεῖν* anflehen. — **10.** *Διαχρῆσθαι* verbrauchen, vernichten. — **12.** *Σκιόθηρα* § 29. — **13.** *Ἐναρμόττειν* einfügen, anpassen. — **14.** *Τεῦχος* Gerät. — **16.** *Αὐτόχειρ* Mörder. — **16.** *Ἀποστρέφεσθαι aversari* verabscheuen. — **16.** *Ἐναγής* verflucht, gebannt, geächtet. — **19.** Vitruv. IX praef. § 9—12. Text nach V. Rose, Leipzig 1899 (Teubner). — **20.** *Ex omnibus* vor allem. — **20.** *Sollertia*

ponam videtur esse expressum. Nimirum Hiero Syracusis auctus regia potestate, rebus bene gestis cum auream coronam votivam diis inmortalibus in quodam fano constituisset ponendam, manupretio locavit faciendam et aurum ad sacoma adpendit redemptori. Is ad tempus opus manu factum subtiliter regi adprobavit et ad sacoma pondus coronae visus est praestitisse. Posteaquam indicium est factum dempto auro tantundem argenti in id coronarium opus admixtum esse, indignatus Hiero se contemptum esse neque inveniens, qua ratione id furtum deprehenderet, rogavit Archimeden, uti insumeret sibi de eo cogitationem. Tunc is cum haberet eius rei curam, casu venit in balineum ibique cum in solium descenderet, animadvertit, quantum corporis sui in eo insideret, tantum aquae extra solium effluere. Itaque cum eius rei rationem explicationis ostendisset, non est moratus, sed exsiluit gaudio motus de solio et nudus vadens domum versus significabat clara voce invenisse, quod quaereret. Nam currens identidem graece clamabat: *εὕρηκα, εὕρηκα.*

Findigkeit. — **1.** *Expressum* (herausgepreſst) zu Tage gefördert. — **1.** *Nimirum* nämlich. — **3.** *Corona votiva* geweihtes Diadem. Die Übersetzung ‚Krone', die in dem üblichen Ausdruck ‚Kronenrechnung' steckt, ist falsch. — **4.** *Manupretium* Arbeitslohn. — **5.** *Sacoma* (dorisch f. *σήκωμα*) Gewicht, d. h. der die Schwere messende Blei- oder Eisenkörper. — **5.** *Redemptor* Unternehmer. Hor. Od. I 3, 35. — **11.** *Insumere* daran wenden; *sibi* für ihn, ihm zuliebe. — **13.** *Balinĕum βαλανεῖον* Badeanstalt. — **13.** *Solium* Badewanne. — **14.** *Insidĕret* sich hineinsetzte, eintauchte. — **19.** *Identidem* immer wieder, unaufhörlich.

Tum vero ex eo inventionis ingressu duas fecisse dicitur massas aequo pondere, quo etiam fuerat corona, unam ex auro et alteram ex argento. Cum ita fecisset, vas amplum ad summa labra implevit aqua, in quo demisit argenteam massam. Cuius quanta magnitudo in vase depressa est, tantum aquae effluxit. Ita exempta massa, quanto minus aquae fuerat, refudit sextario mensus, ut eodem modo, quo prius fuerat, ad labra aequaretur. Ita ex eo invenit, quantum pondus argenti ad certam aquae mensuram responderet. Cum id expertus esset, tum auream massam similiter pleno vase demisit et ea exempta eadem ratione, mensura addita, invenit deesse aquae non tantum, sed minus, quanto minus magno corpore, eodem pondere, auri massa esset quam argenti. Postea vero repleto vase in eadem aqua ipsa corona demissa invenit plus aquae defluxisse in coronam, quam in auream eodem pondere massam, et ita ex eo, quod defuerit plus aquae in corona quam in massa, ratiocinatus deprehendit argenti in auro mixtionem et manifestum furtum redemptoris. § 63.

1. *Ex . . . ingressu* dem Anfang (ersten Schritt) . . . entsprechend. — **2.** *Aequo = eodem.* — **4.** *Labrum* Lippe; pl. Rand. — **5.** *Quanta magnitudo = quantum.* — **7.** *Aquae* (Sch.) f. *factum.* Dann *fuerat* = geworden war (Grundbedeutung von *fuĕre* = *φύεσθαι*). — **7.** *Sextarius* (0,547 Liter) Halbliter. — **8.** *Aequari* gleich (auf gleiche Höhe) kommen. — **13.** *Quanto minus magno corpore* von wieviel weniger grofsem Umfange, von wieviel kleinerem Volumen. — **14.** *Eodem pondere* bei gleichem Gewichte. — **18.** *Ratiocinari* rechnen.

20. Der Flaschenzug (Fig. 2).

§ 64. *Ἔστιν δὲ ἡ τρίτη δύναμις ἡ κατὰ τὸ πολύσπαστον.* A. *Ὅταν γὰρ βουλώμεθά τι βάρος ἕλκειν, ἐξάψαντες ὅπλον ἐξ αὐτοῦ ἐπισπώμεθα τοιαύτῃ βίᾳ, ὅσῃ τῷ φορτίῳ ἰσόρροπός ἐστιν.* B. *Ἐὰν δὲ ἑλκύσαντες ἐκ τοῦ φορτίου τὸ ὅπλον τὴν μὲν μίαν αὐτοῦ ἀρχὴν ἐκδήσωμεν ἔκ τινος μένοντος χωρίου, τὴν δὲ ἑτέραν βάλωμεν διὰ τροχίλου ἐκδεδεμένου ἐκ τοῦ φορτίου καὶ ταύτην ἐπισπώμεθα, εὐχερέστερον κινήσομεν τὸ βάρος.* C. *Πάλιν δὲ ἐὰν ἐκ τοῦ μένοντος χωρίου ἐξάψωμεν ἕτερον τροχίλον καὶ τὴν ἀγομένην ἀρχὴν διαβαλόντες διὰ τούτου ἐπισπώμεθα, ἔτι μᾶλλον εὐχερέστερον κινήσομεν τὸ βάρος.* D. *Καὶ πάλιν ἐὰν ἐκ τοῦ φορτίου τροχίλου ἕτερον ἐκδήσωμεν καὶ τὴν ἀγομένην ἀρχὴν διὰ τούτου διαβαλόντες ἐπισπώμεθα, πολλῷ μᾶλλον εὐχερέστερον κινήσομεν τὸ βάρος. Καὶ πλείονας ἀεὶ τροχίλους ἔκ τε τοῦ μένοντος χωρίου ἐξάπτοντες καὶ ἐκ τοῦ φορτίου καὶ διαβάλλοντες ἐναλλὰξ τὴν ἀγομένην ἀρχὴν εἰς τοὺς τροχίλους εὐχερέστερον κινήσομεν τὸ βάρος. Ἵνα οὖν μὴ καθ' ἕνα τοὺς τροχίλους ἔκ τε τοῦ μένοντος χωρίου καὶ ἐκ τοῦ φορτίου ἐξάπτωμεν, οἱ μὲν εἰρημένοι εἰς τὸ μένον εἶναι χωρίον εἰς ἓν ξύλον ἐντίθεν-*

---

2. *Ἔστιν.* Papp. VIII 55. Text nach Hultsch p. 1118 ff. — **2.** *Δύναμις* Kraft. Pappus bespricht vorher Winde und Hebel. — **4.** *Ὅπλον* Tau. — **4.** *Φορτίον* Last, Gewicht. — **6.** *Ἀρχή* Ende (des Taus). — **7.** *Μένον χωρίον*, z. B. Balken, Wand, Baum. — **7.** *Διὰ τροχίλου* über eine Rolle. — **8.** *Ταύτην sc. τὴν ἑτέραν ἀρχήν.* — **11.** *Ἀγομένην* gezogen (von den Arbeitern). — **17.** *Ἐναλλὰξ* abwechselnd. — **19.** *Καθ' ἕνα* einzeln. — **21.** *Εἰρημένοι εἶναι quos*

ται περὶ ἄξονας κινούμενοι, ὃ καλεῖται μάγγανον· τοῦτο δὲ ἐξάπτεται ἐκ τοῦ μένοντος χωρίου διά τινος ἑτέρου ὅπλου· οἱ δὲ πρὸς τῷ φορτίῳ εἰς ἕτερον μάγγανον τούτῳ ἴσον, ὃ δὴ πάλιν ἐξάπτεται ἐκ τοῦ φορτίου μόνον. Οὕτως δὲ δεῖ κατατετάχθαι ἐν τοῖς μαγγάνοις τοὺς τροχίλους, ὥστε τὰ κῶλα μὴ ἐμπλεκόμενα πρὸς ἄλληλα δυσπειθῆ γίνεσθαι.

·21. Das Planetarium des Archimedes.

Nihil novi vobis adferam, neque quod a me sit § 65.
cogitatum aut inventum. Nam memoria teneo C. Sulpicium Gallum, doctissimum, ut scitis, hominem, cum idem hoc visum diceretur et esset casu apud Marcellum, qui cum eo consul fuerat, sphaeram, quam M. Marcelli avus captis Syracusis ex urbe locupletissima atque ornatissima sustulisset, cum aliud nihil ex tanta praeda domum suam deportavisset, iussisse proferri. Cuius ego sphaerae cum persaepe propter Archimedi gloriam nomen audissem, speciem ipsam non sum tanto opere admiratus. Erat enim illa venustior et nobilior in volgus, quam ab eodem Archimede factam posuerat in templo Virtutis Marcellus

---

diximus esse. — **1.** *Μάγγανον* Kloben. — **6.** *Δυσπειθῆ γίνεσθαι* schlecht funktionieren. — **8.** Cic. de rep. I 21—22. Das Wort des Dialogs führt Philus. — **12.** *Consul* — 166. — **16.** *Archimedi.* Männernamen auf *es* haben im Genetiv lieber *i* als *is*. — **18.** *In volgus* (in die Menge hinein) im allgemeinen. — **19.** Archimedes verfertigte also mehr als eine Sphaera und schrieb auch darüber: S. 74, 6. — **19.** *Templum Virtutis* vor der porta Capena, von Marcellus nach der Schlacht bei Clastidium (— 222) erbaut und später durch die darin aufgestellte Beute von Syrakus (— 212) berühmt.

idem. Sed posteaquam coepit rationem huius operis scientissime Gallus exponere, plus in illo Siculo ingenii, quam videretur natura humana ferre potuisse, iudicavi fuisse. Dicebat enim Gallus sphaerae illius alterius solidae atque plenae vetus esse inventum; et eam a Thalete Milesio primum esse tornatam; post autem ab Eudoxo Cnidio, discipulo, ut ferebat, Platonis, eandem illam astris stellisque, quae caelo inhaererent, esse descriptam; cuius omnem ornatum et descriptionem sumptam ab Eudoxo multis annis post non astrologiae scientia, sed poëtica quadam facultate versibus Aratum extulisse. Hoc autem sphaerae genus, in quo solis et lunae motus inessent et earum quinque stellarum, quae errantes et quasi vagae nominantur, in illa sphaera solida non potuisse finiri; atque in eo admirandum esse inventum Archimedi, quod excogitasset, quemadmodum in dissimillimis motibus inaequales et varios cursus servaret una conversio. Hanc sphaeram Gallus cum moveret, fiebat, ut soli luna totidem conversionibus in aere illo, quot diebus in ipso caelo,

---

Cic. Verr. IV 121: *Romam quae apportata sunt, ad aedem Honoris et Virtutis videmus.* Liv. XXV 40: *ad portam Capenam dedicata a M. Marcello templa.* — **4.** *Sphaera* bezeichnet hier einen massiven (*solidus*) Globus des Himmels. — **5.** Thales (geb. um — 640). Schwerlich! B. 1, S. 25. — **6.** *Tornatus* τορνευτός gedrechselt, gerundet. — **6.** Eudoxos (um — 409/356). B. 1, S. 7. B. 2, S. 17. — **10.** *Astrologia* ἀστρολογία = Astronomie. B. 2, S. 64, 8. — **11.** Aratos (um — 250): B. 2, § 6. — **11.** *Sphaera* bezeichnet hier ein Planetarium. — **13.** *Vagus* (u. *vagari*) πλάνης (u. πλανᾶσθαι). — **19.** *Aes* Bronze.

succederet, ex quo et in sphaera solis fieret eadem illa defectio et incideret luna tum in eam metam, quae esset umbra terrae, cum sol e regione . . . . .

22. Des Archimedes Grabmal.

Ex eadem urbe [Syracusis] humilem homunculum a § 66.
pulvere et radio excitabo, qui multis annis post fuit, Archimedem. Cuius ego quaestor ignoratum ab Syracusanis, cum esse omnino negarent, saeptum undique et vestitum vepribus et dumetis indagavi sepulcrum. Tenebam enim quosdam senariolos, quos in eius monumento esse inscriptos acceperam, qui declarabant in summo sepulcro sphaeram esse positam cum cylindro. Ego autem cum omnia collustrarem oculis (est enim ad portas Agragentinas magna frequentia sepulcrorum), animum adverti columellam non multum e dumis eminentem, in qua

---

2. *Metam q. e. umbra t.* Schattenkegel der Erde. — **3.** *Regione.* Leider bricht das Fragment hier ab. — **5.** Cic. Tusc. V 64/66. — **5.** *Humilem.* Weil ohne Amt und Geld: § 30. — **6.** *Pulvere et radio* Staub und Stab. Gemeint ist der *radius geometricus*, mit dem man Figuren in den *pulvis eruditus* (Cic. de nat. deor. II 18, 48) zeichnete. Vgl. Servius zu Virg. Ecl, III 41. Aen. VI 856. Amm. Marc. XXII 16, 17. Arnob. II 23. Cicero ist freilich sonst der erste, der das Wort *radius* im modernen Sinne gebraucht (Tim. de univ. 6): *Σφαιροειδές, cuius omnis extremitas paribus e medio radiis attingitur.* — **7.** *Cuius* gehört zu *sepulcrum* (Grabmal, Grabstein, Grabschrift). — **7.** *Quaestor* — 75. — **9.** *Vepres* (*is*, m.) Dornstrauch; *dumētum* (v. *dumus* Gestrüpp) Hecke. — **9.** *Tenebam* sc. memoriā. — **10.** *Senarius* jambischer Trimeter. — **12.** *Sphaeram* Kugel. — **14.** *Agragentinas* (v. *Ἀκράγας* St. Agrigent). Oder *Achradinas* (v. *Ἀχραδίνα* Stadtteil von Syrakus).

inerat sphaerae figura et cylindri. Atque ego statim Syracusanis (erant autem principes mecum) dixi me illud ipsum arbitrari esse, quod quaererem. Immissi cum falcibus multi purgarunt et aperuerunt locum. Quo cum patefactus esset aditus, ad adversam basim accessimus. Apparebat epigramma exesis posterioribus partibus versiculorum dimidiatis fere. Ita nobilissima Graeciae civitas, quondam vero etiam doctissima, sui civis unius acutissimi monumentum ignorasset, nisi ab homine Arpinate didicisset.

E. Griechische Riesenschiffe.

23. Die Flotte des Philadelphos.

§ 67. *Πολλῶν δ Φιλάδελφος βασιλέων πλούτῳ διέφερε καὶ περὶ πάντα ἐσπουδάκει τὰ κατασκευάσματα φιλοτίμως, ὥστε καὶ πλοίων πλήθει πάντας ὑπερέβαλλεν. τὰ γοῦν μέγιστα τῶν πλοίων ἦν παρ' αὐτῷ τριακοντήρεις δύο, εἰκοσήρης μία, τέσσαρες δὲ τρισκαιδεκήρεις, δωδε-*

---

4. *Falx* (*cis*, f.) Sichel. — **4.** *Quo* = dahin. Gehört zu *aditus*. — **5.** *Adversam basim* Front (Vorderseite) des Untersatzes (Fuſsgestelles). — **6.** *Epigramma* das Ep., jene *senarioli*. — **6.** *Exĕdo* wegfressen, zerstören; *exesus* verwittert. — **7.** *Dimidiatus* halbiert, zur Hälfte. — **7.** *Graeciae* sc. *Magnae*. — **13.** Text: Athen. p. 203 C bis 209 F. Wortlaut nach Kaibel (ed. 1887—90). Konjekturen von Kaibel (Ka), Graser (Gr), M. Schmidt (Sch), Schweighäuser (Schw.), Meineke (Me) und anderen. — **13.** *Φιλάδελφος*. Ptolemaeos II. Philadelphos (—285/247). — **14.** *Κατασκευάσματα* Werke der Technik und Industrie: § 44. — **16.** *Τριακοντήρεις* Dreiſsigreiher: § 14.

κήρεις δύο, ἑνδεκήρεις ιδ', ἐννήρεις λ', ἑπτήρεις λζ', ἑξήρεις ε', πεντήρεις ιζ'· τὰ δ' ἀπὸ τετρήρους μέχρι τριηρημιολίας διπλάσια τούτων. τὰ δ' εἰς τὰς νήσους πεμπόμενα καὶ τὰς ἄλλας πόλεις, ὧν ἦρχε, καὶ τὴν Λιβύην πλείονα ἦν τῶν τετρακισχιλίων. περὶ δὲ βιβλίων πλήθους καὶ βιβλιοθηκῶν κατασκευῆς καὶ τῆς εἰς τὸ Μουσεῖον συναγωγῆς τί δεῖ καὶ λέγειν, πᾶσι τούτων ὄντων κατὰ μνήμην;

24. Der Vierzigreiher des Philopator.

Ἐπεὶ δὲ περὶ νεῶν κατασκευῆς εἰρήκαμεν, φέρ' εἴπωμεν (ἀκοῆς γάρ ἐστιν ἄξια) καὶ τὰ ὑπὸ τοῦ Φιλοπάτορος βασιλέως κατεσκευασμένα σκάφη. περὶ ὧν Καλλίξεινος ἱστορεῖ ἐν τῷ πρώτῳ περὶ Ἀλεξανδρείας οὑτωσὶ λέγων. ʽτὴν τεσσαρακοντήρη ναῦν κατεσκεύασεν ὁ Φιλοπάτωρ τὸ μῆκος ἔχουσαν διακοσίων ὀγδοήκοντα πηχῶν, ὀκτὼ δὲ καὶ τριάκοντα ἀπὸ παρόδου ἐπὶ πάροδον, § 68.

---

1. Griechische Zahlzeichen sind für die neun Einer: *α, β, γ, δ, ε, ϛ* (Stigma), *ζ, η, ϑ*; neun Zehner: *ι, κ, λ, μ, ν, ξ, ο, π, ϟ* (Koppa); neun Hunderter: *ρ, σ, τ, υ, φ, χ, ψ, ω, ϡ* (Sampi). Vgl. B. 1, S. 32, 20. B. 2, S. 58, 3. — **3.** *Τριηρημιολία* (v. *τριήρης, ἡμι* halb, *ὅλος* ganz) = *τριημιολία*: eine *τριήρης* mit einer oder drei halben Reihen. — **3.** *Διπλάσια*, also 244. — **7.** *Μουσεῖον* das weltberühmte alexandrinische ‚Museum'. *Συναγωγή* Sammlungen. — **12.** *Φιλοπάτορος* Ptolemaeos IV Philopator (—222/204). — **12.** *Σκάφος* Schiffsrumpf, Schiff. — **13.** *Καλλίξεινος*. Aus Rhodos, unter Ptolemaeos VII. — **16.** *Ἀπὸ παρόδου ἐπὶ πάροδον* (= *τὸ εὖρος*) von Bordgang zu Bordgang. *Πάροδος* Gang *παρὰ τοὺς θρανίτας* (längs der obersten Rojerreihe). Länge: 280 Ellen = 128,8 m. Breite: 38 E. = 17,48 m. Höhe: 48 und 53 E. = 22,08 und 24,38 m. Zum

ὕψος δὲ ἕως ἀκροστολίου τεσσαράκοντα ὀκτὼ πηχῶν. ἀπὸ δὲ τῶν πρυμνητικῶν ἀφλάστων ἐπὶ τὸ πρὸς τῇ θαλάσσῃ μέρος αὐτῆς τρεῖς πρὸς τοῖς πεντήκοντα πήχεις. πηδάλια δ' εἶχε τέτταρα τριακονταπήχη, κώπας δὲ θρανιτικὰς ὀκτὼ καὶ τριάκοντα πηχῶν τὰς μεγίστας, αἳ διὰ τὸ μόλυβδον ἔχειν ἐν τοῖς ἐγχειριδίοις καὶ γεγονέναι εἴσω λίαν βαρεῖαι κατὰ τὴν ζύγωσιν εὐήρεις ὑπῆρχον ἐπὶ τῆς χρείας. δίπρῳρος δ' ἐγεγόνει καὶ δίπρυμνος καὶ ἔμβολα εἶχεν ἑπτά· τούτων ἓν μὲν ἡγούμενον, τὰ δ' ὑποστέλλοντα, τινὰ δὲ καὶ κατὰ τὰς ἐπωτίδας. ὑποζώματα δὲ ἐλάμβανε

Vergleiche die Maſse des Great Eastern (§ 16): Länge 207 m und Breite 25,3 m; der ‚Deutschland': Länge 208,5 m und Breite 20,42 m. — **1.** *Ἀκροστόλιον* Schmuck des Vorderschiffs, Bugzierde. — **2.** *Πρυμνηστικὰ ἄφλαστα* Schmuck an der *πρύμνα* (Hinterschiff), Knauf am Heck. — **3.** *Τὸ πρὸς τῇ θαλάσσῃ μέρος* die Wasserlinie. — **3.** *Πηδάλιον* Steuer. Jedes Schiff hat 2 Steuer neben dem Heck, dieses hat auch 2 neben dem Bug. — **4.** *Κώπας θρανιτικὰς . . . τὰς μεγίστας* Thranitenruder . . . nämlich (= d. h.) die längsten. Je 3 Reihen der Rojer bilden von unten an eine Gruppe, bestehend aus *θαλαμῖται, ζυγῖται, θρανῖται.* Solcher Trios sitzen 13 übereinander, so daſs oben eine vereinzelte Reihe übrig bleibt. Je höher jede der 13 Thranitenreihen (ebenso wie der anderen Reihen), desto länger sind ihre Riemen. Hier sind die der obersten Reihe gemeint. Vgl. § 15 I. — **6.** *Μόλυβδος* Blei. — **6.** *Ἐγχειρίδιον* Griff, Griffende (was man *ἐν χειρὶ* hat). — **7.** *Λίαν εἴσω* (so die Handschr.) umgestellt (Sch.). — **7.** *Ζύγωσις* Gleichgewicht, v. *ζυγός* Wage. *Κατὰ* entsprechend, infolge. — **7.** *Εὐήρης* handlich. Entweder: was sich gut anfügt (*ἀραρίσκω*); oder: was sich leicht rudert (*ἐρέσσω*). — **8.** *Δίπρῳρος* mit 2 *πρῷραι.* Vorderschiff wie Achterschiff war als Steuerseite zu gebrauchen, daher die 4 *πηδάλια.* So brauchte man den ungefügen Koloſs nicht zu wenden. — **8.** *Ἔμβολον* Rammsporn. — **9.** *Ὑποστέλλων* intr. sich zurückziehend, zurückgelegen. — **10.** *Καί* Gr. — **10.** *Ἐπωτίς* (v. *ἐπὶ* und *οὖς*) Ohrbalken: Balken, die seit-

δώδεκα· ἑξακοσίων δ' ἦν ἕκαστον πηχῶν. εὔρυθμος δ' ἦν καθ' ὑπερβολήν. θαυμαστὸς δ' ἦν καὶ ὁ ἄλλος κόσμος τῆς νεώς· ζῷα μὲν γὰρ εἶχεν οὐκ ἐλάττω δώδεκα πηχῶν κατὰ πρύμναν τε καὶ κατὰ πρῷραν, καὶ πᾶς τόπος αὐτῆς κηρογραφίᾳ κατεπεποίκιλτο, τὸ δ' ἔγκωπον ἅπαν μέχρι τῆς τρόπεως κισσίνην φυλλάδα καὶ θύρσους εἶχε πέριξ. πολὺς δ' ἦν καὶ ὁ τῶν ὅπλων κόσμος· ἀνεπλήρου δὲ πάντα τὰ προσδεόμενα τῆς νεὼς μέρη.

Γενομένης δὲ ἀναπείρας ἐδέξατο ἐρέτας πλείους τῶν § 69.
τετρακισχιλίων, εἰς δὲ τὰς ὑπηρεσίας τετρακοσίους· εἰς δὲ τὸ κατάστρωμα ἐπιβάτας τρισχιλίους ἀποδέοντας ἑκατὸν καὶ πεντήκοντα· καὶ χωρὶς ὑπὸ τὰ ζυγὰ πλῆθος ἀνθρώπων ἕτερον ἐπισιτισμοῦ τε οὐκ ὀλίγον. καθειλκύσθη δὲ τὴν μὲν ἀρχὴν ἀπὸ ἐσχαρίου τινός, ὅ φασι

---

wärts und ein wenig zurück vom Buge liegen. — **10.** (S. 130) *Ὑποζώματα* Schutztaue. Sie schnürt man, um die Kielgebrechlichkeit zu mindern, um Bug und Heck und führt sie auf Gabeln über das Schiff (oder in Rinnen um den Bord). Hor. Od. I 14, 6: *Nonne vides, ut . . . sine funibus* (ὑποζώματα) *vix durare carinae* (Kielhölzer) *possint imperiosius aequor?* — **1.** ***Εὔρυθμος*** wohlproportioniert. — **3.** *Ζῷον* Tierbild. — **4.** *Πᾶς τόπος* jedes freie Fleckchen. — **5.** ***Κηρογραφία*** Wachsmalerei (ein nicht völlig aufgeklärtes Verfahren). — **5.** *Ἔγκωπον* mit Riemen besetzter Teil. — **6.** *Τρόπις* Kiel. — **6.** ***Κισσίνη φυλλάς*** Laubwerk von Epheu (*κισσός*). — **7.** *Ὅπλα* Taue, Takelage. — **8.** *Πάντα* Schw. — **8.** *Προσδεόμενα* dazu nötig (*δέομαι* = *δεῖ*). *Ἀναπληροῦν* ganz ausfüllen. — **9.** *Ἀνάπειρα* Versuch, Probefahrt. — **10.** *Ὑπηρεσίαι* Matrosendienste: § 14 IV. — **11.** *Κατάστρωμα* Verdeck. — **11.** *Ἐπιβάται* Schiffssoldaten, Bemannung. — **12.** *Ζυγά* (Sch) Ruderbänke. — **13.** *Ἐπισιτισμός* Proviant. — **14.** ***Καθελκύειν*** hinabziehen, flottmachen. Davon *καθολκή* S. 132, 3. — **14.** *Ἐσχάριον* Gestell, eig. Feuergestell (v. *ἐσχάρα* Feuerstelle, Herd).

παγῆναι πεντήκοντα πλοίων πεντηρικῶν ξυλείᾳ, ὑπὸ δὲ ὄχλου μετὰ βοῆς καὶ σαλπίγγων κατήγετο. ὕστερον δὲ τῶν ἀπὸ Φοινίκης τις ἐπενόησε τὴν καθολκήν, τάφρον ὑποστησάμενος ἴσην τῇ νηὶ κατὰ μῆκος, ἣν πλησίον τοῦ λιμένος ὤρυξε. ταύτῃ δὲ τοὺς θεμελίους κατῳκοδόμησε λίθῳ στερεῷ πρὸς πέντε πήχεις τὸ βάθος, καὶ διὰ τούτων φάλαγγας ἐπικαρσίας κατὰ πλάτος τῆς τάφρου διώσας συνεχεῖς τετράπηχυν εἰς βάθος τόπον ἀπολειπούσας. καὶ ποιήσας εἴσρουν ἀπὸ τῆς θαλάσσης ἐνέπλησεν αὐτῆς πάντα τὸν ὀρυχθέντα τόπον, εἰς ὃν ῥᾳδίως ὑπὸ τῶν τυχόντων ἀνδρῶν εἰσήγαγε τὴν ναῦν· . . . τὸ ἀνοιχθὲν κατ' ἀρχὰς ἐμφράξαντας μετεξαντλῆσαι πάλιν τὴν θάλασσαν ὀργάνοις. τούτου δὲ γενομένου ἑδρασθῆναι τὸ πλοῖον ἀσφαλῶς ἐπὶ τῶν προειρημένων φαλάγγων.'

25. Die Thalamegos des Philopator.

§ 70. *'Κατεσκεύασεν δ' ὁ Φιλοπάτωρ καὶ ποτάμιον πλοῖον, τὴν θαλαμηγὸν καλουμένην, τὸ μῆκος ἔχουσαν ἡμιστα-*

---

1. *Παγῆναι*, v. *πήγνυμι* festigen, fügen, zimmern. — **1.** *Ξυλεία* Holzwerk. — **3.** *Τάφρος.* Ein Trockendock. — **5.** *Θεμέλιοι* Grundsteine, Grundlage. — **7.** *Φάλαγγες* Rollen, Walzen; *ἐπικάρσιος* schräg, quer, eig. über Kopf. — **7.** *Διωθεῖν* hinüberstofsen, von einer Seite zur andern (auf beiden Seiten) einlassen (in die Steinwände). — **11.** *Τῶν τυχόντων* der ersten besten. — **11.** In dieser Lücke der Handschriften war beschrieben, wie man das Schiff ins Meer liefs (*εἰσήγαγε*), nachdem der Verschlufs (*ἐμφράσσειν* zusperren) geöffnet war (*ἀνοίγνυμι*). Dann folgte die umgekehrte Manipulation. — **12.** *Μετεξαντλεῖν* nach einer andern (*μετά*) Stelle hin ausschöpfen (*ὁ ἄντλος* Kielwasser). — **13.** *Ὄργανον* Maschine. — **13.** *Ἑδράζειν* feststellen, fest aufsetzen. — **17.** *Θαλαμηγός* = *ἣ θάλαμον* (Haus)

δίου, τὸ δὲ εὖρος ᾗ πλατύτατον λ' πηχῶν· τὸ δὲ ὕψος σὺν τῷ τῆς σκηνῆς ἀναστήματι μικρὸν ἀπέδει τεσσαράκοντα πηχῶν. τὸ δὲ σχῆμα αὐτῆς οὔτε ταῖς μακραῖς ναυσὶν οὔτε ταῖς στρογγύλαις ἐοικός, ἀλλὰ παρηλλαγμένον τι καὶ πρὸς τὴν χρείαν τοῦ ποταμοῦ τὸ βάθος. κάτωθεν μὲν γὰρ ἁλιτενὴς καὶ πλατεῖα, τῷ δ' ὄγκῳ μετέωρος· τὰ δ' ἐπὶ τῶν ἄκρων αὐτῆς μέρη καὶ μάλιστα τὰ κατὰ πρῷραν παρέτεινεν ἐφ' ἱκανόν, τῆς ἀνακλάσεως εὐγράμμου φαινομένης. δίπρῳρος δ' ἐγεγόνει καὶ δίπρυμνος καὶ πρὸς ὕψος ἱκανὸν ἀνέτεινε διὰ τὸ μετέωρον ἄγαν ἵστασθαι πολλάκις ἐν τῷ ποταμῷ τὸ κῦμα. κατεσκεύαστο δ' αὐτῆς κατὰ μὲν μέσον τὸ κύτος τὰ συμπόσια καὶ οἱ κοιτῶνες καὶ τὰ λοιπὰ τὰ πρὸς τὴν διαγωγὴν χρηστήρια. πέριξ δὲ τῆς νεὼς περίπατοι κατὰ τὰς τρεῖς πλευρὰς ἐγεγόνεσαν διπλοῖ. ὧν ἡ μὲν περίμετρος ἦν πέντε πλέθρων οὐκ ἐλάττων, ἡ δὲ

ἄγει: S. 98. — **1.** *Ἡμιστάδιον* 300 Fuſs = über 94 m. 30 Ellen = fast 17 m. — **1.** *Ἧι* wo. — **2.** *Σκηνῆς ἀναστήματι* Kajütenerhöhung (Aufbau). — **3.** *Μακραί* (Lang-) Kriegsschiffe, *στρογγύλαι* (Rundschiffe) Kauffahrer. — **4.** *Παρηλλαγμένον τι* (sc. *ἦν*) etwas abweichend war. *Καὶ* gehört eigentlich vor *τὸ βάθος*. — **5.** *Ἁλιτενής* flach. — **6.** *Ὄγκος* Masse, Volumen. *Μετέωρος* hoch. — **8.** *Ἀνάκλασις* Zurückbiegung, geschwungene Linie; *εὔγραμμος* was eine schöne Linie giebt, gut gezeichnet. — **9.** *Ἱκανὸν* Ka. — **12.** *Κύτος* (Schiffs-) Bauch. — **12.** *Συμπόσια, κοιτῶνες* Speisezimmer, Schlafräume. — **13.** *Διαγωγή* (sc. *βίου* Lebens-)Führung, Lebensweise; *χρηστήριος* (v. *χρῆσθαι* zum Gebrauch) bestimmt. — **14.** *Περίπατοι* Umgänge; *τρεῖς*, weil auſser der Eingangsseite. — **14.** *Διπλοῖ*, einer im Unterstock *κατάγειος* (eig. unterirdisch *κατὰ γῆν*), einer im Oberstock *ὑπερῷος* (vgl. *τὸ ὑπερῷον* der Söller; schon Homer). — **15.** *Πέντε πλέθρων οὐκ ἐλάττων* nicht unter 500 Fuſs.

διάθεσις τοῦ μὲν καταγείου περιστύλῳ παραπλήσιος, τοῦ δ' ὑπερῴου κρύπτῃ φραγμοῖς καὶ θυρίσι περιεχομένη
§ 71. *πάντοθεν. Πρώτη δ' εἰσιόντι κατὰ πρύμναν ἐτέτακτο προστὰς ἐξ ἐναντίου μὲν ἀναπεπταμένη, κύκλῳ δὲ περίπτερος· ἧς ἐν τῷ καταντικρὺ τῆς πρῴρας μέρει προπύλαιον κατεσκεύαστο δι' ἐλέφαντος καὶ τῆς πολυτελεστάτης ὕλης γεγονός. τοῦτο δὲ διελθοῦσιν ὡσανεὶ προσκήνιον ἐπεποίητο τῇ διαθέσει κατάστεγον ὄν. ᾧ πάλιν ὁμοίως κατὰ τὴν μέσην πλευρὰν προστὰς ἑτέρα παρέκειτο ὄπισθεν, καὶ τετράθυρος ἔφερεν εἰς αὐτὴν πυλών. ἐξ ἀριστερῶν δὲ καὶ δεξιῶν* θυρίδες *ὑπερέκειντο* εὐαερίαν παρέχουσαι. *συνῆπτο δὲ τούτοις ὁ μέγιστος οἶκος· περίπτερος δ' ἦν εἴκοσι κλίνας ἐπιδεχόμενος. κατεσκεύαστο δ' αὐτοῦ τὰ μὲν πλεῖστα ἀπὸ κέδρου σχιστῆς καὶ κυπαρίσσου Μιλησίας· αἱ δὲ τῆς περιστάσεως θύραι τὸν*

---

1. *Διάθεσις* Anordnung, Ausstattung, Anlage. — **1.** *Περίστυλον* Säulengang, Galerie. — **2.** *Κρύπτη* Gewölbe. — **2.** *Φραγμοί* Zaun, Gitter; *θυρίς* Fensteröffnung. — **4.** *Προστάς* (gen. *άδος*) Vorzimmer. — **4.** *Ἐξ ἐναντίου ex adverso* auf der Vorderseite. — **4.** *Ἀναπεπταμένος* offen (vgl. S. 137, 14), v. *ἀναπετάννυμι* (*sc. τὰς πύλας*) ausbreiten, öffnen. — **5.** *Περίπτερος* von Säulen umgeben. — **6.** *Προπύλαιον* Eingangsthor. — **7.** *Ἐλέφας* Elfenbein, *ὕλη* Holz. — **7.** *Ὡσανεὶ* = *ὡς ἂν εἰ quasi* gleichsam, eine Art von. — **8.** *Προσκήνιον* Bühne, Vorraum. — **8.** *Κατάστεγος* gedeckt, bedacht. *Στέγη* Decke: S. 135, 10. — **10.** *Τετράθυρος πυλών* Thor mit 4 Thüren. — **11.** *Ὑπερέκειντο* nach Ka. — **11.** *Εὐαερία* frische Luft. Also Ventilationsvorrichtungen. — **12.** *Μέγιστος οἶκος* Hauptraum. — **13.** *Κλίνη* Lager, Speisesofa. — **14.** *Κέδρος σχιστὴ* gesägtes (eig. gespaltenes) Cedernholz. — **15.** *Μιλήσιος*, vielleicht nach Milet auf Kreta benannt (Me). Vgl. Theophr. hist. pl. III 1, 6. 2, 6. — **15.** *Περίστασις* Umgebung (Wände).

ἀριθμὸν εἴκοσι οὖσαι θυΐναις κατεκεκόλληντο σανίσιν, ἐλεφαντίνους ἔχουσαι τοὺς κόσμους. Ἡ δ' ἐνήλωσις ἡ § 72.
κατὰ πρόσωπον αὐτῶν καὶ τὰ ῥόπτρα ἐξ ἐρυθροῦ γεγονότα χαλκοῦ τὴν χρύσωσιν ἐκ πυρὸς εἰλήφει. τῶν δὲ κιόνων τὰ μὲν σώματα ἦν κυπαρίσσινα, αἱ δὲ κεφαλαὶ Κορινθιουργεῖς, ἐλέφαντι καὶ χρυσῷ διακεκοσμημέναι. τὸ δὲ ἐπιστύλιον ἐκ χρυσοῦ τὸ ὅλον· ἐφ' οὗ διάζωσμα ἐφήρμοστο περιφανῆ ζῴδια ἔχον ἐλεφάντινα μείζω πηχυαίων, τῇ μὲν τέχνῃ μέτρια, τῇ δὲ χορηγίᾳ ἀξιοθαύμαστα. ἐπέκειτο δὲ καὶ στέγη καλὴ τῷ συμποσίῳ τετράγωνος κυπαρισσίνη· γλυπτοὶ δ' αὐτῆς ἦσαν οἱ κόσμοι, χρυσῆν ἔχοντες τὴν ἐπιφάνειαν. παρέκειτο δὲ τῷ συμποσίῳ τούτῳ καὶ κοιτὼν ἑπτάκλινος· ᾧ συνῆπτο στενὴ σῦριγξ, κατὰ πλάτος τοῦ κύτους χωρίζουσα τὴν γυναικωνῖτιν. ἐν δὲ ταύτῃ συμπόσιον ἐννεάκλινον ἦν, παραπλήσιον τῇ πολυτελείᾳ τῷ μεγάλῳ, καὶ κοιτὼν πεντάκλινος. καὶ τὰ μὲν ἄχρι

---

1. *Θυΐναι σανίδες* Bretter (Fournierblättchen?) aus Thujaholz (*τὸ θύον*, v. *ἡ θύα* Lebensbaum); *κατακολλᾶν* fügen, leimen [fournieren? vgl. Theophr. hist. plant. IV 3, 4. V 7,6: *ἐπι(παρα)κολλήματα*]. — **2.** *Ἐνήλωσις* Benagelung (zum Zierrat). — **3.** *Κατὰ πρόσωπον* an der Front. — **3.** *Ῥόπτρον* Klopfring (ersetzt unsere Klingeln). — **3.** *Ἐρυθρὸς χαλκός* Kupfer. — **4.** *Χρύσωσις* Vergoldung. — **4.** *Κίων* Säule. — **5.** *Κεφαλή* Kapitäl, *Κορινθιουργής* in korinthischer Arbeit; also Kelchkapitäle. — **7.** *Ἐπιστύλιον* Architrav (v. *ἡ στῦλος* Säule. — **7.** *Διάζωσμα* Fries. — **9.** *Χορηγία* (eig. Leistung des Chorführers) Aufwand, Kostbarkeit. — **9.** *Ἀξιοθαύμαστα*. Wir umgekehrt: staunenswert. — **10.** *Τετράγωνος* (v. *γωνία* Winkel), viereckig, quadratisch getäfelt. — **11.** *Γλυπτός* (v. *γλύφω*) geschnitzt. — **12.** *Ἐπιφάνεια* Oberfläche. — **12.** *Σῦριγξ* (gen. *ιγγος*) Gang; eig. Rinne, Röhre, Pfeife. — **14.** *Γυναικωνῖτις* Frauenwohnung.

τῆς πρώτης στέγης κατεσκευασμένα τοιαῦτ' ἦν. ἀναβάντων δὲ τὰς παρακειμένας πλησίον τῷ προειρημένῳ κοιτῶνι κλίμακας οἶκος ἦν ἄλλος πεντάκλινος ὀρόφωμα ῥομβωτὸν ἔχων· καὶ πλησίον αὐτοῦ ναὸς Ἀφροδίτης θολοειδής, ἐν ᾧ μαρμάρινον ἄγαλμα τῆς θεοῦ. κατεναντίον δὲ τούτου ἄλλο συμπόσιον πολυτελὲς περίπτερον· οἱ γὰρ κίονες αὐτοῦ ἐκ λίθων Ἰνδικῶν συνέκειντο. παρὰ δὲ καὶ τούτῳ τῷ συμποσίῳ κοιτῶνες, ἀκόλουθον τὴν κατασκευὴν τοῖς
§ 73. προδεδηλωμένοις ἔχοντες. Προάγοντι δὲ ἐπὶ τὴν πρῷραν οἶκος ὑπέκειτο Βακχικὸς τρισκαιδεκάκλινος περίπτερος, ἐπίχρυσον ἔχων τὸ γεῖσον ἕως τοῦ περιτρέχοντος ἐπιστυλίου· στέγη δὲ τῆς τοῦ θεοῦ διαθέσεως οἰκεία. ἐν δὲ τούτῳ κατὰ μὲν τὴν δεξιὰν πλευρὰν ἄντρον κατεσκεύαστο, οὗ χρῶμα μὲν ἦν ἔχον τὴν πετροποιίαν ἐκ λίθων ἀληθινῶν καὶ χρυσοῦ δεδημιουργημένην· ἵδρυτο δ' ἐν αὐτῷ τῆς τῶν βασιλέων συγγενείας ἀγάλματα εἰκονικὰ λίθου λυχνέως.

---

1. *Πρώτη στέγη* erstes (unteres) Verdeck. — **3.** *Κλῖμαξ* Treppe. — **3.** *Ὀρόφωμα* Decke. — **3.** *Ῥομβωτός* in rhombischen Feldern getäfelt. — **4.** *Θολοειδής* von Gestalt einer *θόλος* (Rundtempelchen, Rotunde). — **7.** *Δὲ* Ka. — **8.** *Ἀκόλουθος* entsprechend. — **9.** *Προάγειν* hier intr. weiter vorgehen. — **11.** *Γεῖσον* Gesims. — **12.** *Οἰκεῖος* c. gen. eigentümlich, angemessen, angepafst; geeignet. — **13.** *Ἄντρον* Grotte. — **14.** *Χρῶμα* Färbung, Aussehen (*species externa* Ka). — **14.** *Πετροποιία* Felsbildung. — **15.** *Δημιουργεῖν* herstellen, arbeiten. — **16.** *Συγγένεια* Verwandtschaft. — **16.** *Εἰκονικὰ ἀγάλματα* Porträtstatuen, v. *ἡ εἰκών* das Porträt. — **16.** *Λίθος λυχνεύς* (oder *λυχνίτης*) Marmor von Paros, den man unterirdisch bei Lampenlicht (*λύχνος*) brach. Plin. n. h. XXXVI 14: *quoniam ad lucernas in cuniculis* (Stollen) *caederetur.* Natürlich tragen auch die antiken Bergknappen die Grubenlichter am Kopf: *λύχνους ἐπὶ τῶν μετώπων* (Stirn) *περι-*

Digitized by Google

ἐπιτερπὲς δ' ἱκανῶς καὶ ἄλλο συμπόσιον ἦν ἐπὶ τῇ τοῦ μεγίστου οἴκου στέγῃ κείμενον, σκηνῆς ἔχον τάξιν· ᾧ στέγη μὲν οὐκ ἐπῆν, διατόναια δὲ τοξοειδῆ διὰ ποσοῦ τινος ἐνετέτατο διαστήματος, ἐφ' ὧν αὐλαῖαι κατὰ τὸν ἀνάπλουν ἁλουργεῖς ἐνεπετάννυντο. μετὰ δὲ τοῦτο αἴθριον ἐξεδέχετο τὴν ἐπάνω τῆς ὑποκειμένης προστάδος τάξιν κατέχον· ᾧ κλῖμαξ τε ἑλικτὴ φέρουσα πρὸς τὸν κρυπτὸν περίπατον παρέκειτο καὶ συμπόσιον ἐννεάκλινον, τῇ διαθέσει τῆς κατασκευῆς Αἰγύπτιον. οἱ γὰρ γεγονότες αὐτόθι κίονες ἀνήγοντο στρογγύλοι, διαλλάττοντες τοῖς σπονδύλοις, τοῦ μὲν μέλανος, τοῦ δὲ λευκοῦ παράλληλα τιθεμένων. Εἰσὶ δ' αὐτῶν καὶ αἱ κεφαλαὶ τῷ σχήματι § 74. περιφερεῖς, ὧν ἡ μὲν ὅλη περιγραφὴ παραπλησία ῥόδοις ἐπὶ μικρὸν ἀναπεπταμένοις ἐστίν. περὶ δὲ τὸν προσαγορευόμενον κάλαθον οὐχ ἕλικες, καθάπερ ἐπὶ τῶν Ἑλληνικῶν, καὶ φύλλα τραχέα περίκειται, λωτῶν δὲ ποταμίων κάλυκες

φέρουσι Diod. Sic. III 13, 6. — **1.** *Ἐπιτερπής* ergötzlich, das Auge erfreuend. — **2.** *Σκηνή* Kajüte. — **2.** *Τάξιν ἔχειν* den Rang einnehmen, die Aufgabe haben, die Rolle spielen. — **3.** *Διατόναια* (v. *διατείνω*) *τοξοειδῆ* Spannbogen (aus Eisen?) in Form von Schiefsbogen. — **3.** *Ποσός* irgendwie grofs (*πόσος* wie grofs?), beliebig. — **4.** *Αὐλαῖαι* Vorhänge. — **5.** *Ἀνάπλους* Ausfahrt (auf See oder stromaufwärts). — **5.** *Ἁλουργής* purpurn, mit Meerpurpur gefärbt. — **6.** *Αἴθριον atrium*; *ἐκδέχομαι* hier intr.: folgen. — **7.** *Κλῖμαξ ἑλικτή* Wendeltreppe. — **10.** *Διαλλάττειν* hier intr. wechseln, abwechselnd verschieden sein. — **11.** *Σπόνδυλος* = *σφόνδυλος* Knauf. — **13.** *Περιγραφή* Umrifs. — **13.** *Ῥόδον* Rose. — **14.** *Ἀναπεπταμένος* aufgeblüht, aufgebrochen. — **15.** *Κάλαθος* Kelch. — **16.** *Φύλλα τραχέα* stachlige Blätter (Akanthos = Bärenklau). — **16.** *Λωτοὶ ποτάμιοι* Nil-Lotosblumen (Nymphaea Lotos L.). — **16.** *Κάλυξ* Kelch.

καὶ φοινίκων ἀρτιβλάστων καρποί· ἔστι δ' ὅτε καὶ πλειόνων ἄλλων ἀνθέων γέγλυπται γένη. τὸ δ' ὑπὸ τὴν ῥίζαν, ὃ δὴ τῷ συνάπτοντι πρὸς τὴν κεφαλὴν ἐπίκειται σπονδύλῳ, κιβωρίων ἄνθεσι καὶ φύλλοις ὡσανεὶ καταπεπλεγμένοις ὁμοίαν εἶχε τὴν διάθεσιν. τοὺς μὲν οὖν κίονας οὕτως Αἰγύπτιοι κατασκευάζουσι· καὶ τοὺς τοίχους δὲ λευκαῖς καὶ μελαίναις διαποικίλλουσι πλινθίσιν, ἐνίοτε δὲ καὶ τοῖς ἀπὸ τῆς ἀλαβαστρίτιδος προσαγορευομένης πέτρας. πολλὰ δὲ καὶ ἕτερα κατὰ μέσον τῆς νεὼς τὸ κύτος ἐν κοίλῃ καὶ κατὰ πᾶν αὐτῆς μέρος οἰκήματα ἦν. ὁ δὲ ἱστὸς ἦν αὐτῆς ἑβδομήκοντα πηχῶν, βύσσινον ἔχων ἱστίον ἁλουργεῖ παρασείῳ κεκοσμημένον.'

Πᾶς δ' ὁ τοῦ βασιλέως τοῦ Φιλαδέλφου πλοῦτος πολλοὺς ἐνιαυτοὺς φυλαχθεὶς κατελύθη ὑπὸ τοῦ τελευταίου Πτολεμαίου τοῦ καὶ τὸν Γαβινιακὸν συστησα-

---

1. *Ἀρτίβλαστος* eben gesprossen. — **1.** *Καρποί* nach Ka. — **3.** *Ῥίζα* Wurzel, Wurzelende. — **4.** *Κιβώριον* ägyptische Bohne; Frucht einer Sumpfpflanze (Nymphaea Nelumbo L.). Seit Augustus wurden Becher in dieser Form beliebt: *Oblivioso levia Massico ciboria exple* Hor. Od. II. 7, 22. — **6.** *Τοῖχος* Wand. — **7.** *Πλινθίς* Platte, Kachel, Fliese. — **8.** *Ἀλαβαστρῖτις* (adj. fem. von *ἀλαβαστρίτης*) *πέτρα* Alabaster, so benannt, weil aus ihm besonders die Salbgefäfse (*ἀλάβαστρα*) gefertigt wurden. — **10.** *Ἐν κοίλῃ* in der Höhlung, im Bauch, im Inneren. — **11.** *Ἱστός* Mast. — **11.** *Βύσσινον ἱστίον* Leinewandsegel, v. *ἡ βύσσος* Leinewand. — **12.** *Παράσειον* (Handschr. *παράσειρον*) entweder: Saum des Segels, Liek; oder Wimpel, Flagge. Lucian Navig. 5: *Ὁ μὲν γὰρ ἄλλος κόσμος, αἱ γραφαὶ καὶ τοῦ ἱστίου τὸ παράσειον πυραυγές* (feuerglänzend) *κ. τ. λ.* — **14.** *Πολλοὺς ἐνιαυτούς* Sch. — **15.** *Πτολεμαίου.* Ptolemaeos XI Auletes (— 80/51), vertrieben und von Gabinius (— 55) zurückgeführt. Seine Tochter ist die bekannte Kleopatra.

μένου πόλεμον, οὐκ ἀνδρὸς γενομένου, ἀλλ' αὐλητοῦ καὶ μάγου.

26. Die Syracusia des Hiero.

Περὶ δὲ τῆς ὑπὸ Ἱέρωνος τοῦ Συρακοσίου κατα- § 75.
σκευασθείσης νεώς, ἧς καὶ Ἀρχιμήδης ἦν ὁ γεωμέτρης ἐπόπτης, οὐκ ἄξιον εἶναι κρίνω σιωπῆσαι, σύγγραμμα ἐκδόντος Μοσχίωνός τινος, ᾧ οὐ παρέργως ἐνέτυχον ὑπογυίως. γράφει οὖν ὁ Μοσχίων οὕτως. Διοκλείδης μὲν ὁ Ἀβδηρίτης θαυμάζεται ἐπὶ τῇ πρὸς τὴν Ῥοδίων πολιόρκησιν ὑπὸ Δημητρίου προσαχθείσῃ τοῖς τείχεσιν ἑλεπόλει, Τίμαιος δ' ἐπὶ τῇ πυρᾷ τῇ κατασκευασθείσῃ Διονυσίῳ τῷ Σικελίας τυράννῳ, καὶ Ἱερώνυμος ἐπὶ τῇ

---

1. *Αὐλητὴς καὶ μάγος* Klarinettenvirtuose und Spiritist. — 4. *Ἱέρων.* Nicht Hiero I (— 478/467), der Sieger in den Olympien, Gönner des Pindar und Aeschylos, Gründer von Ätna; sondern Hiero II (— 270/215), der Gegner der Punier, Freund der Römer, Gönner des Archimedes. — 6. *Ἐπόπτης* Aufseher; hier: Oberingenieur, Oberbaurat. — 7. *Παρέργως* beiläufig, *οὐ παρέργως* gründlich; *ἐντυγχάνειν συγγράμματι* lesen. — 8. *Ὑπόγυιος* (lokal) was unter den Gliedern (Füſsen oder Händen) liegt, naheliegend, greifbar, bereit; *ὑπογυίως* (temporal) vor kurzem, neulich, jüngst erst. — 8. Moschion, Diokleides, Timaeos, Hieronymos, Polykleitos sind Beschreiber, nicht Hersteller der genannten Werke. Also scheint hinter *Πέρσῃ* (S. 140, 3) eine Lücke zu sein, in der Moschion etwa folgendes sagte: *Τούτοις οὖν ἀκολουθῶν ἐγὼ περὶ τῆς ὑπ' Ἀρχιμήδους κατασκευασθείσης νεὼς ἐπραγματευσάμην τόδε τὸ σύγγραμμα.* — 10. *Πολιόρκησιν* (nach Ka) für *πόλιν.* Zeit: — 305. — 11. Die *ἑλέπολις* („Stadteroberin") ist der berühmte Belagerungsturm des Demetrios *Πολιορκητής* („Belagerer"), den Ammianus Marcellinus (XXIII 4, 10) beschreibt. — 11. *Πυρά* Scheiterhaufen.

κατασκευῇ τῆς ἁρμαμάξης, ᾗ συνέβαινε κατακομισθῆναι τὸ Ἀλεξάνδρου σῶμα, Πολύκλειτος δ' ἐπὶ τῷ λυχνίῳ τῷ κατασκευασθέντι τῷ Πέρσῃ· Ἱέρων δὲ ὁ Συρακοσίων βασιλεύς, ὁ πάντα Ῥωμαίοις φίλος, ἐσπουδάκει μὲν καὶ περὶ ἱερῶν καὶ γυμνασίων κατασκευάς, ἦν δὲ καὶ περὶ ναυπηγίας φιλότιμος, πλοῖα σιτηγὰ κατασκευαζόμενος, ὧν ἑνὸς τῆς κατασκευῆς μνησθήσομαι. εἰς ὕλην μὲν ξύλωσιν ἐκ τῆς Αἴτνης παρεσκεύαστο ἑξήκοντα τετρηρικῶν
§ 76. *σκαφῶν τὸ πλῆθος ἐξεργάσασθαι δυναμένην. Ὡς δὲ ταῦτα ἡτοιμάσατο γόμφους τε καὶ ἐγκοίλια καὶ σταμῖνας καὶ τὴν εἰς τὴν ἄλλην χρείαν ὕλην τὴν μὲν ἐξ Ἰταλίας, τὴν δ' ἐκ Σικελίας, εἰς δὲ σχοινία λευκέαν μὲν ἐξ Ἰβηρίας, κάνναβιν δὲ καὶ πίτταν ἐκ τοῦ Ῥοδανοῦ ποταμοῦ καὶ τἄλλα πάντα τὰ χρειώδη πολλαχόθεν. συνήγαγε δὲ καὶ ναυπηγοὺς καὶ τοὺς ἄλλους τεχνίτας καὶ καταστήσας ἐπὶ πάντων Ἀρχίαν τὸν Κορίνθιον ἀρχιτέκτονα παρεκάλεσε προθύμως ἐπιλαβέσθαι τῆς κατασκευῆς, προσκαρτερῶν*

---

1. *Ἁρμάμαξα* Transportwagen, hier: Leichenwagen. — **2.** *Λυχνίον* Lampe, Kandelaber. — **6.** *Φιλότιμος* ehrgeizig, eifrig bestrebt. — **6.** *Σιτηγός* Getreide bringend. — **8.** *Ξύλωσις* eig. Abholzung, hier: Holzvorrat. — **10.** *Γόμφοι* Klammern; *ἐγκοίλια* und *σταμῖνες* Spanten, Rippen, vielleicht *ἐγκ.* die unteren, *στα.* die oberen (aufrecht stehenden) Teile (‚Inhölzer'). Hölzerne *γόμφοι* meint auch Herodot II 36: *γόμφους πυκνοὺς καὶ μακρούς*. Denn eiserne brauchte er nicht erst ‚fest' zu nennen. — **12.** *Σχοινίον* Strick, Tau aus Hanf; *λευκέα* (Herod. VII 25: *λευκόλινον*) ist eine Art Hanf (*κάνναβις*). — **13.** *Πίττα* Pech, Teer; *ἐκ* = *ἀπό*. — **15.** *Τεχνίτης* Ingenieur, Werkmeister. — **18.** *Προσκαρτερεῖν* dabei ausdauern, bleiben.

καὶ αὐτός τινας ἡμέρας. τὸ μὲν οὖν ἥμισυ τοῦ παντὸς τῆς νεὼς ἐν μησὶν ἓξ ἐξειργάσατο· καὶ ταῖς ἐκ μολίβου ποιηθείσαις κεραμίσιν ἀεὶ καθ' ὃ ναυπηγηθείη μέρος περιελαμβάνετο, ὡς ἂν τριακοσίων ὄντων τῶν τὴν ὕλην ἐργαζομένων τεχνιτῶν χωρὶς τῶν ὑπηρετούντων. τοῦτο μὲν οὖν τὸ μέρος εἰς τὴν θάλασσαν καθέλκειν προσετέτακτο, τὴν λοιπὴν κατασκευὴν ἵν' ἐκεῖ λαμβάνῃ. Ὡς § 77. δὲ περὶ τὸν καθελκυσμὸν αὐτοῦ τὸν εἰς τὴν θάλασσαν πολλὴ ζήτησις ἦν, Ἀρχιμήδης ὁ μηχανικὸς μόνος αὐτὸ κατήγαγε δι' ὀλίγων σωμάτων. κατασκευάσας γὰρ ἕλικα τὸ τηλικοῦτον σκάφος εἰς τὴν θάλασσαν κατήγαγε. πρῶτος δ' Ἀρχιμήδης εὗρε τὴν τῆς ἕλικος κατασκευήν. ὡς δὲ καὶ τὰ λοιπὰ μέρη τῆς νεὼς ἐν ἄλλοις ἓξ μησὶ κατεσκευάσθη καὶ τοῖς χαλκοῖς ἥλοις πᾶσα περιελήφθη, ὧν οἱ πολλοὶ δεκάμνοοι ἦσαν, οἱ δ' ἄλλοι τούτων ἡμιόλιοι (διὰ τρυπάνων δ' ἦσαν οὗτοι ἡρμοσμένοι τοὺς σταμῖνας συνέχοντες· μολυβδίναις δὲ κεραμίσιν ἐπεστεγνοῦντο πρὸς τὸ ξύλον, ὑποτιθεμένων ὀθονίων μετὰ πίττης) ὡς οὖν τὴν ἐκτὸς ἐπιφάνειαν ἐξειργάσατο, τὴν ἐντὸς διασκευὴν ἐξεπονεῖτο. ἦν δὲ ἡ ναῦς τῇ μὲν κατασκευῇ εἰκόσορος, τριπάροδος δέ·

---

1. *Τινας* (Sch) *ἡμέρας* so manchen Tag. — **3.** *Κεραμίς* eig. Thonziegel; hier: Platte aus Blei (*μόλιβος*). — **5.** *Ὑπηρετοῦντες* Diener, Gehilfen. — **10.** *Σώματα* Körper (= Menschen), Hilfskräfte, Arbeiter. — **10.** *Ἕλιξ* Gewinde, Flaschenzug: § 32 B. § 33a. — **14.** *Ἧλος* Nagel. — **15.** *Δεκάμνοος* (v. *δέκα* und *μνᾶ*) zehn Minen schwer, neunpfündig; *ἡμιόλιος* (v. *ἡμι* und *ὅλος*) anderthalbmal so schwer. — **16.** *Τρύπανον* Bohrer. — **17.** *Ἐπιστεγνοῦν* (Ka) überdecken. Vgl. *καταστεγνοῦν* S. 143, 1. — **18.** *Ὀθόνιον* Stücke Leinewand (*ὀθόνη*). — **20.** *Εἰκόσορος* (?) zwanzigrudrig (S. 30, 8). — **20.** *Τριπάροδος*

τὴν μὲν κατωτάτω ἔχουσα ἐπὶ τὸν γόμον, ἐφ' ἣν διὰ κλιμάκων πυκνῶν ἡ κατάβασις ἐγίνετο· ἡ δ' ἑτέρα τοῖς εἰς τὰς διαίτας βουλομένοις εἰσιέναι ἐμεμηχάνητο· μεθ' ἣν ἡ τελευταία τοῖς ἐπὶ τοῖς ὅπλοις τεταγμένοις. ἦσαν δὲ τῆς μέσης παρόδου παρ' ἑκάτερον τῶν τοίχων δίαιται

§ 78. *τετράκλινοι τοῖς ἀνδράσι, τριάκοντα τὸ πλῆθος. Ἡ δὲ ναυκληρικὴ δίαιτα κλινῶν μὲν ἦν πεντεκαίδεκα, θαλάμους δὲ τρεῖς εἶχε τρικλίνους, ὧν ἦν τὸ κατὰ τὴν πρύμναν ὀπτανεῖον. ταῦτα δὲ πάντα δάπεδον εἶχεν ἐν ἀβακίσκοις συγκείμενον ἐκ παντοίων λίθων, ἐν οἷς ἦν κατεσκευασμένος πᾶς ὁ περὶ τὴν Ἰλιάδα μῦθος. θαυμασίως δὲ ταῖς τε κατασκευαῖς καὶ ταῖς ὀροφαῖς καὶ θυρώμασι δὲ πάντα ἦν ταῦτα πεπονημένα. κατὰ δὲ τὴν ἀνωτάτω πάροδον γυμνάσιον ἦν καὶ περίπατοι σύμμετρον ἔχοντες τὴν κατασκευὴν τῷ τοῦ πλοίου μεγέθει, ἐν οἷς κῆποι παντοῖοι θαυμάσιοι ἦσαν ὑπερβαλλόντως ταῖς φυτείαις, διὰ κερα-*

---

mit 3 Längsgängen (*πάροδοι*) versehen. — **1.** ***Τὴν μὲν κατωτάτω*** *sc. πάροδον.* — **1.** ***Γόμος*** Ladung (v. *γέμω* voll sein, wie *λόγος* v. *λέγω*). — **2.** ***Κλίμακες πυκναί*** feste Treppen, Ggstz. *κλίμακες ἑλικταὶ* S. 137, 7. — **3.** ***Δίαιτα*** eig. Lebensweise (‚Diät'); hier Wohnraum, Kajüte. — **4.** ***Ἐπὶ*** (Wi) für *ἐν*. — **4.** ***Ὅπλα*** Taue, Takelage. — **7.** ***Ναύκληρος*** Schiffsherr, Kapitän. — **7.** ***Θάλαμος*** Kammer, Gemach, bes. Schlafraum. — **9.** ***Ὀπτανεῖον*** Küche (v. *ὀπτᾶν* braten, dämpfen). — **9.** ***Δάπεδον*** Fufsboden. — **9.** ***Ἀβακίσκοι*** (v. *ἄβαξ*) Täfelchen, hier wohl: Mosaiken; ***παντοῖος*** bunt ***varius***. — **11.** ***Δὲ*** Sch. — **12.** ***Κατασκευαί*** Ausstattung, *ὀροφαί* Decken, *θυρώματα* Thüren. — **12.** ***Καὶ . . δὲ*** und auch. — **15.** ***Κῆπος*** Garten. — **16.** ***Θαυμάσιοι ὑπερβαλλόντως*** (aufserordentlich) nach Ka für *θαυμασίως ὑπερβάλλοντες*. — **16.** ***Φυτεία*** Pflanzung (v. *φυτεύω*).

μίδων μολυβδινῶν κατεστεγνωμένων ἀρδευόμενοι, ἔτι δὲ σκηναὶ κιττοῦ λευκοῦ καὶ ἀμπέλων, ὧν αἱ ῥίζαι τὴν τροφὴν ἐν πίθοις εἶχον γῆς πεπληρωμένοις, τὴν αὐτὴν ἄρδευσιν λαμβάνουσαι, καθάπερ καὶ οἱ κῆποι. αὗται δὲ αἱ σκηναὶ συνεσκίαζον τοὺς περιπάτους. ἑξῆς δὲ τούτων Ἀφροδίσιον κατεσκεύαστο τρίκλινον, δάπεδον ἔχον ἐκ λίθων ἀχατῶν τε καὶ ἄλλων χαριεστάτων, ὅσοι κατὰ τὴν νῆσον ἦσαν· τοὺς τοίχους δ' εἶχε καὶ τὴν ὀροφὴν κυπαρίττου, τὰς δὲ θύρας ἐλέφαντος καὶ θύου· γραφαῖς δὲ καὶ ἀγάλμασιν, ἔτι δὲ ποτηρίων κατασκευαῖς ὑπερβαλλόντως κατεσκεύαστο. Τούτου δ' ἐφεξῆς σχολαστήριον ὑπῆρχε § 79.
πεντάκλινον, ἐκ πύξου τοὺς τοίχους καὶ τὰ θυρώματα κατεσκευασμένον, βιβλιοθήκην ἔχον ἐν αὐτῷ, κατὰ δὲ τὴν ὀροφὴν πόλον ἐκ τοῦ κατὰ τὴν Ἀχραδίνην ἀπομεμιμημένον ἡλιοτροπίου. ἦν δὲ καὶ βαλανεῖον τρίκλινον πυρίας χαλ-

---

1. *Κεραμίδες* hier: Hohlziegel. — **1.** *Ἀρδευόμενοι* (Ka) bewässert. Davon *ἄρδευσις* Begiefsung. — **2.** *Σκηνή* Laube. — **2.** *Κισσός* Epheu. Dem Dionysos heilig. — **3.** *Πίθος* Fafs, Kübel. — **5.** *Συσκιάζειν* beschatten. — **6.** *Ἀφροδίσιον* Gemach der Aphrodite. — **7.** *Ἀχάτης* (ὁ) Achat. — **7.** *Χαρίεις* anmutig, fein, schön. — **9.** *Δὲ* Schw. — **10.** *Ποτήριον* Trinkgefäfs; *ποτηρίων κατασκευαί* Ausstattung an Trinkgeschirr. — **11.** *Σχολαστήριον* Studier-, Arbeitszimmer. — **12.** *Πύξος* Buchsbaum. — **14.** *Πόλος* (v. *πέλεσθαι, πολεῖν* drehen) vielleicht = *ὡροσκοπεῖον* ‚Zifferblatt' (andere: Zeiger, Stift) der Sonnenuhr. — **15.** *Ἡλιοτρόπιον* eine Sonnenuhr. Vgl. Plut. Dion 29: *Ἦν δ' ὑπὸ τὴν ἀκρόπολιν ... ἡλιοτρόπιον καταφανὲς καὶ ὑψηλόν.* Die Akropolis lag in der *Ἀχράδινα* oder *Ἀχραδινή*, dem östlichen Stadtteil von Syrakus (Fig. 1). — **15.** *Βαλανεῖον* *balinēum* Baderaum. — **15.** *Πυρία* Badewanne (für heifses Wasser, v. *πῦρ*).

κᾶς ἔχον τρεῖς καὶ λουτῆρα, πέντε μετρητὰς δεχόμενον, ποικίλον τοῦ Ταυρομενίτου λίθου. κατεσκεύαστο δὲ καὶ οἰκήματα πλείω τοῖς ἐπιβάταις καὶ τοῖς τὰς ἀντλίας φυλάττουσι. χωρὶς δὲ τούτων ἱππῶνες ἦσαν ἑκατέρου τῶν τοίχων δέκα· κατὰ δὲ τούτους ἡ τροφὴ τοῖς ἵπποις ἔκειτο καὶ τῶν ἀναβατῶν καὶ τῶν παίδων τὰ σκεύη. ἦν δὲ καὶ ὑδροθήκη κατὰ τὴν πρῷραν κλειστή, δισχιλίους μετρητὰς δεχομένη, ἐκ σανίδων καὶ πίττης καὶ ὀθονίων κατεσκευασμένη. παρὰ δὲ ταύτην κατεσκεύαστο διὰ μολιβδώματος καὶ σανίδων κλειστὸν ἰχθυοτροφεῖον· τοῦτο δ' ἦν πλῆρες θαλάττης, ἐν ᾧ πολλοὶ ἰχθύες εὖ ἐτρέφοντο. ὑπῆρχον δὲ καὶ τῶν τοίχων ἑκατέρωθεν τροποὶ προεωσμένοι, διάστημα σύμμετρον ἔχοντες· ἐφ' ὧν κατεσκευασμέναι ἦσαν ξυλοθῆκαι καὶ κρίβανοι καὶ ὀπτανεῖα καὶ μύλοι καὶ πλείους ἕτεραι διακονίαι. ἄτλαντές τε περιέτρεχον τὴν ναῦν ἐκτὸς ἑξαπήχεις, οἳ τοὺς ὄγκους ὑπειλήφεσαν τοὺς ἀνωτάτω καὶ τὸ τρίγλυφον, πάντες ἐν δια-

---

1. *Λουτήρ* Bassin. — **1.** *Μετρητής* Maſs = 40 Liter. — **2.** *Ταυρομενίτης λίθος* Stein von Tauromenion (j. Taormina) an der sizilischen Ostküste), eine Marmorart. — **3.** *Ἐπιβάτης* Schiffssoldat, *ἀναβάτης* Reiter. — **3.** *Ἀντλίαι sentina* Schiffswasser. — **4.** *Ἱππών* (ὁ) Pferdestall. — **6.** *Παῖδες* Sklaven, Burschen, Stallknechte. — **7.** *Ὑδροθήκη* Wasserbehälter. — **7.** *Κλειστός* verschlieſsbar (v. *κλείω*). — **10.** *Ἰχθυοτροφεῖον* Fischteich. — **12.** *Τροποί* (Schw) Balken; *προωθεῖν* vorstoſsen, *προεωσμένος* herausragend. — **13.** *Σύμμετρος* angemessen, zweckentsprechend. — **14.** *Ξυλοθῆκαι* Holzställe, *κρίβανοι* Öfen, *ὀπτανεῖα* Grills (Roste), *μύλοι* Mühlen. — **15.** *Διακονίαι* Hausgeräte. — **15.** *Ἄτλαντες* Atlasfiguren (Schulterträger). — **16.** *Ὄγκος* Masse, Last. — **17.** *Τὸ τρίγλυφον* das Dreischlitzwerk. die Dreischlitze.

στήματι συμμέτρῳ βεβῶτες. ἡ δὲ ναῦς πᾶσα οἰκείαις
γραφαῖς ἐπεπόνητο. Πύργοι τε ἦσαν ἐν αὐτῇ ὀκτὼ σύμ- § 80.
μετροι τὸ μέγεθος τοῖς τῆς νεὼς ὄγκοις· δύο μὲν κατὰ
πρύμναν, οἱ δ' ἴσοι κατὰ πρῷραν, οἱ λοιποὶ δὲ κατὰ
μέσην ναῦν. τούτων δὲ ἑκάστῳ παρεδέδεντο κεραῖαι β',
ἐφ' ὧν κατεσκεύαστο φατνώματα, δι' ὧν ἠφίεντο λίθοι
πρὸς τοὺς ὑποπλέοντας τῶν πολεμίων. ἐπὶ δὲ τῶν
πύργων ἕκαστον ἀνέβαινον τέτταρες μὲν καθωπλισμένοι
νεανίσκοι, δύο δὲ τοξόται. πᾶν δὲ τὸ ἐντὸς τῶν πύργων
λίθων καὶ βελῶν πλῆρες ἦν. τεῖχος δὲ ἐπάλξεις ἔχον καὶ
καταστρώματα διὰ νεὼς ἐπὶ κιλλιβάντων κατεσκεύαστο·
ἐφ' οὗ λιθοβόλος ἐφειστήκει, τριτάλαντον λίθον ἀφ' αὑτοῦ
ἀφιεὶς καὶ δωδεκάπηχυ βέλος. τοῦτο δὲ τὸ μηχάνημα
κατεσκεύασεν Ἀρχιμήδης. ἑκάτερον δὲ τῶν βελῶν ἔβαλ-
λεν ἐπὶ στάδιον. μετὰ δὲ ταῦτα παραρτήματα ἐκ τροπῶν
παχέων συγκείμενα διὰ ἁλύσεων χαλκῶν κρεμάμενα. Τριῶν § 81.
δὲ ἱστῶν ὑπαρχόντων ἐξ ἑκάστου κεραῖαι λιθοφόροι ἐξήρ-

---

1. *Συμμέτρῳ* Me. — **1.** *Βεβῶτες* contr. aus *βεβαῶτες*, v. *βαίνω*. — **1.** *Οἰκεῖος* geeignet (S. 136, 12). — **2.** *Πύργος* Turm. — **5.** *Παραδεῖν* seitwärts anbinden. — **5.** *Κεραία* Raa; Krahnbalken. — **6.** *Φατνώματα* Schiefsstände, Schiefsscharten. — **10.** *Ἔπαλξις* Zinne, Brustwehr. — **11.** *Κατάστρωμα* Verdeck; *διὰ νεώς* in der Länge des Schiffs, über das ganze Schiff hin. — **11.** *Κιλλίβας* (ὁ) Gestell. — **12.** *Λιθοβόλος* Geschütz (§ 17). — **12.** *Τριτάλαντος* fast 160 Pfund schwer. — **13.** *Δωδεκάπηχυς* über $5^1/_2$ Meter lang. — **13.** *Μηχάνημα* Maschine (vgl. § 44). — **15.** *Στάδιον* 600 Fufs. — **15.** *Μετὰ δὲ ταῦτα* (?) *παραρτήματα* (v. *παραρτᾶν* danebenhängen) hängende Lasten (?). Überliefert ist *παρατρήματα* (v. *τρῆμα* Loch?); vermutet wird *παραῤῥύματα* (seitliche Decken?). — **15.** *Τροποί* Balken (S. 144, 12). — **16.** *Ἅλυσις* Kette. — **17.** *Ἱστός* Mast. *Κεραία*

τηντο β', ἐξ ὧν ἁρπαγές τε καὶ πλίνθοι μολίβου πρὸς τοὺς ἐπιτιθεμένους ἠφίεντο. ἦν δὲ καὶ χάραξ κύκλῳ τῆς νεὼς σιδηροῦς πρὸς τοὺς ἐπιχειροῦντας ἀναβαίνειν κόρακές τε σιδηροῖ, οἳ δι' ὀργάνων ἀφιέμενοι τὰ τῶν ἐναντίων ἐκράτουν σκάφη καὶ παρέβαλλον εἰς πληγήν. ἑκατέρῳ δὲ τῶν τοίχων ἑξήκοντα νεανίσκοι πανοπλίας ἔχοντες ἐφειστήκεσαν καὶ τούτοις ἴσοι περί τε τοὺς ἱστοὺς καὶ τὰς λιθοφόρους κεραίας. ἦσαν δὲ καὶ κατὰ τοὺς ἱστοὺς ἐν τοῖς καρχησίοις οὖσι χαλκοῖς ἐπὶ μὲν τοῦ πρώτου τρεῖς ἄνδρες, εἶθ' ἑξῆς καθ' ἕνα λειπόμενοι· τούτοις δ' ἐν πλεκτοῖς γυργάθοις διὰ τροχιλίων εἰς τὰ θωράκια λίθοι παρεβάλλοντο καὶ βέλη διὰ τῶν παίδων. ἄγκυραι δὲ
§ 82. *ἦσαν ξύλιναι μὲν τέτταρες, σιδηραῖ δ' ὀκτώ. Τῶν δὲ ἱστῶν ὁ μὲν δεύτερος καὶ τρίτος εὐχερῶς, δυσχερῶς δὲ ὁ πρῶτος εὑρέθη ἐν τοῖς ὄρεσι τῆς Βρεττίας ὑπὸ συβώτου ἀνδρός· κατήγαγε δ' αὐτὸν ἐπὶ θάλατταν* Φιλέας *ὁ* Ταυρομενίτης *μηχανικός. ἡ δὲ ἀντλία καίπερ βάθος ὑπερβάλλον ἔχουσα δι' ἑνὸς ἀνδρὸς ἐξηντλεῖτο διὰ κοχλίου,*

Z. 5. *Ἐξαρτᾶν* anhängen. — **1.** *Ἅρπαξ* Widerhaken. — **1.** *Πλίνθος* Ziegel, Platte. — **2.** *Χάραξ* Pfahl, Pallisade, Pfahlwerk. — **3.** *Κόραξ* Rabe; Krummschnabel, Haken, Enterhaken. — **4.** Hinter *σιδηροῖ* ist *κύκλῳ τῆς νεώς* getilgt (nach Ka). — **4.** *Ὄργανον* Werkzeug, Instrument. Vgl. § 44 A. — **6.** *Πανοπλία* volle Rüstung. — **9.** *Καρχήσιον* Mastkorb. — **10.** *Καθ' ἕνα λειπόμενοι* je einer weniger. — **11.** *Πλεκτοῖς γυργάθοις* geflochtenen Körben (ὁ). — **11.** *Τροχίλιον* = *τροχιλία* Rad, Haspel, Winde (v. *τρόχος*, *τρέχω*). — **11.** *Θωράκιον* Verschanzung (*θώραξ*). *Παρεβάλλοντο* wurden zur Seite geschüttet. — **12.** *Ἄγκυρα* Anker. — **14.** *Εὐχερῶς* (nach Ka) mühelos. — **15.** *Βρεττίας* (Ka) f. *Βρεττιανῆς* (Schw) Bruttien. — **15.** *Συβώτης* Schweinehirt. — **18.** *Κοχλίας* (ὁ) Schnecke, unendliche Schraube (§ 32 A).

Ἀρχιμήδους ἐξευρόντος. ὄνομα δ' ἦν τῇ νηὶ *Συρακοσία*· ὅτε δ' αὐτὴν ἐξέπεμπεν Ἱέρων, *Ἀλεξανδρίδα* αὐτὴν μετωνόμασεν. ἐφόλκια δ' ἦσαν αὐτῇ τὸ μὲν πρῶτον κέρκουρος τρισχίλια τάλαντα δέχεσθαι δυνάμενος· πᾶς δ' ἦν οὗτος ἐπίκωπος. μεθ' ὃν χίλια πεντακόσια βαστάζουσαι ἁλιάδες τε καὶ σκάφαι πλείους. ὄχλος δ' ἦν οὐκ ἐλάττων … μετὰ τοὺς προειρημένους ἄλλοι τε ἑξακόσιοι παρὰ τὴν πρῷραν ἐπιτηροῦντες τὰ παραγγελλόμενα. τῶν δὲ κατὰ ναῦν ἀδικημάτων δικαστήριον καθειστήκει ναύκληρος, κυβερνήτης καὶ πρῳρεύς, οἵπερ ἐδίκαζον κατὰ τοὺς Συρακοσίων νόμους.

§ 83. Σίτου δὲ ἐνεβάλλοντο εἰς τὴν ναῦν μυριάδας ἕξ, ταρίχων δὲ Σικελικῶν κεράμια μύρια, ἐρίων τάλαντα δισμύρια, καὶ ἕτερα δὲ φορτία δισμύρια. χωρὶς δὲ τούτων ὁ ἐπισιτισμὸς ἦν τῶν ἐμπλεόντων. ὁ δ' Ἱέρων ἐπεὶ πάντας τοὺς λιμένας ἤκουεν τοὺς μὲν ὡς οὐ δυνατοί εἰσι τὴν ναῦν δέχεσθαι, τοὺς δὲ καὶ ἐπικινδύνους ὑπάρχειν, διέγνω δῶρον αὐτὴν ἀποστεῖλαι Πτολεμαίῳ τῷ βασιλεῖ εἰς Ἀλεξάν-

---

1. *Συρακοσία* Schiffsnamen sind bei den Alten meist Feminina, wie wir sagen: ‚Die Deutschland'. — **3.** *Εφόλκιον* Beischiff. — **4.** *Κέρκουρος* Art Lastschiff. — **4.** *Τρισχίλια τάλαντα* = 78,6 Tons: § 13 B und C. — **5.** *Ἐπίκωπος* mit Rudern (*κώπη*) ausgestattet. — **5.** *Βαστάζειν* tragen, fassen; *sc. τάλαντα.* — **6.** *Ἁλιάδες* Kähne, *σκάφαι* Bote. — **4.** *Ἐλάττων.* Hier fehlt eine Zahlangabe über die Bemannung (*ὁ ὄχλος*). — **8.** *Παραγγέλλειν* befehlen. — **9.** *Ναύκληρος* Kapitän, *κυβερνήτης* Steuermann, *πρῳρεύς* Vorschiffsoffizier. — **11.** *Μυριάδας ἕξ sc. ταλάντων* 60000 Talente. — **12.** *Τάριχοι* Pökelfleisch. — **12.** *Κεράμιον* Thontopf. — **12.** *Ἔριον* Wolle. — **13.** *Φορτίον* Last, Ladung. Allein diese Gesamtladung (ohne die unmefsbaren Fleischtöpfe) betrug 2620 Tons. — **16.** *Διέγνω* beschlofs.

δρειαν· καὶ γὰρ ἦν σπάνις σίτου κατὰ τὴν Αἴγυπτον. καὶ οὕτως ἐποίησε, καὶ ἡ ναῦς κατήχθη εἰς τὴν Ἀλεξάνδρειαν, ἔνθα καὶ ἐνεωλκήθη. ὁ δ' Ἱέρων καὶ Ἀρχίμηλον τὸν τῶν ἐπιγραμμάτων ποιητὴν γράψαντα εἰς τὴν ναῦν ἐπίγραμμα χιλίοις πυρῶν μεδίμνοις, οὓς καὶ παρέπεμψεν ἰδίοις δαπανήμασιν εἰς τὸν Πειραιᾶ, ἐτίμησεν. ἔχει δ' οὕτως τὸ ἐπίγραμμα·

§ 84. Τίς τόδε σέλμα πέλωρον ἐπὶ χθονὸς εἵσατο; ποῖος
κοίρανος ἀκαμάτοις πείσμασιν ἠγάγετο;
πῶς δὲ κατὰ δρυόχων ἐπάγη σανίς, ἢ τίνι γόμφοι
τμηθέντες πελέκει τοῦτ' ἔκαμον τὸ κύτος,
ἢ κορυφαῖς Αἴτνας παρισούμενον ἤ τινι νάσων
ἃς Αἰγαῖον ὕδωρ Κυκλάδας ἐνδέεται,
τοίχοις ἀμφοτέρωθεν ἰσοπλατές. ἦ ῥα Γίγαντες
τοῦτο πρὸς οὐρανίας ἔξεσαν ἀτραπιτούς.
ἄστρων γὰρ ψαύει καρχήσια καὶ τριελίκτους
θώρακας μεγάλων ἐντὸς ἔχει νεφέων.

---

3. *Νεωλκεῖν* ein Schiff aufs Trockene ziehen. — 5. *Πυροί* Weizen. — 6. *Ἰδίοις δαπανήμασιν* auf eigene Kosten. — 6. *Πειραιᾶ.* Also war Archimelos ein Athener. — 8. *Σέλμα* Verdeck; Fahrzeug. *Πέλωρος* riesig. *Τίς εἵσατο* wer baute sich? (v. ἕζω setzen, aufbauen). — 9. *Κοίρανος* Herr. *Ἀκάματος* unermüdlich, unverwüstlich. *Πεῖσμα* Tau. — 10. *Δρύοχοι* ‚Holzhalter', Spanten. *Σανίς* Brett, Planke. *Γόμφοι* Klammern. — 12. *Παρισοῦν* angleichen. *Νᾶσος* (dorisch) = *νῆσος*. — 13. *Ὕδωρ* = *πέλαγος*. *Ἐνδεῖν* fesseln. — 15. *Ἔξεσαν* v. *ἐξίημι* hinaus-, emporschicken. *Ἀτραπιτός* Pfad. — 16. *Καρχήσια* Mastkörbe. *Τριελίκτους θώρακας* dreifach gewundene Panzer, d. h. wohl Verschanzungen (*θωράκια* S. 146, 11) aus dreifachem Flechtwerk.

πείσμασι δ' ἀγκύρας ἀπερείδεται οἷσιν Ἀβύδου
Ξέρξης καὶ Σηστοῦ δισσὸν ἔδησε πόρον.
μανύει στιβαρᾶς κατ' ἐπωμίδος ἀρτιχάρακτον
γράμμα, τίς ἐκ χέρσου τάνδ' ἐκύλισε τρόπιν·
φατὶ γὰρ ὡς Ἱέρων Ἱεροκλέος Ἑλλάδι πάσᾳ
καὶ νάσοις καρπὸν πίονα δωροφορῶν,
Σικελίας σκαπτοῦχος ὁ Δωρικός. ἀλλά, Πόσειδον,
σῷζε διὰ γλαυκῶν σέλμα τόδε ῥοθίων.

27. Der heilige Dreireiher des Antigonos.

Παρέλιπον δ' ἑκὼν ἐγὼ τὴν Ἀντιγόνου ἱερὰν § 85.
τριήρη, ᾗ ἐνίκησε τοὺς Πτολεμαίου στρατηγοὺς περὶ Λεύκολλαν τῆς Κῴας, ὅπου δὴ καὶ τῷ Ἀπόλλωνι αὐτὴν ἀνέθηκεν· ἥτις οὐδὲ τὸ τρίτον, τάχα δὲ οὐδὲ τὸ τέταρτον εἶχε τῆς Συρακοσίας ἢ Ἀλεξανδρίδος ἐκείνης νεώς.'

Τοσαῦτ' οὖν περὶ τοῦ τῶν νεῶν καταλόγου οὐκ ἀπὸ Βοιωτῶν ἀρξάμενοι κατελέξαμεν, ἀλλ' ἀπὸ πανηγυρικῶν πομπῶν.

---

2. *Διοσὸς πόρος* doppelte Strafse. Bezieht sich auf die doppelte Schiffbrücke des Xerxes über den Hellespont. — **3.** *Μανύει* (dorisch) = *μηνύει*. *Στιβαρός* kräftig. *Ἐπωμίς* Krahnbalken (v. ὁ *ὦμος* Schulter). *Ἀρτιχάρακτος* frisch eingraviert. — **4.** *Γράμμα* Schrift. *Τάνδε* (dorisch) = *τήνδε*. *Κυλίω* wälzen, rollen. *Τρόπις* Kiel. — **5.** *Φατὶ* dorisch. — **6.** *Καρπός* Frucht (Getreide). *Δωροφορεῖν* zum Geschenke machen. — **7.** *Σκαπτοῦχος* (dorisch) = *σκηπτοῦχος*. — **8.** *Ῥόθια* (v. *ῥόθος* Brausen) Wogengebrause, rauschende Wogen. — **10.** Antigonos Gonatas, König von Macedonien (— 278/242), Sohn des Demetrios *Πολιορκητής*, besiegte (— 265) die Flotte des Ptolemaeos II Philadelphos bei Cos. — **13.** *Τέταρτον* sc. *μέρος*. — **14.** *Ἐκείνης* hier des Zusammenhangs wegen für *ταύτης* gesetzt. — **16.** *Βοιωτῶν*.

F. Griechische Kriegsgeschütze.

28. Ihre Arten und Anfangsformen.

§ 86. Ἐροῦμεν περὶ τῶν βελοποιικῶν, ὑπὸ δέ τινων ὀργανοποιικῶν καλουμένων. Ὅρος μὲν οὖν τῆς βελοποιικῆς ἐστι τὸ μακρὰν ἀποστέλλειν τὸ βέλος ἐπὶ τὸν δοθέντα σκοπὸν εὔτονον τὴν πληγὴν ἔχον. Βέλος δὲ καλεῖται πᾶν τὸ ἐξαποστελλόμενον ὑπὸ τῶν ὀργάνων ἢ ὑπὸ ἄλλης τινὸς δυνάμεως, οἷον τόξου ἢ σφενδόνης ἢ ἄλλου τινός. Τῶν οὖν ὀργάνων τὰ μέν ἐστιν εὐθύτονα, τὰ δὲ παλίντονα. Καλεῖται δὲ εὐθύτονα, ἅ τινες καὶ σκορπίους καλοῦσιν ἀπὸ τῆς περὶ τὸ σχῆμα ὁμοιότητος· τὰ μὲν εὐθύτονα οἰστοὺς μόνους ἀφίησι. Τὰ δὲ παλίντονα ἔνιοι καὶ λιθοβόλα καλοῦσι, διὰ τὸ λίθους ἐξαποστέλλειν,

---

Der Witz spielt auf den Schiffskatalog der Ilias (B) an. — **16.** (S. 149) *Πανηγυρικαὶ πομπαί* Volksfestzüge. Geht auf den Zusammenhang, in dem der Autor diese Schiffstypen behandelt hat. — **3.** Der erste Absatz ist aus Philo 1 und Hero 2—3 zusammengestellt. — **4.** *Ὅρος* Zweck, Aufgabe. — **4.** *Βελοποιικὴ sc. τέχνη* Geschützkunst. — **5.** *Μακρὰν sc. ὁδόν* weit. — **6.** *Σκοπός* (v. *σκέπτειν* schauen) Zielpunkt, Ziel. — **6.** *Εὔτονος* (v. *τείνειν* spannen) wohlgespannt, stramm; wirksam. *Πληγή* Schlag, Stofs, Hieb, Stich. — **6.** *Βέλος* Geschofs. — **7.** *Ὄργανον* Werkzeug, Maschine; Geschütz. — **8.** *Σφενδόνη* Schleuder. — **10.** *Εὐθύτονος* wagerecht gespannt; *εὐθύτονον sc. ὄργανον* Horizontalspanner (K R: Geradspanner). — **10.** *Σκορπίος* Feldskorpion (Buthus occitanus: Brehm Insekten 636). Ist *μακρόκερκος* langschwänzig (Arist. anim. hist. IV 7). Auch sein oft tödlicher Stich heifst *πληγή* (Arist. *θαυμ. ἀκ.* 139). Vgl. S. 94. — **12.** *Οἰστός* Pfeil. — **12.** *Παλίντονα* Krumm-, Schiefspanner (K R: Winkelspanner). — **13.** *Λιθοβόλον sc. ὄργανον* = *λιθοβόλος sc. μηχανή* (§ 80). Polybios sagt *πετροβόλα καὶ καταπέλται* für *παλίντονα καὶ εὐθύτονα*: § 52.

ἢ καὶ οἰστοὺς πέμπειν ἢ καὶ συναμφότερα. Συνίσταται δὲ ταῦτα τὰ μηχανήματα ἐκ τριῶν μερῶν· πρῶτον μὲν ἐκ κανόνων τινῶν (§ 88) δεχομένων τὸ βέλος, ἔπειτα δὲ ἐκ πλινθίων β′ (§ 87) δεχομένων τοὺς τόνους, τέλος δὲ ἐκ βάσεως (§ 90 Ende), ἐφ' ἧς κεῖται τὸ ὅλον ὄργανον. Ἐροῦμεν δὲ ἐνταῦθα περὶ κατασκευῆς μόνων τῶν λιθοβόλων ἢ παλιντόνων (Fig. 3).

Τὴν μὲν οὖν ἀρχὴν ἤρξαντο γίνεσθαι τῶν προειρημένων ὀργάνων αἱ κατασκευαὶ ἀπὸ τῶν χειρουργικῶν τόξων. Βιαζόμενοι γὰρ ἐξαποστέλλειν δι' αὐτῶν μεῖζόν τε βέλος καὶ ἐπὶ πλείονα τόπον, αὐτὰ μείζονα ἐποίουν καὶ τοὺς ἐν αὐτοῖς τόνους (λέγω δὴ τὰς ἐκ τῶν ἄκρων κάμψεις), τουτέστι τὰς τῶν κεράτων σκληρότητας. Ἐκ τούτου δὲ συνέβαινε δυσπειθῶς καμπτομένων αὐτῶν μείζονος δυνάμεως δεῖσθαι, ἢ τῆς γινομένης ἀπὸ τῆς χειρὸς

---

1. *Συναμφότερα* beides zugleich. Also gilt streng genommen von den *εὐθύτονα* das Verbum *τοξεύειν*, von den *παλίντονα* aber *βάλλειν*. Vgl. Demosth. Phil. III 17: *ὁ ταῦτα (sc. τὰ μηχανήματα) παρασκευαζόμενος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ.* Von *συνίσταται* bis *παλιντόνων* (Z. 7) eingeschoben. — **3.** *Κανών* Lineal, Latte. Fig. 5: *ΕΖΗΘ*. — **4.** *Πλινθίον* Platte, Rahmen, Kammer. Fig. 4: *ΑΒΓΔ*. — **4.** *Τόνος* Sehne, Spann. Fig. 4: *ΗΘ*. — **5.** *Βάσις* Unterlage, Gestell. Fig. 3. — **8.** Zweiter Absatz: Hero § 4 und Schluſs von § 7. — **8.** *Τὴν ἀρχήν* ursprünglich. — **9.** *Χειρουργικὰ τόξα* Handbogen (*χείρ* u. *ἔργον*). Ggstz. *γαστραφέτης* Bauchspanner (*γαστήρ* u. *ἀφίημι*). — **10.** *Βιάζεσθαι* hier passivisch *(coacti)*. — **12.** *Ἐκ τῶν ἄκρων κάμψεις* Krümmungen (Zug) von den Enden an. Hier wirkt also noch die Elasticität der Biegung, durch die ein Arm erst gekrümmt wird, um dann zurückzuschnellen (anders § 87). Vgl. § 17. — **13.** *Τῶν κεράτων σκληρότητες* Härte (Stärke, Dicke) der Hörner (des Bogens). — **14.** *Δυσπειθῶς* wenig nachgiebig, schwer.

ἕλξεως. Πρὸς δὴ τοῦτο ἐμηχανήσαντό τινες ὄργανόν τι, ὃ καλοῦσι γαστραφέτην, ἐπειδήπερ διὰ τῆς γαστρὸς ἡ καταγωγὴ τῆς τοξίτιδος ἐγίγετο.

29. Die Teile der Winkelspanner.

§ 87. Βουλόμενοι δὲ ἐπαυξῆσαι ἀμφότερα, τό τε βέλος καὶ τὴν ἐξαποστολήν, ζητοῦντες τοῦ τόξου τοὺς ἀγκῶνας εὐτονωτέρους ποιῆσαι, μὴ δυνάμενα δὲ διὰ τῶν κεράτων τυχεῖν τοῦ προκειμένου, τὰ μὲν ἄλλα ἐποίουν ὥςπερ καὶ πρότερον, τοὺς δὲ ἀγκῶνας (ΕΖ καὶ ΥΤ) ποιήσαντες ἐξ εὐτόνου ξύλου καὶ μείζονας τῶν ἐν τῷ τόξῳ κατασκευάσαντες, τοιοῦτον πλινθίον ἔπηξαν ἐκ κανόνων δ' ἰσχυρῶν, οἷον τὸ ΑΒΓΔ, ὄντων μὲν τῶν ὀρθίων κανόνων τῶν ΑΒ καὶ ΓΔ· περὶ δὲ τοὺς πλαγίους τοὺς ΑΔ καὶ ΒΓ περιέβαλλον νευρὰς ΗΘ πλέξαντες. Ἐπὶ δὲ τούτων τῶν δια-

---

1. Ἕλξις Ziehen, Anspannen, Spannung. — **2.** Γαστραφέτης Bauchspanner. Fig. 5. — **3.** Καταγωγὴ τῆς τοξίτιδος (sc. νευρᾶς) Spannung der Bogensehne. — **5.** Dritter Absatz (§ 87) aus Hero § 8 und 9. Hierzu Fig. 4, die den eigentlichen Schiefsapparat der Fig. 3 in primitiver Form darstellt. — **5.** Ἐπαυξῆσαι noch mehr verstärken. — **6.** Ἐξαποστολή Aussendung, Wurfweite. — **6.** Ἀγκῶνες freie Arme; aber κέρατα zusammenhängende Hörner. Hier wirkt nämlich die Elasticität der Drehung (Torsion, vgl. *tormentum* v. *torquere*), durch die zwei parallel gespannte (Fig. 4) oder spiralig umeinander gedrehte (Fig. 3) Taue (νευραί, τόνοι) vermittelst eines dazwischengesteckten Holzarmes (ἀγκών) gewaltsam gedreht werden, um dann in die ursprüngliche Lage zurückzuschnellen. — **7.** Εὔτονος leicht zu spannen, kräftig gespannt, stark. Vgl. Z. 10. — **8.** Προκείμενον Problem, Aufgabe. — **11.** Πλινθίον Rahmen. — **11.** Πήγνυμι befestigen. — **11.** Κανών Lineal, längliche Platte. — **12.** Ὄρθιος aufrecht, senkrecht. — **13.** Πλάγιος seitlich, quer. — **14.** Νευρά Sehne, Tau, Spann.

πηγμάτων ἐτίθεσαν σιδηρᾶ ἀξόνια (ΚΛ καὶ ΜΝ), ἃ δὴ ἐπιστρέφοντες βίᾳ συνέτεινον τὰ νεῦρα· καὶ ὁ ἀγκὼν κατείχετο βίᾳ ὑπὸ τῶν νεύρων τῆς ἐπιστροφῆς γινομένης. Τοιοῦτον δὴ καὶ τὸ ἕτερον πλινθίον κατασκευάσαντες καὶ συνδήσαντες ἀμφότερα ἑνὶ περιπήγματι διὰ κανόνων (ΩΩ), ὥστε τοὺς ἀγκῶνας εἰς τὸ ἐκτὸς μέρος τὴν ἀνάπτωσιν καὶ τὴν βίαν ἔχειν, ἐξῆπτον ἐκ τῶν ἄκρων αὐτῶν τὴν τοξῖτιν νευρὰν (ΧΨ) ἀγκύλας ποιήσαντες καὶ ταύτας τοῖς ἀγκῶσι περόναις ἀπολαβόντες ταῖς ΞΟ καὶ ΠΡ, ὥστε μὴ ἐκπίπτειν τὴν νευράν. Ἐκάλουν δὲ τὰ μὲν συνέχοντα τοὺς ἀγκῶνας νευρότονον, ἔνιοι δὲ ἡμιτόνιον· τὰ δὲ ἐπιστρέφοντα τὸν τόνον ἀξόνια (ΚΛ καὶ ΜΝ) ἐπιζυγίδας, ἐποίουν δὲ αὐτὰς σιδηρᾶς.

Ἐπεὶ δὲ συνέβαινεν ἐκ τῆς εἰρημένης κατασκευῆς τὴν ἐπιστροφὴν καὶ τάσιν τῶν νεύρων μὴ ἐπὶ πολὺ γίνεσθαι, διὰ τὸ τὰ ΑΔ, ΒΓ διαπήγματα μὴ δύνασθαι δέξασθαι τὸν τόνον, τὰς οὖν ἐπιζυγίδας ἐπιθέντες τοῖς τρυπήμασι

---

1. *Διάπηγμα* Querholz (*διά* hinüber), Riegel. — 1. *Ἀξόνιον* kleine Achse, Bolzen. — 2. *Ἐπιστρέφειν* andrehen. — 5. *Συνδεῖν* zusammenbinden, vereinen. — 5. *Περίπηγμα* (v. *πήγνυμι*) Gestell. — 5. *Κανόνες* Riegel. — 6. *Εἰς τὸ ἐκτὸς μέρος* nach aufsen. — 7. *Ἀνάπτωσις* Aufschlag. — 7. *Ἐξάπτειν* anknüpfen. *Τὸ ἄκρον* das Ende. — 8. *Ἀγκύλαι* Schleifen. — 9. *Περόνη* Nadel, Stift, Durchstecker. — 10. *Τὰ συνέχοντα τ. ἀγκ.* was die Arme festhält. — 11. *Νευρότονον* Sehnenspann, *ἡμιτόνιον* Halbspann (da beiderseits einer). — 12. *Ἐπιζυγίδας* übergelegte ‚Spannbolzen'. — 14. *Ἐκ.* Wir: bei. — 15. *Μὴ ἐπὶ πολὺ γίνεσθαι* nicht weit gehen. — 16. *Τὸ τὰ . . . διαπήγματα* (Sch) für *τοῦ . . . διαπήγματος*. — 16. *Δέξασθαι* aufnehmen, aushalten. — 17. *Οὖν* beginnt den Nachsatz. — 17. *Τρυπήματα* = *τρήματα* Löcher; *κυκλοτερής* kreisrund.

τὰ αὐτὰ ἐποίουν τοῖς εἰρημένοις· ἔστι δὲ ταῦτα τρήματα κυκλοτερῆ ἐν ἐκείνοις τοῖς διαπήγμασιν. **Καὶ** *οὕτω δὲ πάλιν ἡ ἐπιστροφὴ τῆς ἐπιζυγίδος δυσεργίαν εἶχε διὰ τὸ τὴν ἐπιζυγίδα ἐπικαθεζομένην τῷ διαπήγματι μὴ στρέφεσθαι καὶ κατὰ πᾶν μέρος ψαύειν αὐτοῦ, ὅθεν ἠναγκάσθησαν καὶ τὰς καλουμένας χοινικίδας* (Fig. 3: *X*) *προσθεῖναι· ἔστι δὲ ταῦτα ἐπιθέματα τάς τε ἐπιζυγίδας δεχόμενα καὶ ἐπὶ τοῖς τῶν διαπηγμάτων τρήμασιν ἐπικείμενα.*

§ 88. *Οἱ δὲ κανόνες οὕτω κατασκευάζονται. Ἔστω γὰρ πρῶτον μὲν κανὼν ὁ ΕΖΗΘ, ἔχων ἐν τῇ ἐπάνω ἐπιφανείᾳ σωλῆνα πελεκινοειδῆ τὸν ΚΛ. Τούτῳ δὲ ἁρμοστὸς γεγονέτω ἄρρην ἰσομήκης αὐτῷ, ἔχων ἔκ τε τῆς ἄνω ἐπιφανείας συμφυῆ ἕτερον κανόνα, ἔχοντα ἐκ τῆς ἄνω ἐπιφανείας μέσον κοίλασμα περιφερές, εἰς ὃ ἐπιτίθεται τὸ βέλος. Ἐν δὲ τῷ λοιπῷ μέρει τῆς ἄνω ἐπιφανείας τοῦ ἐπάνω*

---

1. *Ἔστι δὲ κ. τ. λ.* ist eingeschoben. — **3.** *Δυσεργίαν εἶχε* machte Schwierigkeiten. — **4.** *Διὰ τὸ* (Sch) für *διά.* — **6.** *Χοινικίδες* ‚Buchsen', d. h. durchbohrte Aufsätze (*ἐπιθέματα*), zwischen Bolzen und Gestell eingelegt. — **7.** *Ἔστι δὲ κ. τ. λ.* ist eingeschoben. — **9.** Der erste Absatz des § 88 stammt aus Hero § 5. Hierzu Fig. 5 (*γαστραφέτης*), die den Lauf des Geschützes der Fig. 3 in primitiver Form, aber gespanntem Zustande darstellt. — **10.** *Ἡ ἐπάνω ἐπιφάνεια* die obere Aufsenseite, Fläche. — **11.** *Σωλήν* Rinne. — **11.** *Πελεκινοειδής* axtförmig. Wir nennen eine Rinne mit diesem Querschnitt (Fig. 6) eine ‚weibliche Nute'. — **12.** *Ἄρρην.* Auch wir nennen einen Ansatz dieses Querschnitts (Fig. 7) eine ‚männliche Nute'. — **13.** *Συμφυῆ* zusammengewachsen, aus einem Stück gearbeitet. — **13.** *Κανόνα.* Querschnitt Fig. 7: *ΑΒΓΔ.* — **14.** *Κοίλασμα* Aushöhlung, Auskerbung, Rinne. Fig. 7: *TT.* — **15.** *Λοιπῷ*, dem von dem *κοίλασμα* rechts und links übriggelassenen Teil. Fig. 7: *TA* und *TB.*

κανόνος ἔστω τινὰ στήματα ὀρθὰ σιδηρᾶ δύο ἐνηλωμένα. Μεταξὺ δὲ τούτων ἐγκείσθω σιδηροῦς δάκτυλος, ἐπικεκαμμένος εἰς τὰ κάτω μέρη· καὶ ἐσχισμένος ἔστω ἐκ τοῦ ἐπικεκαμμένου ἄκρου, ὥστε δίχειλον γενέθαι καθάπερ τῶν καλουμένων σκενδυλίων. Τοσοῦτον δὲ διεσχίσθω, ὅσον μεταξὺ δέξασθαι τὸ τοῦ βέλος πάχος. Καὶ διὰ τῶν στημάτων καὶ τοῦ εἰρημένου δακτύλου διώσθω περόνη μέση στρογγύλη. Ἔστω οὖν ὁ εἰρημένος δάκτυλος ὁ ΝΞΟ, δίχειλον δὲ τὸ Ν, ἡ δὲ διωσμένη περόνη Μ. Πρὸς δὲ τῷ ΞΟ μέρει τοῦ δακτύλου ὑποβλήσθω κανόνιον σιδηροῦν τὸ ΠΡ, κινούμενον περὶ περόνην τὴν Π, πεπηγυῖαν ἐν τῇ ἐπιφανείᾳ τοῦ ἐπικειμένου κανόνος ὀρθίαν. Ἐπὰν οὖν ὑποβληθῇ τὸ ΠΡ κανόνιον ὑπὸ τὸν δάκτυλον, ἀποσφηνοῖ αὐτόν, ὥστε ἀνανεῦσαι μὴ δύνασθαι. Ὅταν δὲ ἐπιλαβόμενοι τοῦ Ρ ἄκρου ἐπισπασώμεθα τὸ ΠΡ κανόνιον ἔπειτα, πρὸς τῷ ΞΟ μέρει τότε ἀνανεύσει ὁ δάκτυλος ἐκ τῶν ΝΞ μερῶν. — Ἡ δὲ τοῦ παλιντόνου χείρ ἐστιν οὐ κεχηλωμένη, ἀλλὰ ἁπλῆ, καθάπερ δάκτυλος.

---

1. *Στήματα* Ständer, Zapfenlager. Fig. 5: *ΣΤ*. — **1.** *Ἐνηλοῦν* aufnageln. — **2.** *Δάκτυλος* Finger, Drücker. Vgl. *Ξ* in Fig. 8, die diesen Drückerapparat von oben gesehen darstellt. — **3.** *Εἰς τὰ κάτω μέρη* nach unten (nach dem *κοίλασμα* zu). — **3.** *Σχίζειν* spalten. — **4.** *Ἄκρον* Vorderende. — **4.** *Δίχειλος* zweilippig (*τὸ χεῖλος*). Fig. 8: *Ν*. — **5.** *Σκενδύλιον* = *σχενδύλιον* Kneipzange. — **7.** *Διωθεῖν* durchstofsen. — **7.** *Περόνη* Bolzen, Zapfen; *στρογγύλος* rund. — **10.** *Ὑποβάλλειν* unterschieben, darunterlegen. — **12.** *Ὄρθιος* senkrecht. — **13.** *Ἀποσφηνοῦν* festkeilen (*ὁ σφήν*), anpressen. — **14.** *Ἀνανεύειν* zunicken, sich senken, zuschlagen. — **15.** *Ἐπισπᾶσθαι* an sich heranziehen. — **17.** *Ἡ δὲ κ. τ. λ.* eingefügt aus Hero § 30. — **17.** *Χηλοῦν* einkerben, spalten (= *σχίζειν*). *Ἁπλῆ*: Fig. 3a: *Α*.

Ἐκάλουν δὲ τὸν μὲν ΕΖΘΗ κανόνα ἐπὶ μὲν τῶν εὐθυτόνων σύριγγα, διώστραν δὲ τὸν ἐπικείμενον αὐτῷ κανόνα (ΦΧ), τὸ δὲ δεχόμενον τὸ βέλος κοίλασμα ἐπιτοξίτιδα, τὸ δὲ μεταξὺ τῶν ΝΟ μέρος τοῦ ἐπικειμένου κανόνος χελώνιον (ἦν γὰρ καὶ ὑψηλότερον τοῦ ἐπικειμένου κανόνος), τὸν δὲ ΝΞΟ δάκτυλον χεῖρα, τὰ δὲ εἰρημένα στήματα κατοχήν, τὸ δὲ ΠΡ κανόνιον σχαστηρίαν. — Ἡ δὲ σῦριγξ, ἐν ᾗ ἐστιν ἡ διώστρα καὶ τὸ χελώνιον καὶ ἡ χείρ, ἐπὶ τῶν παλιντόνων κέκληται κλιμακίς, ἐπειδήπερ πλεῖον πλάτος ἔχει καὶ πήγμασι συνέχεται πλείοσι. Γίνεται δὲ ἡ κλιμακὶς οὕτως. Διάπηγμα κατασκευάζεται ἐκ τεσσάρων κανόνων συνεστηκός, ἔχον δὲ ἐπὶ τὸ μέσον κατὰ τὸ πλάτος ἄλλους κανόνας πεπηγότας ἐπὶ τῶν κατὰ τὸ μῆκος κανόνων, ἵνα ᾖ τὸ γινόμενον κλιμακίς. Ἐπάνω δὲ τῶν κατὰ τὸ πλάτος πηγμάτων κανόνια β' ἐπιτίθεται ἰσομήκη τῇ κλιμακίδι παρὰ τὰ σκέλη αὐτῆς, ταπεινότερα

---

1. *Ἐκάλουν.* Die hier folgenden 3 Absätze stammen aus Hero § 6—7. Fig. 5 u. 8. Nur der Abschnitt zwischen den Gedankenstrichen ist aus Hero § 23—24 eingeschoben. — **2.** *Σῦριγξ* Pfeife. — **2.** *Διώστρα* Läufer. Von *διωθεῖν*, da er beim Spannen samt eingehakter Sehne durch die Pfeife hin gestofsen wird. — **3.** *Ἐπιτοξῖτις* Rinne, Lauf des Geschosses. — **5.** *Χελώνιον* Schildkrötchen — **7.** *Κατοχή* Halter. — **7.** *Σχαστηρία* Abzug. § 50 fin. § 51 med. — **9.** *Κλιμακίς* Leiter Fig. 9. — **10.** *Πήγματα* Sprossen. Fig. 9: *Π*. — **11.** *Διάπηγμα* Gestell. Wir setzten oben, obgleich wir es hier bei den *παλίντονα* nur mit der *κλιμακίς* zu thun haben, doch die Konstruktion der *σῦριγξ* in den Text, weil es interessant ist, die Alten bereits mit ‚Nuten' operieren zu sehen. — **13.** *Κανόνας* = *πήγματα*. — **15.** *Κανόνια.* Fig. 9: *K*. Das Deminutivum steht, weil diese Latten zwar ebenso lang (*ἰσομήκη*), aber niedriger (*ταπεινότερα*) sind, als die Längslatten (*σκέλη* Schenkel).

δὲ τῶν σκελῶν τῆς κλιμακίδος, ἐφ' ἃ ἡ διώστρα κινεῖται, ἔχουσα τὸ πλάτος ἴσον τῷ διαστήματι τῆς κλιμακίδος. —

Τοιαύτης δὲ τῆς κατασκευῆς γενηθείσης εἰ βούλονται § 89. ἐντείνειν τὴν νευράν, ἀνάγουσι τὴν διώστραν (ΦΧ) ἐπὶ τὸ πρὸς τὸ Κ μέρος, ἄχρις ἀνανεύσασα ἡ χεὶρ (ΝΞΟ) ὑπερβαίνῃ τὴν τοξῖτιν νευράν (ἔστι δὲ ἐπάνω τῆς διώστρας), εἶτα ἐπινεύσαντες αὐτὴν ὑποβάλλουσι τὴν σχαστηρίαν ΠΡ, ὥστε ἀνανεῦσαι μηκέτι δύνασθαι τὴν χεῖρα, καὶ μετὰ ταῦτα διωθοῦσι τὴν διώστραν καὶ κατάγουσι τὴν τοξῖτιν νευράν. Δεῖ δὲ τὴν διώστραν καταχθεῖσαν μηκέτι ὑπὸ τῆς τοξίτιδος ἀνάγεσθαι εἰς τὸ ἄνω μέρος, ἀλλὰ μένειν, ἄχρις ἂν ἐπιτεθὲν τὸ βέλος ἐκτοξευθῇ ἐπὶ τὸν δοθέντα σκοπόν. Γίνεται οὖν καὶ τοῦτο οὕτως.

Νοείσθω γὰρ τῆς ΕΖΗΘ σύριγγος ἢ κλιμακίδος κρόταφος ὁ κατὰ τὸ μῆκος ὁ ΖΘ, ἐν δὲ τούτῳ προσηλωμένον κανόνιον ὠδοντωμένον τὸ ΖΤ, τῇ δὲ διώστρᾳ κατὰ τὸ Ψ προσκείσθω κόραξ ὁ ΓΔ, κινούμενος περὶ περόνην. Καταγομένης οὖν τῆς διώστρας συμβαίνει τὸν ΓΔ κόρακα, ὃν δὴ κατακλεῖδα καλοῦσιν, ἐπιπορεύεσθαι κατὰ τῶν ὀδόντων πλάγιον. Δεθείσης δὲ τῆς διώστρας ἀντερείδουσι

---

1. *Διώστρα.* Vgl. den Querschnitt Fig. 9a: *ΕΖΗΘ* laufend auf *ΚΚ*. — **2.** *Διάστημα* Abstand (der *σκέλη ΣΣ*), innere Breite. — **4.** *'Ανάγειν* hinaufschieben. Fig. 5. — **7.** *'Επινεύειν* daraufdrücken, niederdrücken. — **9.** *Κατάγειν* zurückziehen. — **11.** *'Ανάγειν* hinaufziehen, *εἰς τὸ ἄνω μέρος* nach dem Vorderende. — **15.** *Κρόταφος* Schläfe, Seitenansicht; Seite. — **16.** *'Ωδοντωμένος* gezahnt, mit Zähnen versehen. — **17.** *Κόραξ* Rabe; Haken. S. 146, 3. — **19.** *Κατακλείς* Verschlufs; ‚Sperrklinke'. — **20.** *Πλάγιον* seitlich, quer. — **20.** *'Αντερείδειν πρός* einstemmen wider.

τὴν κατακλεῖδα πρὸς ἕνα τῶν ὀδόντων, ὥστε μηκέτι ὑπὸ τῆς τοξίτιδος ἀνάγεσθαι τὴν διώστραν.

§ 90. *Τῆς οὖν τῶν ἀγκώνων βίας ἰσχυρᾶς γενομένης δεῖ καὶ βίας πρὸς τὸ τοὺς ἀγκῶνας κατάγεσθαι. Διὸ ἄξονα, ὃν καλοῦσι ὄνισκον, ἐπιτιθέασι τῇ σύριγγι ἐπὶ τοῦ ὀπίσω αὐτῆς ἄκρου πλάγιον στρεφόμενον εὐλύτως. Ἐκ δὲ τῶν ἄκρων αὐτοῦ τετραγώνους σκυτάλας ποιοῦντες ἐπιστρέφουσιν αὐτόν. Διὰ δὲ τῆς ἐπιστροφῆς συμβαίνει τὴν διώστραν κατάγεσθαι οὕτως· ἐκ γὰρ τῶν ἄκρων τῆς διώστρας τῶν πρὸς τῷ χελωναρίῳ ὅπλα ἐξάψαντες ἀποδιδόασιν εἰς τὸν εἰρημένον ἄξονα, ὧν ἐπειλουμένων γίνεται ἡ καταγωγή. Ἐπὶ δὲ τῶν μειζόνων καὶ οὕτως συμβαίνει βίᾳ κατάγεσθαι τοὺς ἀγκῶνας· ὅθεν πολυσπάστῳ κατάγουσιν, ἐξάψαντες τὸ μὲν ἓν μάγγανον τοῦ πολυσπάστου πρὸς τῷ χελωνίῳ, τὸ δὲ ἕτερον πρὸς τὸ ἄκρον τῆς σύριγγος πρὸς τῷ ἄξονι ἤτοι τῷ ὀνίσκῳ, καὶ τὰς ἀγομένας ἀρχὰς τοῦ πολυσπάστου ἀποδόντες εἰς τὸν ἄξονα ἐπιστρέφουσιν αὐτόν. Καὶ οὕτω συμβαίνει τὴν καταγωγὴν*

---

3. Der § 90 aus Hero § 10. Dazu Fig. 10 und 11. — **4.** *Ἄξων* körperliche Achse, Welle. — **5.** *Ὄνισκος* Eselchen. Vgl. Herod. VII 36: *στρεβλοῦν* (anziehen) *ὄνοισι ξυλίνοις τὰ ὅπλα* (Taue). — **6.** *Πλάγιος* quer; hier: horizontal. — **7.** *Σκυτάλαι* Handspeichen, Hörner; *τετράγωνος* quadratisch, mit viereckigem Querschnitt. — **10.** *Χελωνάριον = χελώνιον.* — **10.** *Ὅπλα* Taue. — **11.** *Ἀποδιδόναι* übergeben, hinführen. — **11.** *Ἐπειλεῖν* aufwickeln. Davon *ἡ ἐπείλησις* S. 159, 2. — **12.** *Καταγωγή* Spannung. — **12.** *Μειζόνων sc. ὀργάνων.* — **13.** *Πολύσπαστον* Flaschenzug; *μάγγανον* Kloben: § 32 B. § 64. — **17.** *Τὰς ἀγομένας ἀρχάς* die angezogenen (also: freien) Enden (des Taues).

εὐχερεστέραν γίνεσθαι, βραδυτέραν δὲ διὰ τὸ τὰ τοῦ πολυσπάστου κῶλα πλείονα ὄντα εἰς ἕνα τόπον τὴν ἐπείλησιν ποιεῖσθαι καὶ διὰ τοῦτο ἐμβραδύνειν. Δύναται δὲ τὸ πολύσπαστον ἄλλως μετατεθῆναι, ὅταν οἱ μὲν ἐν τῷ ἑνὶ μαγγάνῳ αὐτοῦ τροχίλοι ἐν τῷ χελωνίῳ τεθῶσιν, οἱ δ' ἐν τῷ ἑτέρῳ ἐν τῇ σύριγγι παρὰ τὸ κάτω μέρος τὸ πρὸς τῷ ἄξονι. — Δύναται δὲ ἀντὶ πολυσπάστου τύμπανον συμφυὲς γινόμενον τῷ ἄξονι καὶ διὰ σκυταλῶν ἐπιστρεφόμενον δι' ὅπλου ἁπλοῦ τὴν καταγωγὴν ποιεῖσθαι.

Δεῖ δὲ καὶ τὸ ὅλον ὄργανον μετέωρον ἐπὶ βάσεως κεῖσθαι, ὅπως ἡ καταγωγὴ εὐχερεστέρα γένηται. Γίνεται δὲ τὰ πλεῖστα μέρη τοῦ παντὸς ὀργάνου ἀφαιρετά, ὅπως, ἐὰν δέῃ μεταφέρεσθαι τὸ ὄργανον, λύσαντες αὐτὸ εὐκόπως μεταφέρωσι. Μόνα δὲ τὰ ἡμιτόνια ἀδιάλυτα διαμένει, ἕνεκα τοῦ τοὺς τόνους δυσκόλως τίθεσθαι εἰς αὐτά. Ὅλον δὲ τὸ ἐκ πάντων συντεθὲν ὄργανον ἐπιτίθεται ἐπὶ τὴν βάσιν· καλεῖται δὲ π τ έ ρ υ ξ.

30. Das Material des Geschützes.

Τὰ δὲ πλεῖστα μέρη αὐτοῦ δεῖ ποιεῖν ἐξ εὐτόνου **§ 91.**
ξύλου καὶ ἐπὶ τοὺς δέοντας τόπους, λέγω δὲ τοὺς ὑπο-

2. *Κῶλα* Glieder, Schläge. — **3.** *Δύναται.* Vgl. Fig. 11. — **5.** *Τροχίλοι* Rollen. — **7.** *Δύναται δὲ ἀντὶ*: Hero § 11 fin. — **8.** *Τύμπανον* Wellenrad; *συμφυής* zusammengearbeitet: S. 154, 13. **8.** *Σκυτάλαι* Handspeichen, Hörner: S. 158, 7. — **10.** *Δεῖ δὲ.* Dieser Absatz stammt aus Hero § 12. 14. 24. — **10.** *Βάσις* Unterlage, Fufsgestell: Fig. 3. — **19.** Der § 91 stammt aus Hero § 19. 25. 29 bis 30. — **20.** *Δέοντες* nötig.

μένοντάς τινα κακοπάθειαν, λεπίδας σιδηρᾶς ἐπιτιθέναι καὶ ἥλοις συγκοινοῦν καὶ κατὰ πάντα τρόπον ἀσφαλίζεσθαι τοὺς εἰρημένους τόπους· τοὺς δὲ μηδὲν πάσχοντας ἐκ κούφων καὶ μικρῶν συντελεῖν ξύλων, στοχαζόμενον τοῦ τε διαστήματος καὶ τοῦ ὄγκου καὶ ἐπιβαροῦς τῶν ὀργάνων. Οὐ γὰρ παρασκευάζεται πάμπολλα πρὸς κατεπειγούσας χρείας· διὸ δεήσει πρὸς τὰς μεταφορὰς εὔλυτά τε αὐτὰ εἶναι καὶ κοῦφα καὶ οὐ πολυδάπανα. Ἐπεὶ δὲ τὰ περίτρητα μέρη ἀσθενῆ ὑπάρχει, πειρῶνται σιδηρᾶς κανονίδας περιτιθέναι αὐτοῖς. Τοὺς δὲ ἥλους τοὺς διὰ τῆς στερεᾶς φυλάσσομεν, ὅπως μήτε διὰ τοῦ τρήματος τοῦ τὸ ἡμιτόνιον δεχομένου μήτε δι' ἑτέρου τρήματος ἧλοι διεκπίπτωσι πλαγίως διερχόμενοι, ἐπεὶ ἀσθενὴς αὐτῶν γίνεται ἡ καθήλωσις, τουτέστιν ἡ ἀπὸ τοῦ ξύλου κατοχή.

Νεύροις δὲ ἀεὶ χρῆσθαι δεῖ ἢ νωτιαίοις ἤτοι ὠμιαίοις καὶ πάντων τῶν ζῴων πλὴν συῶν (ὑπεικτικὰ γάρ). Διανοεῖσθαι δὲ δεῖ, ἅτινα εὔχρηστα μᾶλλον ἢ τὰ νωτιαῖα

---

1. *Κακοπάθεια* Beschädigung. — **1.** *Λεπίς* Rinde, Schuppe, Beschlag. — **2.** *Ἧλος* Nagel. *Συγκοινοῦν* verbinden, festmachen. — **4.** *Στοχάζεσθαι* zielen, im Auge behalten. — **5.** *Διάστημα* Dimensionen, *ὄγκος* Masse, *ἐπιβαρές* Schwere. — **6.** *Κατεπείγων* drängend, augenblicklich. — **7.** *Μεταφοραί* Ortswechsel, Transport. — **9.** *Περίτρητα* (kreisrund durchbohrt: *τρητὰ κυκλοτερέσι τρυπήμασι* oder *τρήμασι*: § 87) *μέρη* sind die *διαπήγματα* (Fig. 4: *ΑΔ* und *ΒΓ*.) — **9.** *Κανονίδες* Schienen. — **10** *Ἥλους* Nägel. Dahinter *τοὺς* eingeschoben (Sch). — **10.** *Στερεά sc. μηχανή* festes Gefüge, Holzteile. — **11.** *Ἡμιτόνιον* § 87. — **14.** *Καθήλωσις* Vernagelung. — **14.** *Ἡ ἀπὸ τοῦ ξ. κατοχή* ihr Halt im Holz. — **15.** *Νωτιαῖα ἤτοι ὠμιαῖα νεῦρα* Rücken- oder Schultersehnen. — **16.** *Ὑπεικτικά* nachgiebig (Sch). Überliefert: *ἀποίητα* oder *ὑποίκτα* (?). — **17.** *Εὔχρηστα*

ἤτοι ὠμιαῖα τῶν ἄλλων ζῴων νεῦρα καὶ εὐτονώτερα τυγχάνει, οἷον ἐλάφου μὲν τὰ ἐκ τῶν ποδῶν, ταύρου δὲ τὰ ἐπὶ τοῦ αὐχένος· καὶ ἐπὶ τῶν ἄλλων δὲ διανοοῦ οὕτως. Γίνεται δὲ ὁ ἐν τοῖς ἀγκῶσι τόνος καὶ ἐκ τριχῶν γυναικείων. Αὗται γὰρ λεπταί τε οὖσαι καὶ μακραὶ καὶ πολλῷ ἐλαίῳ τραφεῖσαι, ὅταν πλακῶσιν, εὐτονίαν πολλὴν λαμβάνουσιν, ὥστε μὴ ἀπᾴδειν τῆς διὰ τῶν νεύρων ἰσχύος.

Τὴν δὲ τοξῖτιν νευρὰν ἐκ τῶν εὐτονωτάτων νεύρων § 92.
δεῖ πλέκειν· μία γὰρ οὖσα πολλὰ ἀπεργάζεται καὶ ὑπομένει τὴν τῆς ἐξαποστολῆς βίαν. Διάφοροι δὲ γίνονται τῇ πλοκῇ αἱ τοξίτιδες. Ἡ μὲν γὰρ τοῦ εὐθυτόνου στρογγύλη γίνεται, ἐπείπερ εἰς τὴν τοῦ οἰστοῦ ἐμπίπτει χηλήν· ταύτην δὲ ἡ κατάγουσα χεὶρ διπλῆ γίνεται, κεχηλωμένη πρὸς τὸ μεταξὺ τῶν χηλῶν δέξασθαι τὸ τοῦ βέλους πάχος. Ἡ δὲ τοῦ παλιντόνου πλαγία γίνεται καθάπερ ζώνη, καὶ ἐκ μὲν τῶν ἄκρων ἀγκύλας ἔχει, εἰς ἃς οἱ ἀγκῶνες ἐμβιβάζονται, ἐκ δὲ τοῦ μέσου ἐξ ἑνὸς τοῦ ἐπὶ τὴν χεῖρα μέρους καθάπερ κρίκον ἐξ αὐτῶν τῶν νεύρων πεπλεγμένον, εἰς ὅσον ἡ χεὶρ ἐμβιβάζεται, οὐ κεχηλωμένη, ἀλλὰ ἁπλῆ, καθάπερ δάκτυλος. Τὸ δὲ πλάτος τῆς τοξίτιδος ὀρθὸν

μᾶλλον ἢ (Sch) für *εὔχρηστα*. — **5.** Caes. b. civ. III 9, 3: *mulierum crinibus*. Polyb. IV 56, 3. — **7.** *Ἀπᾴδειν τινός* abweichen von, zurückstehen hinter. — **9.** *Τὴν δὲ κ. τ. λ.* Hero § 30. — **10.** *Ἀπεργάζεσθαι* leisten. — **11.** *Βία* Wucht. — **13.** *Χηλή* 1. Kerbe, 2. gespaltene Klaue (z. B. Huf des Rindes). — **14.** *Χείρ* § 88. — **16.** *Πλαγία* seitlich, platt, breit. — **17.** *Ἀγκύλαι* Schleifen. — **18.** *Ἐκ.* Wir: in. — **19.** *Κρίκος* Ring *circulus*. — **21.** *Ὀρθός* senkrecht, aufrecht.

τίθεται, ὅπως ἀποσχασθείσης τῆς χειρὸς ὁ λίθος κατὰ τὸ πλάτος ὑπὸ τῆς τοξίτιδος τυφθεὶς καλῶς ἐξαποστέλληται. Καὶ ἡ μὲν ἐπὶ τῶν εὐθυτόνων νευρὰ παρ' αὐτὴν τὴν διώστραν τίθεται, ἀπέχουσα ἀπ' αὐτῆς βραχύ. Ἡ δὲ ἐπὶ τῶν παλιντόνων πλεῖον ἀπέχουσα ἀπ' αὐτῆς τῆς διώστρας, ὅπως ἀποσχασθεῖσα κατὰ μέσον τὸ ὕψος τοῦ λίθου πλήξῃ. Οὕτω γὰρ βιαιοτέρως ἐξαποσταλήσεται· μικρὸν γὰρ ἀνωτέρα ἢ κατωτέρα τεθεῖσα ἤτοι ὑπελεύσεται τὸν λίθον ἢ ὑπερπεσεῖται αὐτόν.

31. Die Gröfsenverhältnisse.

§ 93. *Ἱκανῶς οὖν κεφαλαιωδῶς περὶ τῆς κατασκευῆς τῶν παλιντόνων εἰρηκότες ἑξῆς τὰ μέτρα ὑπογράψομεν. Εἰδέναι δὲ δεῖ, ὅτι ἡ τῶν μέτρων ἀναγραφὴ ἐξ αὐτῆς τῆς πείρας ἐλήφθη. Οἱ γὰρ παλαιότεροι μόνον τὸ σχῆμα καὶ τὴν διάθεσιν ἐπινοήσαντες οὐ πάνυ τι εὐδοκίμουν εἰς τὴν ἐξαποστολὴν τοῦ βέλους διὰ τὸ ἀναρμόστοις συμμετρίαις χρῆσθαι. Οἱ δὲ μετὰ ταῦτα ἀφ' ὧν μὲν ἀφαιροῦντες, οἷς δὲ προστιθέντες σύμφωνα κατέστησαν καὶ ἐνεργὰ τὰ εἰρημένα ὄργανα. Συνίσταται δὲ τὰ προειρημένα ὄργανα,*

---

1. *Ἀποσχάζειν* abziehen. Vgl. S. 156, 7. — **8.** *Ὑπέρχεσθαί τι* fortgleiten unter. — **9.** *Ὑπερπίπτειν τι* geraten, weggleiten über. — **11.** Der § 93 stammt aus Hero § 30—32. — **11.** *Κεφαλαιωδῶς* summarisch, in der Hauptsache. — **13.** *Ἀναγραφή* Tabelle. — **13.** *Πεῖρα* Probe, Erfahrung. — **15.** *Διάθεσις* Verteilung, Anordnung, Konstruktion. — **15.** *Εἰς* hinsichtlich. — **16.** *Ἐξαποστολή* Schufsweite. — **16.** *Ἀναρμόστοις* (Sch für *-αις*) *συμμετρίαις* ‚unpassende Verhältnisse'. — **18.** *Σύμφωνα* im richtigen Verhältnis. — **19.** *Συνίστασθαι* zusammengesetzt, konstruiert werden.

οἷον τὰ κατὰ μέρος ἐν αὐτοῖς πάντα, ἀπὸ τῆς τοῦ τρήματος διαμέτρου τοῦ τὸν τόνον δεχομένου. Ἀρχὴ γὰρ καὶ πυθμὴν ἡγούμενος ὁ τόνος. Δεῖ οὖν τὸ τοῦ λιθοβόλου ὀργάνου τρῆμα συνίστασθαι οὕτως· ὅσων ἂν ᾖ μνῶν ὁ μέλλων ἐξαποστέλλεσθαι λίθος, ταύτας ἑκατοντάκις ποιήσας λαβὲ τῶν γενομένων κυβικὴν πλευρὰν καὶ πρόσθες ταῖς εὑρεθείσαις τὸ δέκατον μέρος· καὶ τοσούτων δακτύλων ποίει τὴν τοῦ τρήματος διάμετρον. Οἷον ἔστω ὁ λίθος μνῶν ὀγδοήκοντα, ἡ δὲ κυβικὴ πλευρὰ κ', καὶ τὸ δέκατον μέρος αὐτῶν δύο· γίνεται κβ'· τοσοῦτον ἔσται ἡ τοῦ τρήματος διάμετρος. Ἐὰν δὲ μὴ ἔχῃ ὁ γενόμενος ἀριθμὸς κυβικὴν πλευράν, ὡς ἔγγιστα δεῖ λαμβάνοντα τὸ δέκατον μέρος προστιθέναι.

G. Die antiken Klepsydren.

32. Als Beobachtungs-Instrument.

A. Τῶν περὶ τῶν κλεψυδρῶν συμβαινόντων τὸ μὲν ὅλον ἔοικεν εἶναι αἴτιον, καθάπερ Ἀναξαγόρας § 94.

---

2. Ἀπὸ auf Grund von. Also bildet ἡ τοῦ τρήματος (§ 87) διάμετρος das Kaliber des Geschützes und die Maſseinheit aller seiner Teile. — **2.** Ἀρχὴ καὶ πυθμὴν ἡγούμενος Ausgangspunkt und (Grundlage, Wurzel) leitender Gesichtspunkt. — **4.** Μνᾶ Mine = 100 Drachmen. — **6.** Κυβικὴ πλευρά Würfelseite = dritte Wurzel. — **7.** Τὸ δέκατον μέρος den zehnten Teil davon. — **7.** Τοσούτων. Natürlich ist nun die unbenannte Zahl gemeint. Δάκτυλος = 19,3 Millimeter. — **9.** Μνῶν. 80 Minen = 8000 Drachmen = 20 × 20 × 20 Dr. — **11.** Μὴ ἔχῃ. Kubikwurzeln konnten die Alten nicht ausziehen, sie probierten sie durch Annäherung aus. — **16.** A stammt aus Aristot. Probl. XVI 8. Text im ganzen nach der Ausg. d. Berlin. Akad. 1831. Vgl. Fig. 12 und 13, sowie das Vorwort Nr. 5. — **17.** Τὸ ὅλον das

λέγει· ὁ γὰρ ἀὴρ ἐστιν αἴτιος, ἐναπολαμβανόμενος ἐν αὐτῇ, τοῦ μὴ εἰσιέναι τὸ ὕδωρ ἐπιληφθέντος τοῦ αὐλοῦ. Οὐ μὴν ἁπλῶς γε αἴτιος· κἂν γάρ τις αὐτὴν πλαγίαν ἐνῇ εἰς τὸ ὕδωρ, ἐπιλαβὼν τὸν αὐλόν, εἴσεισι τὸ ὕδωρ. Διόπερ οὐ λέγεται ὑπ' αὐτοῦ ἱκανῶς, ᾗ αἴτιόν ἐστιν. Ἔστι δὲ αἴτιον μέν, καθάπερ εἴρηται, ὁ ἀήρ· οὗτος δὲ ὠθούμενός τε καὶ καθ' ἑαυτὸν φερόμενος καὶ μὴ βιαζόμενος, ἐπ' εὐθείας πέφυκε φέρεσθαι, καθάπερ καὶ ἄλλα στοιχεῖα. Πλαγίας μὲν οὖν βαφείσης τῆς κλεψύδρας, διὰ τῶν ἐναντίων τοῖς ἐν τῷ ὕδατι τρυπημάτων ἐπ' εὐθείας μένων ὑπὸ τοῦ ὕδατος ἐξέρχεται, ὑποχωροῦντος δὲ αὐτοῦ τὸ ὕδωρ εἰσέρχεται. Ὀρθῆς δὲ εἰς τὸ ὕδωρ βαφείσης τῆς κλεψύδρας, οὐ δυνάμενος πρὸς ὀρθὴν ὑποχωρεῖν διὰ τὸ πεφράχθαι τὰ ἄνω, μένει περὶ τὰ πρῶτα τρυπήματα· ἄττεσθαι γὰρ εἰς αὐτὸν οὐ πέφυκεν. Σημεῖον δ' ἐστὶ τοῦ εἴργειν δύνασθαι τὸ ὕδωρ ἀκινητίζοντα τὸν ἀέρα τὸ ἐπ' αὐτῆς γινόμενον τῆς κλεψύδρας. Ἐὰν γάρ τις αὐτῆς αὐτὴν τὴν κωδίαν ἐμπλήσας ὕδατος, ἐπιλαβὼν τὸν αὐλόν,

---

All. Begriff des Anaxagoras († um — 428), Lehrers des Sokrates († — 399). S. 171, 1. Er lehrte: *Πάντα ἀὴρ καὶ αἰθὴρ κατέχει.* — **1.** *Αὐτῇ = τῇ κλεψύδρᾳ.* — **2.** *Αὐλός* Hals. *Ἐπιλαμβάνειν* zuhalten, schliefsen. — **3.** *Πλάγιος* schräg. *Ἐνῇ* conj. aor. v. *ἐνίημι.* — **5.** *Ἧι* wie weit. — **6.** *Τε καὶ sive ... sive.* — **7.** *Βιαζόμενος* pass. — **8.** *Στοιχεῖα* Elemente. — **10.** *Ἐναντίων sc. τρυπημάτων* gegenüberliegende (nicht mit eingetauchte) Löcher (die sich am Boden des Gefäfses befinden). — **11.** *Ἐξέρχεσθαι (ὑπὸ) = ἐξωθεῖσθαι.* — **14.** *Φράσσειν* verschliefsen. — **14.** *Πρῶτα τρ.* Vordere Enden der Löcher, Aufsenseiten. — **15.** *Ἄττεσθαι = διάζεσθαι* kreuzen, durchqueren. — **16.** *Τὸ ὕδωρ* ist Objekt. — **18.** *Κωδία = κώδεια* Mohnkopf; Bauch der Klepsydra.

καταστρέψῃ ἐπὶ τὸν αὐλόν, οὐ φέρεται τὸ ὕδωρ διὰ τοῦ αὐλοῦ ἐπὶ στόμα. Ἀνοιχθέντος δὲ τοῦ στόματος οὐκ εὐθὺς ἐκρεῖ κατὰ τὸν αὐλόν, ἀλλὰ μικροτέρῳ ὕστερον, ὡς οὐκ ὂν ἐπὶ τῷ στόματι τοῦ αὐλοῦ, ἀλλ' ὕστερον διὰ τούτου φερόμενον ἀνοιχθέντος. Πλήρους τε καὶ ὀρθῆς οὔσης τῆς κλεψύδρας, ἀνοιχθέντος τοῦ αὐλοῦ, εὐθὺς ῥεῖ διὰ τοῦ ἠθμοῦ, διὰ τὸ ἐκείνου μὲν ἅπτεσθαι, τῶν δὲ ἄκρων τοῦ αὐλοῦ μὴ ἅπτεσθαι. Οὐκ εἰσέρχεται μὲν οὖν τὸ ὕδωρ εἰς τὴν κλεψύδραν διὰ τὴν προειρημένην αἰτίαν, ἐξέρχεται δὲ ἀνοιχθέντος τοῦ αὐλοῦ διὰ τὸ τὸν ἐν αὐτῷ ἀέρα κινούμενον ἄνω καὶ κάτω πολλὴν κένωσιν ποιεῖν τοῦ ἐν τῇ κλεψύδρᾳ ὕδατος. Ὠθούμενον δὲ κάτω καὶ αὐτὸ ῥέπον εἰς αὐτὸ εἰκότως ἐκρεῖ, βιαζόμενον τὸν ἐκτὸς τῆς κλεψύδρας ἀέρα κινούμενόν τε καὶ ὄντα ἴσον τῇ δυνάμει τῷ ἐπωθοῦντι αὐτὸν ἀέρι, τῇ δὲ ἀντερείσει ἀσθενέστερον ἐκείνου διὰ τὸ διὰ στενοῦ αὐτὸν τοῦ αὐλοῦ ῥέοντα θᾶττον καὶ σφοδρότερον ῥεῖν καὶ προσπίπτειν τῷ ὕδατι. Τοῦ δὲ πωματισθέντος τοῦ αὐλοῦ μὴ συρρεῖν τὸ ὕδωρ αἴτιον, ὅτι τὸ ὕδωρ εἰσιὸν εἰς τὴν κλεψύδραν ἐξωθεῖ βίᾳ τὸν ἀέρα ἐξ αὐτῆς. Σημεῖον δέ ἐστι τὸ γινόμενον ἐν ταύτῃ πνεῦμα καὶ ἐρυγμός.

---

2. *Στόμα* Mündung des Halses. — **7.** *Ἠθμός* Sieb. Andere Lesart *ἰσθμός*. — **7.** *Τὰ ἄκρα* den oberen Rand = *τὸ στόμα*. — **12.** *Ῥέπειν* sinken. *Εἰς αὐτὸ* = *κάτω*. — **15.** *Ἀντέρεισις* Gegenstemmung, Widerstand. — **17.** *Τοῦ δὲ μὴ συρρεῖν* gehört zusammen, *πωματισθέντος* (verschlossen, v. *πῶμα* Deckel) *τοῦ αὐλοῦ* ist gen. absol. — **20.** *Πνεῦμα καὶ ἐρυγμός* Blasen (Ziehen, Pusten) und Glucksen (Gurgeln).

§ 95. B. *Λέγει περὶ ἀναπνοῆς καὶ Ἐμπεδοκλῆς.* Γίνεσθαι δέ φησι τὴν ἀναπνοὴν καὶ ἐκπνοὴν διὰ τὸ φλέβας εἶναί τινας, ἐν αἷς ἔνεστι μὲν αἷμα, οὐ μέντοι πλήρεις εἰσὶν αἵματος, ἔχουσι δὲ πόρους εἰν τὸν ἔξω ἀέρα, τῶν μὲν τοῦ σώματος μορίων ἐλάττους, τῶν δὲ τοῦ ἀέρος μείζους· διὸ τοῦ αἵματος πεφυκότος κινεῖσθαι ἄνω καὶ κάτω, κάτω μὲν φερομένου εἰσρεῖν τὸν ἀέρα καὶ γίνεσθαι ἀναπνοήν, ἄνω δ' ἰόντος ἐκπίπτειν θύραζε καὶ γίνεσθαι τὴν ἐκπνοήν, παρεικάζων τὸ *συμβαῖνον ταῖς κλεψύδραις*·

Ὧδε δ' ἀναπνεῖ πάντα καὶ ἐκπνεῖ. Πᾶσι λίφαιμοι
σαρκῶν σύριγγες πύματον κατὰ σῶμα τέτανται,
καί σφιν ἐπὶ στομίοις πυκναῖς τέτρηνται ἄλοξιν
ῥινῶν ἔσχατα τέρθρα διαμπερές, ὥστε φόνον μὲν
κεύθειν, αἰθέρι δ' εὐπορίην διόδοισι τετμῆσθαι.
ἔνθεν ἔπειθ' ὁπόταν μὲν ἀπαΐξῃ τέρεν αἷμα,
αἰθὴρ παφλάζων καταβήσεται οἴδματι μάργῳ,

---

1. § 95: **B.** Aristot. *περὶ ἀναπνοῆς* § 7. — **1.** *Ἀναπνοή* Aufatmen. — **1.** Empedokles, Philosoph aus Agrigent, um — 490/430. Schrieb *περὶ φύσεως* in Hexametern (Diog. Laert. VIII 57). Nicht auf Beobachtung, sondern auf Spekulation beruhen seine obigen Bemerkungen. Ihnen könnte man dasselbe entgegenhalten, was Schiller 1794 zu Goethes Urpflanze sagte: ‚Das ist keine Erfahrung, das ist eine Idee.' — **2.** *Φλέψ* Ader. — **4.** *Πόροι* Gänge, Poren. — **5.** *Μόριον* Teilchen, Partikelchen. — **6.** *Πεφυκότος κινεῖσθαι* von Natur sich bewegt. — **8.** *Θύραζε* hinaus. So schon Homer: ε 410. — **11.** *Λίφαιμος* blutlos. Von *λείπω* (St. *λῐπ*). — **12.** *Σῦριγξ* Röhre, Ader. *Πύματος extremus.* — **13.** *Ἡ ἄλοξ* Furche, Ritze. — **14.** *Τέρθρον* äufserstes Ende. *Φόνος* Blut. — **17.** *Παφλάζειν* schnauben. *Οἶδμα μάργον* gieriger Schwall.

εὖτε δ' ἀναθρώσκει, πάλιν ἐκπνεῖ, ὥσπερ ὅταν παῖς
κλεψύδρην παίζησι δι' εὐπετέος χαλκοῖο.
εὖτε μὲν αὐλοῦ πορθμὸν ἐπ' εὐειδεῖ χερὶ θεῖσα
εἰς ὕδατος βάπτησι τέρεν δέμας ἀργυφέοιο,
οὐδ' ὅγ' ἐς ἄγγος δ' ὄμβρος ἐσέρχεται, ἀλλά μιν εἴργει
ἀέρος ὄγκος ἔσωθε πεσὼν ἐπὶ τρήματα πυκνά,
εἰσόκ' ἀποστεγάσῃ πυκινὸν ῥόον· αὐτὰρ ἔπειτα
πνεύματος ἐλλείποντος ἐσέρχεται αἴξιμον ὕδωρ.
ὡς δ' αὔτως ὅθ' ὕδωρ μὲν ἔχει κατὰ βένθεα χαλκοῦ
πορθμοῦ χωσθέντος βροτέῳ χροῒ ἠδὲ πόροιο,
αἰθὴρ δ' ἐκτὸς ἔσω λελιημένος ὄμβρον ἐρύκει
ἀμφὶ πύλας ἠθμοῖο δυσηχέος, ἄκρα κρατύνων,
εἰσόκε χειρὶ μεθῇ· τότε δ' αὖ πάλιν, ἔμπαλιν ἢ πρίν,
πνεύματος ἐμπίπτοντος ὑπεκθέει αἴξιμον ὕδωρ.
ὡς δ' αὔτως τέρεν αἷμα κλαδασσόμενον διὰ γυίων
ὁππότε μὲν παλίνορσον ἐπαΐξειε μυχόνδε,
αἰθέρος εὐθὺς ῥεῦμα κατέρχεται οἴδματι θῦον,
εὖτε δ' ἀναθρώσκῃ, πάλιν ἐκπνεῖ ἶσον ὀπίσσω.

---

2. *Κλ. παίζειν* Klepsydra spielen. *Εὐπετὴς χαλκός* leichter Kupferkessel. — **3.** *Πορθμός* Enge = *στόμα*. *Ἐπιθεῖσα* zuhaltend = *ἐπιλαβοῦσα*. — **4.** *Ἀργύφεος* glänzend. — **5.** *Ἄγγος* = *κωδίαν*. — **6.** *Ὄγκος* Masse, Gewicht. *Τρήματα πυκνά* = *ἠθμός*. — **7.** *Ἀποστεγάζομαι* abdecken, öffnen. — **8.** *Αἴξιμος* nährend. — **9.** *Βένθος* Tiefe, Bauch. — **10.** *Χώννυμι* zuschütten, zuhalten. — **11.** *Λελιημένος* ungestüm, drängend. — **12.** *Ἠθμοῖο*. Andere Lesart *ἰσθμοῖο*. — **13.** *Μεθῇ* conj. aor. v. *μεθίημι*. *Ἔμπαλιν* umgekehrt. — **14.** *Ἐμπίπτειν* eindringen. — **15.** *Κλαδασσόμενος* bewegt. — **16.** *Παλίνορσον* zurückeilend. — **17.** *Ῥεῦμα* Strom. — **18.** *Ἀναθρώσκειν* hochspringen.

C. *Κωλύει ἐξιέναι (τὸ πνεῦμα τὸν ἱδρῶτα), ὥστε τὸ ὕδωρ τὸ ἐκ τῶν κλεψυδρῶν, ὅταν πλήρεις οὔσας ἐπιλάβῃ τις.*

§ 96. D. *Ἡ κλεψύδρα ἀγγεῖόν ἐστι στενόστομον, πλατεῖαν ἔχον τὴν βάσιν, μικραῖς ὀπαῖς διατετρυπημένην, ὅπερ ὑδράρπαγα καλοῦσιν. Ἀπολυθέντος γὰρ εἰς τὸ ὕδωρ τοῦ ἀγγείου, τοῦ μὲν ἄνωθεν στομίου ἐπιπωματισθέντος, οὐκ εἰσέρχεται ὕδωρ διὰ τῶν ὀπῶν, διὰ τὸ ἅμα ὅλον τὸν ἐν αὐτῷ ἀέρα ἀντέχειν τῷ ὕδατι καὶ κωλύειν τὴν ἐπὶ τὸ ἄνω πάροδον αὐτοῦ, τῷ μὴ ἔχειν, δι' οὗ ἂν αὐτὸς διέλθῃ· ἀφαιρεθέντος δὲ τοῦ ἐπιπωματίζοντος τῷ στόματι ἄνωθεν, εἰσέρχεται τὸ ὕδωρ, τοῦ ἀέρος ὑποχωροῦντος αὐτῷ. Ἀλλὰ καὶ τῆς κλεψύδρας πληρωθείσης ὕδατος, εἰ ἐπιπωματίσει τις τὸ στόμιον ἄνωθεν, ὥστε μὴ εἰσέρχεσθαι, οὐκ ἐκρεῖ διὰ τῶν ὀπῶν τὸ ὕδωρ, ὡς μὴ μένειν τὸ ἀγγεῖον κενόν, μὴ εἰσερχομένου τοῦ ἀέρος οὔτε διὰ τοῦ ἄνωθεν στομίου τοῦ ἐπιπωματιζομένου, οὔτε διὰ τῶν κάτωθεν ὀπῶν δίοδον τοῦ ὕδατος ἐχουσῶν.*

E. *Κλεψύδραν λέγεσθαί φησιν ὁ Ἀλέξανδρος τὰ στενὸν μὲν ἔχοντα τὸ στόμα, τρήσεις δέ τινας ἐν τῷ*

---

1. C. Aristot. *προβλ.* II 1. — **1.** *Ἱδρώς* Schweifs. — **4.** § 96: **D.** Simplic. comment. ad Aristot. *περὶ οὐρανοῦ*, abgedruckt in Schneiders Eclogae phys. I 203. Der Aristoteliker Simplikios lebte um + 550. — **5.** *Ὀπή* Loch. — **6.** *Ὑδράρπαξ* vgl. § 96 F. — **6.** *Ἀπολύειν* freilassen, hineinsenken. — **7.** *Μὲν* eingeschoben (Sch). — **10.** *Ἔχειν sc. τόπον* Raum. — **11.** *Τοῦ ἐπιπωματίζοντος* ist Neutrum: ‚Das was schliefst', der Verschlufs. — **19. E:** Schol. zu Arist. *περὶ οὐρανοῦ* II im cod. Coisl. 166 (ed. Acad. Berl. IV 506). — **19.** Alexandros v. Aphrodisias, Peripatetiker und Erklärer des

πυθμένι. Ταῦτα οὖν τὰ ἀγγεῖα, ἐμφραττόντων ἡμῶν τὸ στόμα, βαπτιζόμενα ἐν τῷ ὕδατι, ἐπὶ τὴν βάσιν οὐδὲν εἰσδέχονται, διὰ τὸ πεπληρῶσθαι πνεύματος μὴ δυναμένου μεταστῆναι καὶ ὑποχωρῆσαι τῷ ὕδατι, διὰ τὸ πεφράχθαι τὸ στόμα.

F. Εἶδος ἀγγείου κλεψύδρα ἐστί, τὸ δὲ αὐτὸ καὶ ὑδράρπαξ παρά τισιν ὀνομάζεται, ἔχον δὲ ἄνωθεν μίαν ὀπὴν οὐ πάντῃ πλατεῖαν, κάτω δὲ πάλιν πολλάς τε καὶ πάνυ μικράς. Εἰ γοῦν τις τὴν ἄνω καὶ πλατεῖαν ὀπὴν ἐπιφράξας ἐπικαλύψειεν, εἶτα τὸ τοιοῦτον ἀγγεῖον καθ' ὕδατός τινος ἐπαφήσειεν, οὐδὲ μικρόν τι ἔνδοθεν ὕδωρ εἰσρυήσεται διὰ τῶν μικρῶν τε καὶ πάντῃ στενωτάτων ὀπῶν τῶν κάτωθεν ὄντων. Γέμει γὰρ ἀέρος τὸ τοιοῦτον ἀγγεῖον, ὃς οὐκ ἔχει, πόθεν ποῖ διεξέλθοι, τῆς πλατείας ὀπῆς τῆς ἄνωθεν οὔσης ἐμπεφραγμένης, ὡς ἔφημεν. Ταῦτ' ἄρα καὶ ἐπεὶ σῶμα διὰ σώματος οὐ χωρεῖ, οὐδὲ μικρὸν ὕδωρ ἐν τῷ ἀγγείῳ εἰσέρχεται, λεπτομερεστάτου σώματος,

---

Aristoteles, lebte unter Kaiser Septimius Severus (+ 193/211). — **1.** Πυθμήν = βάσις Boden. — **6. F:** Schol. zu Arist. περὶ οὐρανοῦ II im cod. Reg. 1853 (ed. Acad. Berl. IV 506). — **8.** Οὐ πάντῃ nicht ganz; nicht sehr. — **11.** Ἐπαφᾶν berühren; hier: tauchen. — **16.** Fesselnd ist es zu beobachten, wie allmählich der Sprachgebrauch sich entwickelt. Σῶμα heiſst ursprünglich ‚Leib, Organismus', übertragen auf Lebloses, z. B. τοῦ κόσμου, oder auf Arbeiter (Ggstz.: Meister = ψυχή § 52: so Polyb. VIII 9, 7), z. B. § 77 = Athen. p. 207 A. Dann bedeutet es ‚fester Körper'; Luft aber heiſst noch unbestimmt τι, z. B. bei Anaxagoras: § 97 G. Endlich heiſsen auch flüssige und luftige Körper σώματα. Ein mathematischer Körper aber heiſst στερεόν schon bei Plato (Phileb. p. 51 C).

ἀέρος δηλαδή, γεγεμισμένῳ, ὥσπερ προειρήκειμεν. — Ὑδράρπαξ δὲ τὸ τοιοῦτον ἀγγεῖον καλεῖται, ὅτι οἱ ἐν χώραις τισὶν ἀλλοδαπαῖς περιπλέοντες, ἐπὰν ποτίμων ὑδάτων ἐν ἐνδείᾳ γενήσονται, χαλῶσι τὸ τοιοῦτον ἀγγεῖον ἐν τῇ θαλάσσῃ, πλὴν οὐχ ὅλον, ἀλλὰ μέχρι τοῦ μέσου τῷ θαλασσίῳ ἐῶσιν ἐμβαπτίζεσθαι τῷ ὕδατι· ὅθεν καὶ διὰ τῶν σμικροτάτων ὀπῶν τῶν κάτωθεν οὐσῶν, πλὴν καὶ τῆς ἄνωθεν ὀπῆς τῆς πλατείας ἠνῳγμένης, τὸ λεπτομερέστερόν τε καὶ καθαρώτερον ὕδωρ τοῦ ἀγγείου ἔνδοθεν εἰσρέον δεχόμενοι θᾶττον ὑφαρπάζουσί τε καὶ πίνουσιν ὕδωρ γλυκύ τε καὶ ποτιμόν. Τὸ γὰρ παχύτερον καὶ ὑλικώτερον, ἅτε λεπτοτάτων καὶ πάνυ βραχυτάτων οὐσῶν τῶν ὀπῶν, ἔξωθεν μένει, διηθεῖται δὲ, ὅσον λεπτότερόν ἐστι καὶ ποτιμώτερον.

§ 97. G. *Ἐπιδεικνύουσι Ἀναξαγόρας καὶ ἄλλοι τινὲς, ὅτι ἔστι τι ὁ ἀήρ, στρεβλοῦντες τοὺς ἀσκοὺς καὶ δεικνύντες, ὡς ἰσχυρὸς ὁ ἀήρ, καὶ ἐναπολαμβάνοντες ἐν ταῖς κλεψύδραις.*

---

3. *Ἀλλοδαπός* fremd. — 3. *Πότιμος* trinkbar. — 4. Bemerke *ἐπὰν* mit dem Indicativus Futuri. — 4. *Χαλᾶν* nachlassen, hineinlassen. — 5. *Πλήν* hier: indessen, jedoch; Z. 7: nur dafs, vorausgesetzt dafs. — 11. *Γλυκύ.* Ist Einbildung. — 11. *Τὸ γὰρ κ. τ. λ.* Natürlich falsche Beobachtung. — 12. *Ὑλικός* stofflich; dickflüssig. — 13. *Διηθεῖν* durchsieben. — 15. § 97 G: Aristot. *φυσικῆς ἀκροάσεως* IV 6 (ed. Acad. Berl. I 213). — 15. *Καὶ ἄλλοι τινὲς.* Aus dem Zusammenhang eingeschoben. — 16. *Στρεβλοῦν* spannen, aufblasen. *Ἀσκός* Schlauch.

H. **Ἀναξιμένης** καὶ **Ἀναξαγόρας** καὶ **Δημόκριτος** τὸ πλάτος αἴτιον εἶναί φασι τοῦ μένειν τὴν γῆν. Οὐ γὰρ τέμνειν, ἀλλ' ἐκπωματίζειν τὸν ἀέρα τὸν κάτωθεν, ὅπερ φαίνεται τὰ πλάτος ἔχοντα τῶν σωμάτων ποιεῖν· ταῦτα γὰρ καὶ πρὸς τοὺς ἀνέμους ἔχουσι δυσκινήτως διὰ τὴν ἀντέρεισιν. Ταὐτὸ δὴ τοῦτο ποιεῖν τῷ πλάτει φασὶ τὴν γῆν πρὸς τὸν ὑποκείμενον ἀέρα. Τὸν δ' οὐκ ἔχοντα μεταστῆναι τόπον ἱκανὸν ἀθρόον τῷ κάτωθεν ἠρεμεῖν, ὥσπερ τὸ ἐν ταῖς **κλεψύδραις** ὕδωρ.

I. **Θεόφραστός** φησιν ἐν τῷ περὶ ὑδάτων . . ., ὡς τὰ πρὸς τοῖς περὶ Πάγγαιον μετάλλοις ὕδατα τοῦ μὲν χειμῶνος τὴν κοτύλην ἄγουσαν ἔχει ἐνενήκοντα ἕξ, θέρους δὲ τεσσαράκοντα ἕξ· συστέλλει δὲ αὐτὸ καὶ πυκνοῖ μᾶλλον τὸ ψῦχος. Διὸ καὶ ἐν τοῖς **γνώμοσι** ῥέον οὐκ ἀναδίδωσι

---

1. H. Aristot. *περὶ οὐρανοῦ* II 13 (Ac. Berl. I 294). — **1.** Anaximenes (geb. um — 580) jonischer Naturphilosoph. Anaxagoras (geb. um — 500) Lehrer des Sokrates. S. 163, 19. Demokritos (geb. um — 460) Atomist. — **6.** *Ἀντέρεισις* Widerstand. — **8.** *Ἠρεμεῖν* still stehen. — **10. I:** Athen. p. 42 B. — **10.** Theophrast folgte dem Aristoteles († — 322) in der Leitung der Peripatetischen Schule. — **11.** *Πάγγαιον* in Macedonien. — **11.** *Μέταλλα.* Gold- und Silbergruben. Vgl. B. 2, S. 157. — **12.** *Κοτύλη* = 0,274 Liter oder Gramm. *Ἄγειν* schwer sein (eig. die Wageschale ziehen). Natürlich ist die Beobachtung falsch. — **13.** *Συστέλλειν καὶ πυκνοῦν* zusammenziehen und verdichten. — **14.** *Γνώμονες* ‚Stifte', hier für ‚Uhren', speziell ‚Wassermesser'. Mit dieser Bemerkung treten wir also bereits in das folgende Kapitel (Nr. 33) über. — **14.** *Ἀναδιδόναι* (zurückgehen, hier intr.) eig. emporströmen (Herod. VII 26). Dann: hervorströmen (Thuc. III 52).

κατὰ τὰς ὥρας ἐν τῷ χειμῶνι, ἀλλὰ περιττεύει βραδυτέρας οὔσης τῆς ἐκροῆς διὰ τὸ πάχος.

K. Ἡ ψυχρότης τὸ ὕδωρ ποιεῖ βαρὺ καὶ σωματῶδες, ὡς ἔστιν ἐν ταῖς κλεψύδραις καταμαθεῖν· βράδιον γὰρ ἕλκουσι χειμῶνος ἢ θέρους.

33. Als Zeitmesser.

§ 98. A. Διαμεμετρημένη ἡμέρα· μέτρον τι ὕδατός ἐστι πρὸς μεμετρημένον ἡμέρας διάστημα ῥέον· ἐμετρεῖτο δὲ τῷ Ποσειδεῶνι μηνί. Πρὸς δὴ τοῦτο ἠγωνίζοντο οἱ μέγιστοι καὶ περὶ τῶν μεγίστων ἀγῶνες. Διενέμετο εἰς τρία μέρη τὸ ὕδωρ, τὸ μὲν τῷ διώκοντι, τὸ δὲ τῷ φεύγοντι, τὸ τρίτον τοῖς δικάζουσι. Ταῦτα δὲ σαφέστατα αὐτοὶ οἱ ῥήτορες δεδηλώκασιν, ὥσπερ καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ διδάσκει περὶ τούτων. Σκεπτέον τὸ παρ' Ἰσαίῳ ἐν τῷ καθ' Ἑλπαγόρου καὶ Δημοφάνους, πῶς μεμετρημένης τῆς ἡμέρας ὁτὲ μέν φασι χωρὶς ὕδατος γίνεσθαι τοὺς ἀγῶνας, ὁτὲ δὲ πρὸς ὕδωρ.

---

1. *Κατὰ* nach Ka. — **1.** *Περιττεύειν* überschüssig sein, übrig bleiben. — **3. K**: Plut. nat. quaestt. 7. — **7.** § 98: **A**: Harpokration I p. 51 (ed. Leipzig 1824). Fig. 13a. — **7.** *Μέτρον ὕδατος* Wassermafs. Ist ein Begriff. Dazu *ῥέον*. — **8.** *Διάστημα* Dimension, Ausdehnung. — **9.** *Ποσειδεών* im Winter. Ergab also die kürzesten Tage. So reichte das Mafs für die Sommertage jedenfalls aus. — **9.** *Ἀγωνίζεσθαι, ἀγών, διώκειν, φεύγειν*, wie *δικάζοντες* ‚Richter', Ausdrücke des Prozefslebens. — **14.** *Ἐν τῷ . . . sc. λόγῳ*: § 98 C. — **15.** *Διδάσκει.* In dem verlorenen Teile; *ὕδωρ* liest man S. 78, Z. 14 der Ausg. von Kaibel, Berlin 1891. — **16.** *Ἐν τῷ . . . sc. λόγῳ.* Ist verloren.

B. *Τὸ ὕδωρ, πρὸς ὃ ἔδει ἀγωνίζεσθαι, τετραπλάσιον ἡμῶν ἔλαβον οἱ ἀντίδικοι τέσσαρες ὄντες τὸν ἀριθμόν. Ἐξ ἀνάγκης γὰρ ἦν, ὦ ἄνδρες δικασταί, τῷ ἄρχοντι ἀμφορέα ἑκάστῳ ἐγχέαι τῶν ἀμφισβητούντων, καὶ τρεῖς χόας τῷ ὑστέρῳ λόγῳ. Ὥστε συνέβαινεν ἐμοὶ τῷ ὑπὲρ τῆς γυναικὸς ἀγωνιζομένῳ, μὴ ὅτι περὶ τοῦ γένους καὶ τῶν ἄλλων ὧν μοι προσῆκε διηγήσασθαι τοῖς δικασταῖς, ὡς ἐγὼ ἐβουλόμην, ἀλλ' οὐδ' ἀπολογήσασθαί μοι ἐξεγένετο οὐδὲ πολλοστὸν μέρος ὧν κατεψεύδοντο ἡμῶν· πέμπτον γὰρ μέρος εἶχον τοῦ ὕδατος.*

C. *Εἰς τρία μέρη διαιρεῖται ἡ ἡμέρα, ὅταν εἰσίῃ γραφὴ παρανόμων εἰς τὸ δικαστήριον. Ἐγχεῖται γὰρ τὸ μὲν πρῶτον ὕδωρ τῷ κατηγόρῳ καὶ τοῖς νόμοις καὶ τῇ δημοκρατίᾳ, τὸ δὲ δεύτερον ὕδωρ τῷ τὴν γραφὴν φεύγοντι*

---

1. B: Demosth. in Macart. § 8 sq. (= p. 1052). — **1.** *Ὕδωρ sc. τῆς κλεψύδρας.* — **1.** *Ἀγωνίζεσθαι* prozessieren. — **2.** *Οἱ ἀντίδικοι* (Gegner) . . . *ἀριθμόν.* Aus dem Zusammenhang eingeschoben. — **4.** *Ἀμφορεύς* = 12 *χόες* = 39,39 Liter. Also 1 *χοῦς* = 3,283 Liter. — **6.** *Ὑπὲρ τῆς γυναικός* für die Verklagte. — **6.** *Μὴ ὅτι* nicht etwa nicht. — **7.** *Ὧν* Attraktion für *ἅ.* — **9.** *Ἐξεγένετο* aor. v. *ἔξεστι.* — **9.** *Πολλοστὸν μέρος ὧν* (= *τούτων ἅ*) der kleinste Teil von dem was. — **11. C:** Aeschin. in Ctesiph. § 197. — **12.** *Γραφή* Klageschrift (in Kriminalsachen). — **12.** *Ἐγχεῖν* (Z. 4 u. S. 174, 3) und *ὕδωρ* sind stehende Ausdrücke. Demosth. p. 407: *Οὐ γὰρ ἐγὼ κρίνομαι τήμερον οὐδ' ἐγχεῖ μετὰ ταῦθ' ὕδωρ ἐμοί.* p. 817: *Οὐκ ἐνδέχεται* (ist möglich) *πρὸς τὸ αὐτὸ ὕδωρ εἰπεῖν.* p. 1094: *Ἂν ἐγχωρῇ* (es möglich macht) *τὸ ὕδωρ.* p. 1206: *Εἴ τις ἔχει με ἐπιδεῖξαι ὡς ψεύδομαι, ἀναστὰς ἐν τῷ ἐμῷ ἐξελεγξάτω* (soll er's beweisen). — **14.** *Τῷ τὴν γραφὴν φεύγοντι* dem, der sich wider die Klage verteidigt. Lucian pisc. 28: *Ἔγχει* (giefse ein) *τῷ ἀπολογουμένῳ· σὺ δὲ λέγε ἤδη ἐν τῷ μέρει* (deinerseits)*· σοὶ γὰρ τὸ νῦν* (*sc. ὕδωρ*) *ῥεῖ.*

καὶ τοῖς εἰς αὐτὸ τὸ πρᾶγμα λέγουσιν· ἐπειδὰν δὲ τῇ πρώτῃ ψήφῳ μὴ λυθῇ τὸ παράνομον, ἤδη τὸ τρίτον ὕδωρ ἐγχεῖται τῇ τιμήσει καὶ τῷ μεγέθει τῆς ὀργῆς τῆς ὑμετέρας.

D. Λέων τις ἐκαλεῖτο κρηνοφύλαξ, χαλκοῦ πεποιημένος ἐπὶ κρήνης τινός, δι' οὗ τὸ ὕδωρ ἐφέρετο ἐν ταῖς πρὸς ὕδωρ δίκαις. Ἐπιμελητὴς δέ τις κληρωτὸς ἐγίνετο, ὃς καὶ ἐκαλεῖτο ἐφ' ὕδωρ, ὁ παραφυλάττων τὴν ἰσότητα τῆς κλεψύδρας.

E. Δικάζειν ὁπότε δέοι, σκεύη ἂν εἴη δικαστικὰ κλεψύδρα καὶ προχοΐδιον καὶ δίσκοι καὶ ψῆφοι καὶ ἠλίσκος ἐπικρούειν τὴν κλεψύδραν· τὸν γὰρ ἧλον καὶ ἠλίσκον ἐν Ἥρωσιν Ἀριστοφάνης κέκληκεν.

---

2. *Ψῆφος* Stimmsteinchen, Abstimmung. *Λύειν* lösen, widerlegen. — **3.** *Τίμησις* Strafabschätzung. — **5. D:** Poll. Onom. VIII 113. — **7.** *Κληροῦν* erlosen. — **8.** *Ἐφ' ὕδωρ* ist wie *a manu* (Schreiber) oder *ab epistolis* (Sekretär) Bezeichnung einer Person durch eine adverbielle Bestimmung. — **10. E:** Poll. Onom. X 61. — **10.** *Σκεῦος* Gerät. — **11.** *Προχοΐδιον* kleine Gießkanne (zum Füllen). — **12.** *Ἡλίσκος* Nägelchen, Pfropfen. *Ἐπικρούειν* draufschlagen, zustoßen. Während der Verlesung von Akten, oder des Anhörens der Zeugen verstopfte (*βύειν*) man die Klepsydra oder hielt das Wasser an (*ἐπιλαμβάνειν*). Herond. Mimiamb. II 42: *τὴν ὀπὴν βῦσον τῆς κλεψύδρας μέχρις οὗ κ. τ. λ.* Lysias or. 23, § 4, 8, 11, 14, 15 (also fünfmal): *Καὶ ἐπίλαβε μοι τὸ ὕδωρ.* Isaeus or. 3, § 12 u. 76: *Ἀναγίγνωσκε* (lies vor)· *σὺ δ' ἐπίλαβε τὸ ὕδωρ.* Ebenso Demosth. or. in Stephan. I 8. — **13.** *Ἥρωες.* Die Komödie ist verloren.

F. *Ὕπνου δ' ὁρᾷ τῆς νυκτὸς οὐδὲ πασπάλην.*
ἢν δ' οὖν καταμύσῃ κἂν ἄχνην, ὅμως ἐκεῖ
ὁ νοῦς πέτεται τὴν νύκτα περὶ τὴν κλεψύδραν. —
ΒΔΕ. Κάλλιστα τοίνυν· πάντα γὰρ πάρεστι νῷν
ὅσων δεόμεθα, πλήν γε δὴ τῆς κλεψύδρας.
ΦΙΛ. Ἡδὶ δὲ δὴ τίς ἐστιν; οὐχὶ κλεψύδρα;

G. *Ἐπίνικος ἐν Ὑποβαλλομέναις λέγει·* § 99.
Καὶ τῶν ῥυτῶν τὰ μέγιστα τῶν ὄντων τρία
πίνειν δεήσει τήμερον πρὸς κλεψύδραν
κρουνιζόμενον. Κ. τ. λ.

---

1. F: Aristoph. Vesp. 92sqq. 856sqq. — **1.** Vers 1—3 schildern den alten auf das Richterspielen versessenen Bdelykleon in den Wespen (— 422) des Aristophanes. Der Sohn Philokleon richtet ihm später ein häusliches *δικαστήριον* ein, in dem der Alte nur noch die Klepsydra vermifst. So selbstverständlich scheint dem Athener dieses Ding vor Gericht. Andere Beispiele dafür: *Μεταξὺ κληροῦντας δικαστήριον καὶ ὕδωρ διαμετροῦντας ἀπολλύναι τὸν καιρόν* Plut. Alcib. 19. *Ταῦτα πῶς εἰκότα* (Ist das wohl recht?) *γερόντ' ἀπολέσαι πολιὸν* (grau) *ἄνδρα περὶ κλεψύδραν* (vor den Schranken); Aristoph. Acharn. 693. *Ἔστι δ' ἐν Φαναῖσι* (v. *φαίνω*, in Denunziantenheim) *πρὸς τῇ Κλεψύδρᾳ* (Wasseruhrplatz) *πανοῦργον ἐγγλωττογαστόρων* (Zungenbäuchler) *γένος* Aristoph. Vögel 1694 ff. — **1.** *Πασπάλη* Stäubchen; *οὐδὲ π.* nicht die Spur. — **2.** *Καταμύειν* einnicken. *Ἄχνη* Flocke, Spreu; *καὶ ἄχνην* auch nur ein bifschen. — **7. G.** Ath. p. 497 A. — **7.** Epinikos Komödiendichter zur Zeit des Antiochos III Magnus (— 224/187). — **7.** *Ὑποβαλλόμεναι* Verleumderinnen. — **8.** *Ῥυτά* grofse Trinkhörner. Athen. p. 497 E: *κέρασιν ὅμοια, διατετρημένα δὲ, ἐξ ὧν κρουνιζόντων* (Wasser spritzen; med. sich in den Mund) *λεπτῶς* (dünn, mit dünnem Strahl) *κάτωθεν πίνουσιν.*

H. Ὃν δ' ἂν τρόπον ἴσως καὶ κοινῶς, μακροτέρων ἢ βραχυτέρων τῶν νυκτῶν γινομένων, ἅπασιν αἱ φυλακαὶ γίνοιντο, πρὸς *κλεψύδραν* χρὴ φυλάσσειν. Ταύτης δὲ συμβάλλειν διαδοχῇ μερίδος, μᾶλλον δὲ αὐτῆς κεκηρῶσθαι τὰ ἔσωθεν, καὶ μακροτέρων μὲν γινομένων τῶν νυκτῶν ἀφαιρεῖσθαι τοῦ κηροῦ, ἵνα πλέον ὕδωρ χωρῇ, βραχυτέρων δὲ προσπλάσσεσθαι, ἵνα ἔλασσον δέχηται.

I. Ἀριστοκλῆς ἐν τῷ περὶ χορῶν οὑτωσί πως λέγει· ‚Ζητεῖται δὲ πότερα τῶν ἐμπνευστῶν ἐστιν ὀργάνων ἡ ὕδραυλις ἢ τῶν ἐντατῶν. Ἀριστόξενος μὲν οὖν τοῦτο οὐκ οἶδε. Λέγεται δὲ Πλάτωνα μικράν τινα ἔννοιαν δοῦναι

---

1. H. Aen. Tact. (— 360) cp. 22, 10. Wichtige Stelle, da sie 1. den Gebrauch im Lager, 2. die Verwendung bei Nacht, 3. die Ausmessung und Festsetzung einer bestimmten Gröfse der Klepsydra beweist. Leider in den Worten *Ταύτης . . . μερίδος* (cod. Med.; blofs *ταύτης* codd. Paris.) verdorben. Das Prinzip ist klar: Je mehr Wachs (*κηρός*) eingeklebt wird, desto weniger Wasser fafst (*χωρεῖ, δέχεται*) die *κλεψύδρα*. Wohin klebt man aber das Wachs? Löcher, die man verkleben könnte (so Köchly), hat diese *κλ.* nicht; ein solches Verfahren änderte auch nicht die Masse des gefafsten, sondern des ausfliefsenden Wassers. Für *μερίδας* aber *ψηφῖδας* zu lesen (so Bilfinger), würde das ‚Wachs' unverständlich machen; die Lesart *διὰ δέχ' ἡμερῶν* (so Hercher) setzt für Aeneas Tacticus zu genaue Kenntnisse voraus. Man mufs erwarten: *Ταύτης δὲ δεῖ τὸ μέγεθος* (= *μέτρον*) *ἀλλοιοῦν* (= *ἀλλάσσειν, μεταβάλλειν*) *διὰ τοῦ μερίσι κηροῦ ἧσσον ἢ μᾶλλον αὐτῆς κεκηρῶσθαι τὰ ἔσωθεν, κ. τ. λ.* — **8. I:** Athen. p. 174 C. — **8.** Aristokles von Strabo (etwa — 55 bis + 25) unter seinen Zeitgenossen (p. 655: *ὁ καθ' ἡμᾶς*) genannt. — **9.** *Ἐμπνευστικά . . . ἐντατά* Blas- und Saiteninstrumente (*ἐντείνειν* spannen). — **10.** *Ὕδραυλις* Wasserorgel. — **10.** Aristoxenos *ὁ μουσικός*, Schüler des Aristoteles († — 322), dessen Nachfolger er zu werden hoffte. — **11.** *Ἔννοιαν* Vorstellung; *τοῦ κατασκευάσματος*

τοῦ κατασκευάσματος νυκτερινὸν ποιήσαντα ὡρολόγιον ἐοικὸς τῷ ὑδραυλικῷ οἷον κλεψύδραν μεγάλην λίαν. Καὶ τὸ ὑδραυλικὸν δὲ ὄργανον δοκεῖ κλεψύδρα εἶναι. Ἐντατὸν οὖν καὶ καθαπτὸν οὐκ ἂν νομισθείη, ἐμπνευστὸν δὲ ἂν ἴσως ῥηθείη διὰ τὸ ἐμπνεῦσθαι τὸ ὄργανον ὑπὸ τοῦ ὕδατος.'

K. *Τοῦ μήκους ὅρος τῆς τραγῳδίας πρὸς μὲν τοὺς ἀγῶνας καὶ τὴν αἴσθησιν οὐ τῆς τέχνης ἐστίν· εἰ γὰρ ἔδει ἑκατὸν τραγῳδίαις ἀγωνίζεσθαι, πρὸς κλεψύδραν ἂν ἠγωνίζοντο, ὥσπερ ποτὲ καὶ ἄλλοτέ φασιν.*

L. *Ὁ Εὔβουλος ἐν Ὀλβίᾳ ἔφη·*

Ἐν τῷ γὰρ αὐτῷ πάνθ' ὁμοῦ πωλήσεται
ἐν ταῖς Ἀθήναις· σῦκα, κλητῆρες, βότρυς,
ὑάκινθος, ἄρνες, κλεψύδραι, νόμοι, γραφαί.

34. Bei den Römern.

A. Nasica primus aqua divisit horas aeque noctium ac dierum idque horologium sub tecto dicavit a. u. DXCV. Tamdiu populo Romano indiscreta lux fuit. **§ 100.**

= *τῆς ὑδραύλεως.* — **1.** *Ὡρολόγιον* ‚Stundenrechner' pafst auf Platos Zeit nicht (§ 23. § 22 B); soll heifsen ‚Zeitmesser'. — **2.** ‚Plato mafs sich den Schlaf durch ein bestimmtes Wasserquantum zu und gab dem Gefäfs eine Weckvorrichtung.' Der älteste Wecker! — **7. K:** Aristot. Poët. 7 (Berl. Acad. II 1451). — **11. L:** Athen. p. 640 C. — **11.** Eubulos Komödiendichter, jünger als Aristophanes (nach — 400). — **12.** *Αὐτῷ sc. τόπῳ.* — **13.** *Κλητῆρες* Zeugen; *βότρυς* Trauben. — **14.** *Ἄρνες* Hammel. — **16. A:** Plin. VII 215. — **16.** Vgl. Censorinus (schrieb + 238) de die nat. 23, 7: *P. Cornelius Nasica censor ex aqua fecit horarium.* — **18.** *Ab urbe* 595 = *a. Chr.* 159.

B. *Τὰ δικαστήρια ἀκριβέστερον ἐκ τῶν τοῦ Πομπηίου νόμων συνήγετο. Πάντας τε γὰρ τοὺς ἄνδρας, ἐξ ὧν τοὺς δικάσοντας ἀποκληροῦσθαι ἔδει, αὐτὸς ἐπελέγετο, καὶ τὸν τῶν συναγορευσόντων ἑκατέρῳ τῷ μέρει ἀριθμὸν ὥρισεν, ὥστε μὴ ὑπὸ τοῦ πλήθους αὐτῶν τοὺς δικαστὰς θορυβουμένους ἐνταράττεσθαι. Χρόνον τε τῷ μὲν διώκοντι δύο ὥρας, τῷ δὲ φεύγοντι τρεῖς δίδοσθαι ἐκέλευσεν.*

C. Actionem meam, ut proelia solet, nox diremit. Egeram horis tribus et dimidia, supererat sesquihora. Nam cum e lege accusator sex horas, novem reus accepisset, ita diviserat reus tempora inter me et eum, qui dicturus post erat, ut ego quinque horis, ille reliquis uteretur.

D. Dixi horis paene quinque. Nam duodecim clepsydris, quas spatiosissimas acceperam, sunt additae quattuor.

---

1. B: Dio Kassios XL 52. Bestätigt von Cicero: 1. Brut. 324: *lege Pompeia* (— 52) *ternis horis ad dicendum datis;* 2. de fin. IV 1, 1: *cum ego te hac nova lege videam eodem die accusatori respondere et tribus horis perorare, etc.* Erklärlich durch Ascon. in Scaur. p. 20: *Defenderunt Scaurum sex patroni* (Cic. Brut. 207), *cum ad id tempus raro quisquam pluribus quam quattuor uteretur; at post bella civilia ante legem Juliam ad duodenos patronos est perventum.* — **4.** *Συναγορεύοντες patroni.* — **5.** *Ὁρίζειν* bestimmen. — **8. C**: Plinius minor (um + 100) epp. IV 9, 9. — **9.** *Sesquihora* $1^1/_2$ Stunden. — **11.** *Reus.* Plinius ist Verteidiger. — **12.** Von diesen *quinque* hatte er $3^1/_2$ Stunden geredet, blieben also $1^1/_2$ Stunden. — **14. D**: Plin. epp. II 11, 14. — **15.** *Clepsydris.* Rechnet man ‚Gleichstunden', so sind 16 cleps. = 5 St., also: 1 cleps. = 19 Min. Rechnet man Sommerstunden, so ergiebt sich für Rom: 1 cleps. = 24 Min.

E. Soleo nonnumquam in iudiciis quaerere M. Regulum, nolo enim dicere ‚desiderare'. . . . Nam postquam obiit ille, increbruit passim et invaluit consuetudo binas vel singulas clepsydras, interdum etiam dimidias et dandi et petendi. Nam et qui dicunt, egisse malunt quam agere, et qui audiunt, finire quam iudicare. Tanta neglegentia, tanta desidia, tanta denique inreverentia studiorum periculorumque est. An nos sapientiores maioribus nostris sumus? . . . . Nos apertius dicimus, celerius intellegimus, religiosius iudicamus, quia paucioribus clepsydris praecipitamus causas, quam diebus explicari solebant?

F. Ipse cum tribunus essem, abstinui causis agendis: primum, quod deforme arbitrabar, cui adsurgere, cui loco cedere omnis oporteret, hunc omnibus sedentibus stare; et qui iubere posset tacere quemcumque, huic silentium clepsydra indici.

G. Studiis dum nostrum singuli quique, prout libuerat, occupabantur, ecce ab archimagiro adventans, qui tempus instare curandi corpora moneret, quem quidem nuntium, per spatia clepsydrae horarum incrementa servantem, probabat competenter ingressum quinta digrediens.

---

1. E: Plin. epp. VI 2, 5. — **2.** Regulus ein Zeitgenosse des Plinius. — **13. F:** Plin. epp. I 23, 2. — **14.** *Cui.* Wir: vor dem. — **18. G:** Sidonius (etwa † 420/490) epp. II 9, 6. — **19.** *Ecce* sc. *adest.* *Ἀρχιμάγειρος* Oberkoch. — **22.** *Probabat*, Subjekt *quinta* (sc. *hora*) *digrediens.* Zu *quinta* vgl. Martial VIII 67. — **22.** *Competenter* rechtzeitig.

H. Huius ipsa sic spatia vitae custodiebantur, ut per horarum disposita clepsydras explicarentur.

I. In quattuor partes ad clepsydram sunt divisae vigiliae, ut non amplius quam tribus horis nocturnis necesse sit vigilare.

K. Periclem non declamator aliquis ad clepsydram latrare docuerat, sed, ut accepimus, Clazomenius ille Anaxagoras.

L. Non volubilitate nimia confundenda, quae dicimus. Cui contrarium est vitium nimiae tarditatis: nam et difficultatem inveniendi fatetur et, in quo est aliquid, temporibus praefinitis aquam perdit.

M. Sic rursum praeconis amplo boatu citatus accusator quidam senior exsurgit et ad dicendi spatium dimetiendum vasculo quodam invicem coli graciliter fistulato ac per hoc guttatim deflua infusa aqua populum adorat.

---

1. H: Sidonius epp. II 13, 4. — **1.** *Huius*, d. h. eines Hochgestellten. — **2.** *Κλεψύδρας*, griechischer Genetiv. — **3. I**: Vegetius (um + 390) de re milit. III 8. — **6. K**: Cicero de orat. III 138. Mit der Clepsydra bestimmte man also auch die Länge deklamatorischer Übungen. So tritt das Wort geradezu für ‚Redeübungen, Disputationen' ein: *cras ergo ad clepsydram* Cic. Tusc. II 67. — **7.** *Latrare* spöttisch ‚bellen, kläffen' für ‚reden'. — **9. L**: Quintilianus (um + 68) inst. orat. XI 3, 52. — **9.** *Confundenda* sc. *sunt in exercitationibus oratoriis*. — **11.** *In quo e. a.* und daran liegt etwas. — **12.** *Temporibus pr.* da (wenn) die Z. vorher bestimmt sind. — **13. M**: Apuleius (+ 150) Metam. III 3. Text Vliet. — **13.** *Boatus* das Brüllen. — **15.** *Dimetiendum* von Vliet eingeschoben. — **15.** *Invicem coli* nach Art eines Siebes. — **16.** *Deflua* (Sch für *defluo*) = *defluente*.

N. Septem clepsydras magna tibi voce petenti
Arbiter invitus, Caeciliane, dedit.
At tu multa diu ducis vitreisque tepentem
Ampullis potas semisupinus aquam.
Ut tandem saties vocemque sitimque, rogamus,
Jam de clepsydra, Caeciliane, bibas.

H. Antike Uhren.

35. Wasseruhren.

A. Ex aqua conquisitae sunt horologiorum rationes, § 101.
primumque a Ctesibio Alexandrino, qui et vim spiritus naturalis pneumaticasque res invenit et hydraulicas machinas primus instituit. In his igitur horologiorum ex aqua comparationes explicuit. Primumque constituit cavum ex auro perfectum aut ex gemma terebrata. Ea enim nec teruntur percursu aquae nec sordes recipiunt, ut obturentur. Namque aequaliter per id cavum influens aqua sublevat scaphium inversum, quod ab artificibus

---

1. N: Martialis (+ 93) VI 35, 1 u. 6. — **9.** Der erste Satz besteht aus Stücken von Vitruv IX 8, 2 u. 4. Das Folgende: IX 8, 4—7. Text Val. Rose, Leipzig 1899. — **9.** *Rationes* Methoden. — **10.** *Κτησίβιος ὁ Ἀλεξανδρεύς*: § 36. — **11.** *Vim. sp. nat.* (Wucht der natürlichen Luft) Luftdruck. — **12.** *Igitur* für *etiam* des Zusammenhangs wegen. — **13.** *Comparationes πατασκευάσματα* Apparate, Instrumente, Konstruktionen. — **14.** *Cavum αὐλός* Röhre. — **14.** *Terebratus* durchbohrt. *Ea (= talia)* sc. *cava.* — **16.** *Ut obtūrentur* so dafs sie sich (etwa) verstopften. — **16.** *Influens* sc. *in vas* oder *in vasculum.* — **17.** *Scaphium* (σκαφίον) *inversum* umgekehrtes Becken; also mit der Hohlseite auf dem Wasser ruhend, so dafs es nicht untersinken kann.

phellos sive tympanum dicitur. In quo conlocata est regula versatili tympano denticulis aequalibus perfecta. Qui denticuli alius alium inpellentes versationes modicas faciunt et motiones. Item aliae regulae aliaque tympana ad eundem modum dentata una motione coacta versando faciunt effectus varietatesque motionum, in quibus moventur sigilla, vertuntur metae, calculi aut ova proiciuntur, bucinae canunt, reliquaque parerga. In his etiam aut in columna aut parastatica horae describuntur, quas sigillum egrediens ab imo virgula significat in diem totum. Quarum brevitates aut crescentias cuneorum adiectus aut exemptus

---

1. *Φελλός* Kork, *τύμπανον* Kesselpauke. — **2.** *Regula* Lineal. *Versatilis* drehbar, *versatio* Drehung. — **2.** *Versatili tympano aequalibus.* Verkürzt für ‚denen eines *v. t.* gleich'. *Denticuli* Zähnchen. *Tympanum* Tellerrad (voll) ohne Speichen. — **4.** *Faciunt* = *efficiunt.* — **4.** *Item.* Dieser Satz bezieht sich nicht auf die Uhr, deren Beschreibung erst bei *In his* wieder einsetzt. — **5.** *Modus* Mafsstab. — **5.** *Una motione coacta* (nämlich *regulae et tympana*) durch eine einzige Bewegung getrieben. — **7.** *Sigilla* kleine Figuren. — **7.** *Metae* Spitzsäulen, Kegel. — **7.** *Calculi* Steinchen. — **8.** *Bucinae* Hörner. Geben z. B. nachts das Zeichen zum Ablösen der *vigiliae.* Liv. VII 35, 1: *ubi secundae vigiliae bucina datum signum esset.* XXVI 15, 16: *ad tertiam bucinam.* Prop. V. 4, 61: *Sed iam quarta canit venturam bucina lucem.* Sil. It. VII 154: *medio somni cum bucina noctem divideret.* — **8.** *Πάρεργα* Nebensachen, Spielereien. Darauf bezieht sich das folgende *In his* = Unter diesen Spielsachen (sind auch ernstere Dinge, nämlich . . .). — **9.** *Παραστατική* (Wandpfeiler, Pilaster) platter Träger einer (senkrechten) Skala. Ggstz.: *columella* (Säulchen) runder Träger der Skala. — **10.** *Egrediens ab imo* von unten aufsteigend. Weil von dem einfliefsenden Wasser gehoben. — **10.** *Virgula* Zeiger. — **11.** *Cuneus* Keil, Pflock, Zapfen, der mehr oder

in singulis diebus et mensibus perficere cogit. Praeclusiones aquarum ad temperandum ita sunt constitutae. Metae fiunt duae, una solida, una cava, ex torno ita perfectae, ut alia in aliam inire convenireque possit, et eadem regula laxatio earum aut coartatio efficiat aut vehementem aut lenem in ea vasa aquae influentem cursum. Ita his rationibus et machinatione ex aqua componuntur horologiorum ad hibernum usum conlocationes. Sin autem adiectionibus et detractionibus correptiones dierum aut crescentiae ex cuneis non probabuntur fieri, quod cunei saepissime vitia faciunt, sic erit explicandum. In columella horae ex analemmatos transverse describantur, menstruaeque lineae in columella signentur. Eaque columna

---

minder in das Ausflufsloch gesteckt das Wasser langsamer oder schneller ausfliefsen läfst. Dies ist die eine Methode, um der Verlängerung oder Verkürzung der Stunden Rechnung zu tragen. Die andere erfolgt durch Drehung der Säule (S. 184, 1 ff.). — **1.** *Praeclusiones* Verschlüsse. *Temperare* regulieren. — **3.** *Ex torno* mit Hilfe des Dreheisens. — **4.** *Eädem regula* nach gleichem Mafsstabe, in entsprechender Weise. — **5.** *Coartatio* Zusammendrängen. — **8.** *Ad hibernum usum* für den Gebrauch im Winter. Da sind die Stunden kürzer, der Zeiger mufs schneller steigen, das Wasser fliefst also reichlicher. Auf den kürzesten Tag mufs also die Wassermenge, also auch die Gröfse des Gefäfses bemessen sein. Für andere Tage reicht dann der Apparat von selber aus. — **12.** *Ex analemmatos* (*ἀνάλημμα* Aufrifs) sc. *descriptione;* oder ἐξ *ἀναλήμματος*. *Transverse* schief, schräg; die Kreise der um die Säule laufenden Skala sind nicht parallel, sondern steigen nach einer Seite hin an, um der verschiedenen Länge der Stunden Rechnung zu tragen. Wie in Fig. 14. — **13.** *Menstruae lineae* Monatslinien. Laufen an der Säule [*in* (Sch) *columna*], von oben nach unten.

versatilis perficiatur, uti ad sigillum virgulamque, qua virgula egrediens sigillum ostendit horas, columna versando continenter sui cuiusque mensis brevitates et crescentias faciat horarum.

§ 102. B. Ὅπως συμβαίνει καθ' ὁμαλὴν ῥύσιν ὕδατος ἐκλαβεῖν χρόνον, λέγομεν ὅσα καὶ Ἥρων ὁ μηχανικὸς ἐν τοῖς Περὶ ὑδρίων ὡροσκοπείων ἐδίδαξε. ‚Κατασκευάζεται γὰρ ἀγγεῖόν τι ἔχον ὀπὴν ὡς ἂν κλεψύδρα, δι' ἧς ὁμαλῶς, ὡς ἔθος, δύναται τὸ ὕδωρ ἐκρεῖν. Ὅπερ προκατασκευάζεται τὴν ἀρχὴν τῆς ἐκρύσεως ἔχον, ὅτε πρῶτον ἐκ τοῦ ὁρίζοντος ὁ ἥλιος τὴν πρώτην ἀκτῖνα προσβάλλει· καὶ τὸ ῥεῦσαν ὕδωρ, ἐν ᾧ χρόνῳ ὁ δίσκος ὑπὲρ τὸν ὁρίζοντα γίνεται, φυλάττεται χωρίς· εἶτα τὸ ἐφεξῆς ἐν ὅλῳ τῷ νυχθημέρῳ μέχρι τῆς ἑτέρας ἀνατολῆς ὁμαλῶς καὶ ἀνεκλείπτως καὶ ἀπαύστως ῥυὲν ἐν ἑτέρῳ ἀγγείῳ. Καὶ τὸ ῥεῦσαν καταμετρεῖται, ποσαπλάσιόν ἐστι τοῦ κατὰ τὴν ἀνατολὴν ληφθέντος ὕδατος. Καὶ τοῦτο,' φησίν, ‚ἔσται

---

3. *Versando.* Die Säule dreht sich in einem Jahr einmal um ihre Achse. — **5. B.** Procl. hypotyp. astr. ed. Bas. 1540 p. 42; ed. Halma p. 107. Heron. pneumat. ed. W. Schmidt p. 456. — **5.** *Ὁμαλὸς* gleichmäfsig. — **7.** *Ὑδρίον* Wassergefäfs, Wasseruhr. Vgl. Pappos p. 1024 sq. *Ἄλλοι φιλοτεχνοῦσι* (konstruieren Mechanismen) *διὰ τῶν δι' ὕδατος ὡρολογίων, ὡς Ἥρων ὑδρείοις, ἃ δὴ καὶ τῇ γνωμονικῇ θεωρίᾳ* (Uhrmacherkunst) *κοινωνοῦντα φαίνεται.* Galen. de vit. anim. § 80: *ἐν τῇ γνωμονικῇ πραγματείᾳ.* § 68: *καταγραφαὶ ὡρολογίων καὶ κλεψυδρῶν ὑδροσκοπίων τε καὶ μηχανημάτων ἁπάντων.* § 87: *ἐπί τε ἡλιακῶν ὡρολογίων καὶ τῶν κλεψυδρῶν.* — **9.** *Ὡς ἔθος* wie gewöhnlich. — **11.** *Ἀκτίς* Strahl. — **14.** *Νυχθήμερον* = 24 Stunden: § 22 A. — **16.** *Κατὰ* während.

ἀνάλογον τῷ χρόνῳ· καὶ ὡς τὸ ὕδωρ πρὸς τὸ ὕδωρ, οὕτως ὁ χρόνος πρὸς τὸν χρόνον.'

C. Οὕτω δὲ καὶ κλεψύδρας καταγραφὴν ὁ λόγος § 103.
εὗρεν ἀναλυτικῇ μεθόδῳ ζητήσας, ἧς πάλιν ἡ βάσανος ἐναργής ἐστι καὶ τοῖς ἰδιώταις. Ἡ γὰρ ἀνωτάτω γραμμή, ἡ τὴν δωδεκάτην ὥραν σημαίνουσα, μέγιστον μὲν ὕψος ἔχει, καθ' ὃ μέρος (A) ἡ κλεψύδρα τὴν μεγίστην ἡμέραν ἐκμετρεῖ, βραχύτατον δέ, καθ' ὃ (B) τὴν ἐλαχίστην, ἐν τῷ μέσῳ δ' ἀμφοῖν (C) ἐστι τὰ τὰς ἰσημερινὰς ἡμέρας μετροῦντα μέρη. Τὸ δὲ μεταξὺ τούτων τῶν τμημάτων ἐπὶ τοῦ χείλους τοῦ τῆς κλεψύδρας δηλοῖ σοι τὰς μετὰ τὰς εἰρημένας τέτταρας ἡμέρας. Ἀφ' ὧν τμημάτων ὁρμηθεὶς ἐφεξῆς τῷ σημαίνοντι τὴν μεγίστην εὑρήσεις ἕτερον δηλοῦν, ἄχρι τίνος μέρους τῆς ὑψηλῆς γραμμῆς ἐπὶ τῇ κλεψύδρᾳ τὸ ὕδωρ ἀναβήσεται τῆς δωδεκάτης ὥρας συμπληρουμένης τῇ ἐφεξῆς ἡμέρᾳ. Τὸ δὲ μετ' ἐκεῖνα τρίτην

---

1. *Πρὸς* sich verhält zu. — **3. C.** Galen. de vitiis animae 84 fin. bis 86. Vgl. Fig. 14. Texte: M (Marquardt 1884), B (Bilfinger 1886), Sch (unsere Konjekturen). Den besten Text giebt B. — **3.** *Λόγος* Theorie. Ggstz. *ἰδιῶται* Laien. — **10.** *Ἡμέρας μετροῦντα μέρη* (= *τμήματα* [Z. 7] Teilstriche) Sch, *μετροῦνθ' ἡμέρας* B. — **10.** *Τὸ* M. *τὰ* B (und *τμήματα* für *τῶν τμημάτων*). Es heifst *τὸ μεταξὺ* ‚der Zwischenraum'. *Τμήματα ἐπὶ* (B) ergäbe einen Hiatus, den Galenos meidet! — **11.** *Ἐπὶ τοῦ χείλους.* Ist betont. Ergänze: *ἀλλ' οὐ δι' ὅλου τοῦ τῆς κλεψύδρας ὕψους* oder *ἀλλ' οὐκ ἐπ' αὐταῖς ταῖς γραμμαῖς.* Also bezeichneten senkrechte Linien, z. B. CD, nur jene vier Punkte des Jahres. — **11.** *Μετὰ τάς.* Eingeschoben (Sch). — **13.** *Ἕτερον* (*sc. τμῆμα*). Eingeschoben (Sch). — **16.** *Τῇ ἐφεξῆς ἡμέρᾳ* (Sch). *Τῇ ἐπιούσῃ ἡμέρᾳ* (B). — **16.** *Τὸ* (B), *τὰ* (M). Hdschr. *Τά.* — **16.** *Τρίτην* (B) für *τρίτα.*

ἀπὸ τῆς θερινῆς τροπῆς ἡμέραν σοι δηλώσει, τὸ δ' ἐφεξῆς τὴν τετάρτην. Ἐπεξιὼν τε κατὰ τὸν αὐτὸν τρόπον πάσας τοῦ ἐνιαυτοῦ τὰς ἡμέρας εὑρήσεις μετροῦσαν τὴν μίαν ἐκείνην ἐν τῇ κλεψύδρᾳ γραμμήν, ἣν ὑψηλοτάτην ἔφην εἶναι. Καὶ μέντοι καὶ τὰς ἄλλας γραμμάς, ὅσαι τῆς ὑψηλοτάτης εἰσὶν εὐτελέστεραι, τὰς ἄλλας ὥρας ἐκμετρούσας εὑρήσεις, τὴν μὲν ὑπὸ τῆς δωδεκάτης ἐν ἁπάσαις τοῦ ἐνιαυτοῦ ταῖς ἡμέραις τὴν ἑνδεκάτην ὥραν σημαίνουσαν ἐν διαφέρουσιν αὐτῆς μέρεσιν, ὡς ἐπὶ τῆς ὑψηλοτάτης προείρηται, τὴν δ' ἐφεξῆς ἐκείνης τὴν δεκάτην ὥραν δηλοῦσαν ὡσαύτως κατὰ διαφέροντα μέρη, καὶ τὴν ἐφεξῆς γε πάλιν τὴν ἐνάτην, καὶ τὰς λοιπὰς τὴν ὀγδόην τε καὶ τὰς ἄλλας, ἄχρις ἂν διὰ τῆς κατωτάτης γραμμῆς τὴν πρώτην ὥραν εὑρίσκῃς, ἧπερ ἔστιν ἐκ τῶν ὡρολογίων εὑρίσκειν τῶν ἡλιακῶν. Συμπεπληρωμένου δὲ τοῦ κατὰ τὴν κλεψύδραν ὕδατος, ὥσπερ γ' ἡ πρώτη καὶ αἱ λοιπαὶ μέχρι τῆς δωδεκάτης ἀλλήλαις μὲν ἴσαι καθ' ἑκάστην ἡμέραν ἡντινοῦν φαίνονται, ταῖς δ' ἄλλαις ἄνισοι ταῖς προγεγενημέναις τε καὶ μελλούσαις.

36. Entwurf einer Sonnenuhr.

§ 104. Sol aequinoctiali tempore ariete libraque versando, quas e gnomone partes habet novem, eas umbrae facit

1. *Θερινῆς* (B) für *δωδεκάτης*. — **6.** *Εὐτελής* gering, niedrig. — **7.** *Ὑπό* (B) für *ἀπό*. — **12.** *Τὰς λοιπὰς* (sc. *γραμμὰς*) *τὴν*. Eingeschoben (Sch). — **13.** *Ἄχρις ἂν διὰ* bis *ἡλιακῶν* Sch. Dafür *Ἄχρι τῆς κ. γρ. τὴν ὥραν πρώτην εὑρίσκειν ἡλιακῶν* Handschriften. *Ἄχρι τῆς κ. γρ., ἣ τὴν πρώτην εὑρίσκει, ᾗ ἐπὶ* [Hiatus!] *τῶν ἡλιακῶν ὡρολογίων φαίνεται* B. — **17.** *Ἡντινοῦν* (v. *ὅστις* u. *οὖν*)beliebig. — **21.** Vitr. IX 7. Text nach

octo in declinatione caeli, quae est Romae. Itemque Athenis quam magnae sunt gnomonis partes quattuor, umbrae sunt tres, ad septem Rhodo quinque, ad undecim Tarenti novem, ad quinque Alexandriae tres, ceterisque omnibus locis aliae alio modo umbrae gnomonum aequinoctiales a natura rerum inveniuntur disparatae. Itaque in quibuscumque locis horologia erunt describenda, eo loci sumenda est aequinoctialis umbra, et si erunt quemadmodum Romae gnomonis partes novem, umbrae octonae, describatur linea in planitia et e media *πρὸς ὀρθὰς* erigatur, ut sit ‚ad normam' quae dicitur, g n o m o n; et a linea, quae erit planities, in linea gnomonis circino novem spatia dimetiantur; et, quo loco nonae partis signum fuerit, centrum constituatur, ubi erit littera A;

Rose, Leipzig 1899. Vgl. Fig. 15, wo AB den in 9 Teile geteilten *γνώμων*, BC den 8 Neuntel des Gnomon messenden Schatten am Mittage der Gleichen, BR den der Sommerwende, BT den der Winterwende, NQFP den Meridian, T'T oder EI den Horizont, der kleine Kreis um HDG den *μηναῖος*, KQ'R den Winterhalbkreis, LP'G den Sommerhalbkreis bezeichnet. Man denke sich die ganze Figur senkrecht so auf den Tisch gestellt, dafs BT die Nord-Südlinie ist. — **21.** (S. 186) Merke die Verse: *Sunt aries, taurus, gemini, cancer, leo, virgo, Libraque, scorpius, arcitenens, caper, amphora, pisces.* — **1.** *Quas . . . octo.* Umschreibung für: Der Schatten des Stifts beträgt 8 Neuntel der Länge des Stifts. — **1.** *Declinatio κλίμα* Breite. — **7.** *Horologia* = *ὡροσκοπεῖα* Zifferblätter, Stundenbilder (der Sonnenuhren). — **8.** *Umbra.* Natürlich mittags. — **10.** *Linea* sc. *meridiana* = T'T. — **10.** *Πρὸς ὀρθὰς* im rechten Winkel. — **11.** *Ut sit ‚ad normam' quae dicitur* so dafs sie eine sogenannte ‚Normale' (d. h. Lot) sei. — **11.** *Γνώμων*: AB. — **12.** *Circinus* Zirkel, *diducere c.* den C. öffnen; *circinatio circuli* Kreislinie.

et diducto circino ab eo centro ad lineam planitiae, ubi erit littera B, circinatio circuli describatur, quae dicitur meridiana. Deinde ex novem partibus, quae sunt a planitia ad gnomonis centrum, VIII sumantur et signentur in linea, quae est in planitia, ubi erit littera C. Haec autem erit gnomonis aequinoctialis umbra. Et ab eo signo et littera C per centrum, ubi est littera A, linea per-
§ 105. ducatur, ubi erit solis aequinoctialis radius. Tunc a centro diducto circino ad lineam planitiae aequilatatio signetur, ubi erit littera E sinisteriore parte et I dexteriore in extremis lineae circinationis, et per centrum perducenda linea, ut aequa duo hemicyclia sint divisa. Haec autem linea a mathematicis dicitur horizon. Deinde circinationis totius sumenda pars est XV, et circini centrum conlocandum in linea circinationis, quo loci secat eam lineam aequinoctialis radius, ubi erit littera F, et signandum dextra ac sinistra, ubi sunt litterae GH. Deinde ab his signis

---

3. *Meridiana:* NQFP. — 6. *Aequinoctialis umbra:* BC $= \frac{8}{9}$ BA. — 8. *Aequinoctialis radius:* CAN. = 9. *Aequilatatio* gleiche Entfernung. Gemeint ist: die Zirkelöffnung AB sei gleich Ee und Ii, sowie gleich Be und Bi. — 12. *Linea perducenda est* man ziehe die Linie (EI = ὁρίζων) aus. — 12. *Hemicyclia*, ein oberes EbI, ein unteres EBI. — 13. *Mathematici* = *astronomi* oder *astrologi*. Verbreiteter Sprachgebrauch seit der Kaiserzeit. Pappos nennt den Almagest τὰ μαθηματικά: § 111. Vgl. Tac. Histt. I 22. Vgl. S. 121, 11. — 14. *Pars decima quinta* $= \frac{360}{15} = 24$ Grad, ungefähr die Schiefe der Ekliptik. — 14. *Centrum circini* (v. κεντεῖν stechen) Zirkelstich, d. h. der feste (eingestochene) Fuſs des Zirkels. — 18. *Signis* (Sch) für *lineis* (Handschr.). *Et a centro A lineae* nach Rose eingeschoben. Vgl. S. 189, Z. 10 f.

et a centro A lineae usque ad lineam planitiae perducendae sunt, ubi erunt litterae TR. Ita erit solis radius unus hibernus, alter aestivus. Contra autem E littera I erit, quo secat circinationem linea, quae est traiecta per centrum, ubi est littera A, et contra G et H litterae erunt L et K, et contra C et F et A erit littera N. Tunc perducendae sunt diametroe ab G ad L et ab H ad K. § 106.
Quae erit superior, partis erit aestivae, inferior hibernae. Eaeque diametroe sunt aeque mediae dividendae, ubi erunt litterae M et O, ibique centra signanda, et per ea signa et centrum A linea ad extrema lineae circinationis est perducenda, ubi erunt litterae PQ. Haec erit linea *πρὸς ὀρθὰς* radio aequinoctiali, vocabitur autem haec linea mathematicis rationibus axon. Et ab eisdem centris diducto circino ad extremas diametros describantur hemicyclia, quorum unum erit aestivum, alterum hibernum. Deinde in quibus locis secant lineae paralleloe lineam eam, quae dicitur horizon, in dexteriore parte erit littera S, in sinisteriore V, et ab extremo hemicyclio, ubi est littera G, ducatur linea parallelos axoni ad sinistrum hemicyclium, ubi est littera H. Haec autem parallelos linea

---

3. *Hibernus radius* Winterstrahl: AT; *aestivus radius:* AR. — **7.** *Διάμετροι* (*αἱ sc. γραμμαί*) Durchmesser: GL und HK. Sie sind noch nicht Durchmesser (sondern Sehnen des Meridiankreises), aber sie werden es (Z. 15). — **13.** *Radius aequinoctialis:* NADFC. — **16.** *Ἄξων*: PMAOQ. — **16.** *Centris:* M und O. — **18.** *Hemicyclium aestivum:* LP'G, *hibernum:* KQ'H. — **19.** *Παράλληλοι*: GL und HK; *ὁρίζων*: EI.

vocitatur logotomus. Et tum circini centrum conlocandum est eo loci, quo secat eam lineam aequinoctialis radius, ubi erit littera D, et diducendum ad eum locum, quo secat circinationem aestivus radius, ubi est littera H.

§ 107. E centro aequinoctiali intervallo aestivo circinatio circuli menstrui agatur, qui menaeus dicitur. Ita habebitur analemmatos deformatio. Cum hoc ita sit descriptum et explicatum, sive per hibernas lineas sive per aestivas sive per aequinoctiales aut etiam per menstruas in subiectionibus rationes horarum erunt ex analemmatos describendae, subiciunturque in eo multae varietates et genera horologiorum et describuntur rationibus his artificiosis. Omnium autem figurarum descriptionumque earum effectus unus, uti dies aequinoctialis brumalisque itemque solstitialis in duodecim partes aequaliter sit divisus. Quas ob res non pigritia deterritus praetermisi, sed ne multa scribendo offendam, a quibusque inventa sunt genera descriptionesque horologiorum exponam.

---

1. *Λογότομος* Verhältnisschnitt. — **5.** *Centro aequinoctiali:* D. — **5.** *Intervallo aestivo* Abstand vom Sommerstrahl = DH. — **6.** *Μηναῖος* Monatskreis. — **7.** *Ἀνάλημμα* Aufnahme, Entwurf, Aufriſs; *deformatio* Bild, Zeichnung, Konstruktion. Eine Sonnenuhr ist damit noch nicht gezeichnet. Es gilt nun mit Hilfe (= *per*) dieser Linien auf der Unterlage *(in subiectionibus)*, d. h. auf der horizontalen, sphärischen, konischen oder andersgestalteten Fläche *(multae varietates)*, die als Zifferblatt oder Stundenbild (*ὡροσκοπεῖον horologium*) dienen soll, die Schattenkurven zu zeichnen, eine Arbeit, die Bilfinger (1886) trefflich erledigt hat. — **10.** *Ex analemmatos* sc. *descriptione* oder *ἐξ ἀναλήμματος* S. 183, 12.

Neque enim nunc nova genera invenire possum nec aliena pro meis praedicanda videntur. Itaque quae nobis tradita sunt et a quibus sint inventa, dicam.

I. Astronomische Instrumente des Ptolemaeos.

37. Das Passage-Instrument.

Πρῶτον ἂν εἴη δεῖξαι, πόσον ὁ λοξὸς καὶ διὰ μέσων **§ 108.** *τῶν ζῳδίων κύκλος* (Fig. 16) *ἐγκέκλιται πρὸς τὸν ἰσημερινόν, τουτέστιν τίνα λόγον ἔχει ὁ δι' ἀμφοτέρων τῶν ἐκκειμένων πόλων μέγιστος κύκλος πρὸς τὴν ἀπολαμβανομένην*

---

3. Hier folgen im Texte die Namen des Berosos, Eudoxos, Apollonios (§ 24) und anderer. — **5.** Über das Passage-Instrument vgl. § 29. — **6.** Das 12. Kap. des Alm. I trägt die Überschrift *Περὶ τῆς μεταξὺ τῶν τροπικῶν (sc. σημείων* Wendepunkte) *περιφερείας* und beginnt mit den Worten: *Ἐκτεθειμένης δὴ τῆς πηλικότητος τῶν ἐν τῷ κύκλῳ εὐθειῶν* (der Sehnen) *πρῶτον ἂν εἴη, καθάπερ εἴπομεν* (cap. 9), *δεῖξαι κ. τ. λ.* Heibergs Text (1898) stimmt hier im wesentlichen mit der Baseler Ausgabe (1538) überein. — **6.** *Λοξός* schief (B. 2, S. 74, 17). — **7.** *Ζῴδιον* Tierbild, Tierzeichen. *Διὰ μέσων τῶν ζῳδίων* = *ζῳδιακός*: BOC'W (Fig. 16). — **8.** *Ἰσημερινός* Gleicher: AA'. — **8.** *Τουτέστιν* = *τοῦτό ἐστιν* ‚das heifst'. Eine der vielen adverbiellen Zusammenziehungen der *Κοινή*, d. h. des Litteraturdialekts der hellenistischen Zeit (vgl. B. 2, S. 35, 9). So: *ἐπίπαν* ‚im ganzen', *δηλονότι* ‚offenbar', *καθόλου* ‚im allgemeinen'. Die enge Verbindung der Bestandteile wird nicht blofs durch die Schreibweise der Handschriften (*ἐπίπαν*) oder durch die Beziehungslosigkeit des zweiten Bestandteiles (*δηλονότι*), sondern auch durch Ableitungen (*καθολικός*) erwiesen. — **8.** *Λόγον* Verhältnis. *Τίνα λόγον*, wir: Schiefe der Ekliptik (Bogen AB = AC = A'B' = A'C'). — **9.** *Ἀπολαμβανομένην* abgeschnitten, nämlich durch jeden der beiden Wendepunkte B und C, oder B' und C'.

αὐτοῦ μεταξὺ τῶν πόλων περιφέρειαν, ᾗ ἴσην ἀπέχει δηλονότι καὶ τῶν τροπικῶν ἑκατέρου σημείων τὸ κατὰ τὸν ἰσημερινόν. αὐτόθεν δ' ἡμῖν τὸ τοιοῦτον ὀργανικῶς καταλαμβάνεται διὰ τοιαύτης τινὸς ἁπλῆς κατασκευῆς.

a) Ringförmig (Fig. 17).

Ποιήσομεν γὰρ κύκλον χάλκεον, σύμμετρον τῷ μεγέθει, τετορνευμένον ἀκριβῶς, τετράγωνον τὴν ἐπιφάνειαν, ᾧ χρησόμεθα μεσημβρινῷ, διελόντες αὐτὸν εἰς τὰ ὑποκείμενα τοῦ μεγίστου κύκλου τμήματα τξ' καὶ τούτων ἕκαστον, εἰς ὅσα ἐγχωρεῖ μέρη. ἔπειτα ἕτερον κυκλίσκον λεπτότερον ὑπὸ τὸν εἰρημένον ἐναρμόσαντες οὕτως, ὥςτε τὰς μὲν πλευρὰς αὐτῶν ἐπὶ μιᾶς μένειν ἐπιφανείας, περιάγεσθαι

---

1. *Περιφέρεια* Bogen. — **3.** *Τὸ κατὰ τὸν ἰσημερινὸν* sc. *σημεῖον*: A oder A'. — **3.** *Αὐτόθεν* von selber, ohne weiteres, auf der Stelle, sogleich. — **3.** *Ὀργανικῶς* mit Hilfe eines Instruments (*ὄργανον*). — **4.** *Κατασκευή* Vorkehrung. — **6.** *Σύμμετρος* angemessen, zweckentsprechend; mäfsig grofs. *Κύκλος*, wir: Ring (*κρίκος*). — **7.** *Τορνεύειν* drehen, drechseln, genau abrunden. — **7.** *Τετράγωνος* viereckig (vierkantig), quadratisch; *ἐπιφάνεια* Oberfläche. Wir: mit quadratischem Durchschnitt. Theo (über ihn § 39) erklärt *τετράγωνον* durch *τουτέστι τετράπλευρον*. — **8.** *Μεσημβρινός* Meridian. — **9.** *Ὑποκείμενος* vorausgesetzt, allgemein angenommen, üblich. Fehlt bei Theo. — **9.** *Τμήματα* Schnitte = *μοῖραι* Grade. — **10.** *Ἐγχωρεῖ* (Theo *ἐνδέχεται*) angeht, möglich ist. — **10.** *Λεπτότερος* (Theo setzt hinzu *κατὰ τὸ ὕψος*) schmaler, kleiner, weniger umfangreich (*ἐλάσσονα* S. 193, 1). Geht nicht auf die Dicke (Z. 12), sondern auf den Durchmesser. Wir würden jenen *κύκλος* ‚Aufsenring', diesen *κυκλίσκος* aber ‚Innenring' (*τὸν ἐντὸς κυκλίσκον* S. 194, 11) nennen. — **12.** *Πλευράς* die flachen Seiten. Gegensatz: die konvexen und konkaven Seiten. Also ist die Dicke beider Ringe gleich stark.

δὲ ἀκωλύτως ὑπὸ τὸν μείζονα δύνασθαι τὸν ἐλάσσονα κύκλον ἐν τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ἄρκτους τε καὶ μεσημβρίαν, προσθήσομεν ἐπὶ δύο τινῶν κατὰ διάμετρον τμημάτων κατὰ τῆς ἑτέρας τῶν πλευρῶν τοῦ ἐλάσσονος κύκλου πρισμάτια μικρὰ ἴσα, νεύοντα πρὸς ἄλληλά τε καὶ τὸ κέντρον τῶν κύκλων ἀκριβῶς, παραθέντες κατὰ μέσου τοῦ πλάτους αὐτῶν γνωμόνια λεπτά, συνάπτοντα τῇ τοῦ μείζονος καὶ διῃρημένου κύκλου πλευρᾷ. ὃν δὴ καὶ ἐναρμόσαντες ἀσφαλῶς ἐπὶ τῶν παρ' ἕκαστα χρειῶν ἐπὶ στυλίσκου συμμέτρου καὶ καταστήσαντες ἐν ὑπαίθρῳ τὴν τοῦ στυλίσκου βάσιν ἐν ἀκλινεῖ πρὸς τὸ τοῦ ὁρίζοντος ἐπίπεδον ἐδάφει παραφυλάξομεν, ὅπως τὸ ἐπίπεδον τῶν κύκλων πρὸς μὲν τὸ τοῦ ὁρίζοντος ὀρθὸν ᾖ, τῷ δὲ τοῦ

1. Schieber in *Π*-Form, die vom kleineren Kreise über den gröſseren übergreifen, hindern sein Herausfallen: § 45 C. — **3.** *Κατὰ διάμετρον* diametral entgegengesetzt. — **4.** *Τοῦ ἐλάσσονος κύκλου* ist (Sch) hinter *ἑτέρας τῶν πλευρῶν*, nicht hinter *τμημάτων* gestellt. Denn nur der Auſsenring ist eingeteilt: *μείζονος καὶ διῃρημένου* Z. 8. — **5.** *Πρισμάτιον* dreikantiger Stift (Theo: *πηγμάτιον* Gestell, Gehäuse). — **5.** *Νεύοντα (vergentia) πρὸς ἄλληλα* einander zugewandt, die eine der 3 Kanten zukehrend. Die abgewandte Fläche (*πλάτος* Z. 7) ist gleichsam der Rücken, den sie nach auſsen kehren. Vgl. Vorwort 6. — **6.** *Παραθέντες* seitwärts (an der Seite) ansetzend (anbringend). — **6.** *Κατὰ μέσου τοῦ πλ.* von der Mitte ihrer Breitseite aus. — **7.** *Γνωμόνιον* kleiner Zeiger. — **7.** *Συνάπτοντα* sich berührend, aufliegend. — **9.** *Παρ' ἕκαστα* für alle einzelnen Fälle; vgl. *παρ' ἑκάστην ἡμέραν* Xen. Hell. I 1, 4, 15. Plat. Legg. 705a. *Ἐπὶ τῶν παρ' ἕκαστα χρειῶν* bei den jedesmaligen Anwendungen. — **10.** *Στυλίσκος* (Deminutiv von *ὁ στῦλος*) kleine Säule, Stativ. — **10.** *Ἐν ὑπαίθρῳ* unter freiem Himmel; *τὸ ὕπαιθρον* von *ἡ αἴθρη*. — **11.** *Βάσις* Fuſsgestell. — **12.** *Ἔδαφος* Fuſsboden, Grundlage. — **13.** *Ὀρθός* senkrecht.

μεσημβρινοῦ παράλληλον. Τούτων δὲ τὸ μὲν πρότερον διὰ καθετίου μεθοδεύεται, κρημναμένου μὲν ἀπὸ τοῦ κατὰ κορυφὴν ἐσομένου σημείου, τηρουμένου δέ, ἕως ἂν ἐκ τῆς τῶν ὑποθεμάτων διορθώσεως ἐπὶ τὸ κατὰ διάμετρον ποιήσηται τὴν πρόσνευσιν· τὸ δὲ δεύτερον μεσημβρινῆς γραμμῆς εὐσήμως εἰλημμένης ἐν τῷ ὑπὸ τὸν στυλίσκον ἐπιπέδῳ καὶ παραφερομένων εἰς τὰ πλάγια τῶν κύκλων, ἕως ἂν παράλληλον τῇ γραμμῇ τὸ ἐπίπεδον αὐτῶν διοπτεύηται. Τοιαύτης δὴ τῆς θέσεως γινομένης ἐτηροῦμεν τὴν πρὸς ἄρκτους καὶ μεσημβρίαν τοῦ ἡλίου παραχώρησιν παραφέροντες ἐν ταῖς μεσημβρίαις τὸν ἐντὸς κυκλίσκον, ἕως ἂν τὸ ὑποκάτω πρισμάτιον ὅλον ὑφ' ὅλου τοῦ ὑπεράνω

---

2. *Καθέτιον* kleines Lot. Deminutiv von *ἡ κάθετος*. Straff gespannt wurde die Lotschnur (*ἡ σπάρτος*) durch ein Gewichtchen (*βαρύλλιον*) aus Blei (*μολύβδινον*) in Kegelform (*κωνάριον*): Theo. — **2.** *Μεθοδεύειν* kunstgerecht verfolgen, regelrecht ausführen. — **2.** *Κρημναμένου* (Bas. und einige Handschriften: *κριμναμένου*) v. *κρήμνασθαι* herabhängen. — **3.** *Κατὰ κορυφὴν* an der Spitze, im Zenith. — **4.** *Τῶν ὑποθεμάτων διόρθωσις* richtige (horizontale) Einstellung des Untergestells. — **4.** *Ἐπὶ τὸ κατὰ διάμετρον* (sc. *σημεῖον*) *ποιήσηται τὴν πρόσνευσιν* auf den diametral entgegengesetzten Punkt sich einstellt. — **6.** *Εὐσήμως* gut gezeichnet, deutlich. — **7.** *Παραφερομένων* (Bas. und einige Handschriften, aber korrigiert, *περιφερομένων*) seitwärts bewegt werden. Denn der Beobachter visiert (*διοπτεύειν*) dabei in der Ebene des Meridians und schiebt nach rechts und links hin und her. — **10.** *Παραχώρησις* wie *πάροδος* (B. 2, S. 78, 12), da beim Normalstandpunkt der Alten (mit dem Gesicht nach Westen) die auf- und untergehende Sonne vom Ost- und Westpunkte aus (nach den Wenden zu) ‚zur Seite', d. h. *πρὸς ἄρκτους* ‚nach Norden' (im Sommer) oder *πρὸς μεσημβρίαν* ‚nach Süden' (im Winter) weicht. — **11.** *Μεσημβρίαις* hier: Mittag (v. *μέσος* und *ἡμέρα*).

σκιασθῇ. Καὶ τούτου γινομένου διεσήμαινεν ἡμῖν τὰ τῶν γνωμονίων ἄκρα, πόσα τμήματα τοῦ κατὰ κορυφὴν ἑκάστοτε τὸ τοῦ ἡλίου κέντρον ἀφέστηκεν ἐπὶ τοῦ μεσημβρινοῦ.

b) Plattenförmig (Fig. 18).

Ἔτι δὲ εὐχρηστότερον ἐποιούμεθα τὴν τοιαύτην παρα- § 109.
τήρησιν κατασκευάσαντες ἀντὶ τῶν κύκλων λιθίνην ἢ ξυλίνην πλινθίδα τετράγωνον καὶ ἀδιάστροφον, ὁμαλὴν μέντοι καὶ ἀποτεταμένην ἔχουσαν ἀκριβῶς τὴν ἑτέραν τῶν πλευρῶν, ἐφ' ἧς κέντρῳ χρησάμενοι σημείῳ τινὶ πρὸς τῇ μιᾷ τῶν γωνιῶν ἐγράψαμεν κύκλου τεταρτημόριον, ἐπιζεύξαντες ἀπὸ τοῦ κατὰ τὸ κέντρον σημείου μέχρι τῆς γεγραμμένης περιφερείας τὰς τὴν ὑπὸ τὸ τεταρτημόριον ὀρθὴν γωνίαν περιεχούσας εὐθείας καὶ διελόντες ὁμοίως τὴν περιφέρειαν

---

1. *Σκιασθῇ* v. *σκιάζειν* beschatten. — **2.** *Ἄκρα* Spitzen. — **2.** *Πόσα τμήματα.* Die Differenz zwischen der höchsten und tiefsten Sonnenkulmination (d. h. der Mittagsstellung zur Zeit der beiden Wenden) ist das Doppelte der Ekliptikschiefe; HB—HC (in Fig. 16). Die Deklination (sphärischer Abstand über dem Äquator) der Sonne ist zur Zeit der Wenden gleich der Schiefe der Ekliptik: AB = AC (in Fig. 16). — **2.** *Τοῦ κατὰ κορυφὴν sc. τμήματος* Zenithpunkt des Instruments: ZC — ZB = BC = 2 AC (in Fig. 16), d. h. das Doppelte der Ekliptikschiefe. — **8.** *Πλινθίς* Platte; *τετράγωνος* quadratisch (Theo im Gegensatz zu *ἑτερομήκης* ‚rechteckig': B. 1, S. 33, 17). — **8.** *Ἀδιάστροφος* nicht verschiebbar, nicht wackelnd. — **9.** *Ἀποτεταμένος* eig. scharf gespannt, straff gezogen; schnurgerade, genau eben (Fig. 18: *ΑΒΓΔ*). Theo erklärt: *πρὸς κανόνα* (Richtschnur) *ἀπειργασμένην.* — **10.** *Σημείῳ τινὶ* Punkt *E* der Fig. 18. — **10.** *Μιᾷ τῶν γωνιῶν*: *ΒΑΔ.* — **11.** *Κύκλου τεταρτημόριον* Kreisquadrant. — **13.** *Ὀρθὴ γωνία*: *ΖΕΗ.* — **14.** *Εὐθείας*: die Radien *EZ* und *EH.*

εἰς τὰς ϛ μοίρας καὶ τὰ τούτων μέρη. Μετὰ δὲ ταῦτα ἐπὶ μιᾶς τῶν εὐθειῶν τῆς μελλούσης ὀρθῆς τε ἔσεσθαι πρὸς τὸ τοῦ ὁρίζοντος ἐπίπεδον καὶ πρὸς μεσημβρίαν τὴν θέσιν ἕξειν ἐμπολίσαντες ὀρθὰ καὶ ἴσα πάντοθεν δύο κυλίνδρια μικρὰ κατὰ τὸ ὅμοιον τετορνευμένα, τὸ μὲν ἐπ' αὐτοῦ τοῦ κατὰ τὸ κέντρον σημείου περὶ αὐτὸ τὸ μέσον ἀκριβῶς, τὸ δὲ πρὸς τῷ κάτω πέρατι τῆς εὐθείας, ἔπειτα ἱστάντες ταύτην τὴν καταγεγραμμένην τῆς πλινθίδος πλευρὰν παρὰ τὴν ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ διηγμένην μεσημβρινὴν γραμμήν, ὥςτε καὶ αὐτὴν παράλληλον ἔχειν τὴν θέσιν τῷ τοῦ μεσημβρινοῦ ἐπιπέδῳ, καὶ καθετίῳ διὰ τῶν κυλινδρίων ἀκλινῆ τε καὶ ὀρθὴν πρὸς τὸ ἐπίπεδον τοῦ ὁρίζοντος τὴν δι' αὐτῶν εὐθεῖαν ἀκριβοῦντες, ὑποθεματίων πάλιν τινῶν λεπτῶν τὸ ἐνδέον διορθουμένων, ἐτηροῦμεν ὡσαύτως ἐν ταῖς μεσημβρίαις τὴν ἀπὸ τοῦ πρὸς τῷ κέντρῳ κυλινδρίου γενομένην σκιάν, παρατιθέντες τι πρὸς τῇ καταγεγραμμένῃ περιφερείᾳ πρὸς τὸ καταδηλότερον αὐτῆς τὸν τόπον φαίνεσθαι καὶ ταύτης τὸ

---

1. *Μοίρας.* Unsere Figur 18 ist der Übersichtlichkeit halber nur mit einer Anzahl von Teilstrichen versehen. — 2. *Μελλούσης ὀρθῆς ἔσεσθαι*: *EZ.* — 4. *Ἐμπολίζειν* eindrehen, einfügen. — 5. *Τετορνευμένος* gedrechselt, gedreht, kreisrund; *κατὰ τὸ ὅμοιον* nach gleichem Mafsstabe, über gleicher Form, gleichmäfsig. — 6. *Σημείου*: *E.* — 7. *Πέρατι*: *Z.* — 10. *Διάγειν* ausziehen. — 12. *Ἀκλινής* ungeneigt, nicht schief. — 13. *Ἀκριβοῦν* genau einstellen, genau festhalten. — 14. *Ὑποθεμάτιον* Untersatz, Unterlage (Tischplatte?). — 14. *Τὸ ἐνδέον* das nötige Stück, soviel nötig. — 15. *Μεσημβρίαι* Mittage. — 17. *Τι*, z. B. *πτυχίον τι* ein Schreibtäfelchen. Theo. — 18. *Ταύτης*, nämlich *τῆς σκιᾶς*.

μέσον σημειούμενοι τὸ κατ' αὐτοῦ τμῆμα τῆς τοῦ τεταρτημορίου περιφερείας ἐλαμβάνομεν διασημαῖνον δηλονότι τὴν κατὰ πλάτος ἐπὶ τοῦ μεσημβρινοῦ πάροδον τοῦ ἡλίου.

Ἐκ δὴ τῶν τοιούτων παρατηρήσεων καὶ μάλιστα τῶν § 110.
περὶ τὰς τροπὰς αὐτὰς ἡμῖν ἀνακρινομένων ἐπὶ πλείονας περιόδους τὰ ἴσα καὶ τὰ αὐτὰ τμήματα τοῦ μεσημβρινοῦ κύκλου καὶ κατὰ τὰς θερινὰς τροπὰς καὶ κατὰ τὰς χειμερινάς, τῆς σημειώσεως ὡς ἐπίπαν ἀπὸ τοῦ κατὰ κορυφὴν ἀπολαμβανούσης σημείου, κατελαβόμεθα τὴν ἀπὸ τοῦ βορειοτάτου πέρατος ἐπὶ τὸ νοτιώτατον περιφέρειαν, ἥτις ἐστὶν ἡ μεταξὺ τῶν τροπικῶν τμημάτων, πάντοτε γινομένην μζ' καὶ μείζονος μὲν ἢ διμοίρου τμήματος, ἐλάσσονος δὲ ἡμίσους τετάρτου, δι' οὗ συνάγεται

---

1. *Σημειοῦσθαι*, sich merken, bezeichnen, notieren. — **1.** *Τὸ κατ' αὐτοῦ* (= *τοῦ μέσου τῆς σκιᾶς*) *τμῆμα* den unter ihr (d. h. der Mitte des Schattens) befindlichen Teilstrich. — **6.** *Περιόδους* Kreisläufe (*sc. τοῦ ἡλίου*). Theo: *διὰ τῶν ἑξῆς* (folgenden) *ἡμερῶν*. — **8.** *Σημείωσις* Bezeichnung, Notierung. — **8.** *Ὡς ἐπίπαν* überhaupt, allemal. — **9.** *Ἀπὸ τοῦ κατὰ κορυφὴν σημείου* vom Zenith an. Also trägt der Zenith die Nr. 0, der Horizontalstrich (*H* in Fig. 18) 90, der senkrecht unter dem Zenith stehende Teilstrich (*Z*) wieder 0. So liefs sich ohne weiteres die Ziffer, z. B. die der Polhöhe des Beobachtungsortes ablesen. — **11.** *Ἡ μεταξὺ τῶν τροπικῶν τμημάτων* (*sc. περιφέρεια*) der Kreisbogen zwischen den Wendepunkten (Fig. 16: BC = B'C'), also das Doppelte der Ekliptikschiefe. — **12.** *Διμοίρου τμήματος* halber (Teilstrich) Grad = 30'. — **13.** *Ἡμίσους τετάρτου* (*sc. τμήματος* oder *μέρους*) = $^1/_2 + {}^1/_4 = {}^3/_4$ = 45'. Der Grieche kennt blofs Stammbrüche und kein Pluszeichen (B. 1, S. 47, 13). Eratosthenes berechnete: $^{11}/_{83}$ von 360° = 47° 42' 36" (Theo: 40"). Diese Zahl liegt allerdings zwischen 47° 30' und 47° 45'.

σχεδὸν ὁ αὐτὸς λόγος τῷ τοῦ Ἐρατοσθένους, ᾧ καὶ ὁ Ἵππαρχος συνεχρήσατο· γίνεται γὰρ τοιούτων ἡ μεταξὺ τῶν τροπικῶν ια΄ ἔγγιστα, οἵων ἐστὶν ὁ μεσημβρινὸς πγ΄.

Εὔληπτα δὲ αὐτόθεν ἐκ τῆς προκειμένης παρατηρήσεως γίνεται καὶ τὰ τῶν οἰκήσεων, ἐν αἷς ἂν ποιώμεθα τὰς τηρήσεις, ἐγκλίματα λαμβανομένων τοῦ τε μεταξὺ σημείου τῶν δύο περάτων, ὃ γίνεται κατὰ τὸν ἰσημερινόν, καὶ τῆς μεταξὺ τούτου τε καὶ τοῦ κατὰ κορυφὴν σημείου περιφερείας, ἣ ἴσην δηλονότι καὶ οἱ πόλοι τοῦ ὁρίζοντος ἀφεστήκασιν.

2. Das Astrolabium (Fig. 19).

§ 111. *Ἐν τῷ πέμπτῳ βιβλίῳ (τῶν μαθηματικῶν) προεκτίθεται (Πτολεμαῖος) κατασκευὴν ἀστρολάβου ὀργάνου χρησίμου πάνυ πρός τε τὰς ὡροσκοπήσεις, νύκτωρ τε καὶ μεθ' ἡμέρας, καὶ πρὸς τὰς λήψεις τῶν τόπων, ἐπὶ μὲν*

---

1. Eratosthenes (— 274/194) konnte den Bruch $^{11}/_{83}$ nicht anders ausdrücken, als durch die im Text gegebene Umschreibung. — **2.** Hipparchos beobachtete in Rhodos (— 161/126), Ptolemaeos in Alexandria (+ 125/151). Seit mehr als $3^1/_2$ Jahrhunderten war also des Eratosthenes Beobachtung gültig. — **5.** *Τὰ τῶν οἰκήσεων, ἐν αἷς . . . τηρήσεις, ἐγκλίματα* die Breiten der Beobachtungsörter. — **6.** *Μεταξὺ σ. τ. δ. π.* Stellung nach § 47 C2. — **9.** Polhöhe = Geogr. Breite. Denn (Fig. 16) AN = ZH'; auf beiden Seiten ZN subtrahiert, ergiebt AZ (Breite) = NH' (Polhöhe). — **11.** ‚Astrolabium' ist mittelalterliches Wort. — **12.** Der erste Absatz stammt aus dem Kommentar des Pappos (§ 39). Er leitet verständlicher die folgende Beschreibung des Ptolemaeos ein, als dessen eigene Einleitungsworte. — **12.** *Τὰ μαθηματικά* pflegt Pappos den Almagest (B. 1, S. 17) zu nennen. — **13.** *Ἀστρολάβου*: § 29. — **14.** *Ὡροσκοπήσεις* (Stundenschau, vgl. unser ‚nach der Uhr sehen') *καὶ λήψεις* (Beobachtung) *τῶν τόπων*. Wir: Zeit- und Ortsbestimmungen.

ἡλίου καὶ τῶν ἀστέρων τῶν ἀπλανῶν τε καὶ πλανωμένων ἀκριβῶς, ἐπὶ δὲ σελήνης τῶν φαινομένων. καὶ τὰ μὲν μεγέθη τῶν κρίκων οὐ δηλοῖ, ἐν δὲ τῷ διακατεσκευασμένῳ ὀργάνῳ, ὃ καλεῖται μετεωροσκόπιον, λέγει σαφῶς. φησὶ δὲ οὕτως.

Δύο γὰρ κύκλους λαβόντες ἀκριβῶς τετορνευμένους τετραγώνους ταῖς ἐπιφανείαις καὶ συμμέτρους μὲν τῷ μεγέθει, πανταχόθεν δὲ ἴσους καὶ ὁμοίους ἀλλήλοις, συνηρμόσαμεν κατὰ διάμετρον πρὸς ὀρθὰς γωνίας ἐπὶ τῶν αὐτῶν ἐπιφανειῶν, ὥστε τὸν μὲν ἕτερον αὐτῶν νοεῖσθαι τὸν διὰ μέσων τῶν ζῳδίων, τὸν δ' ἕτερον τὸν διὰ τῶν

---

1. *Ἀπλανεῖς* nicht schweifende Fixsterne; *πλανώμενοι* = *πλάνητες* schweifende Sterne, Planeten. — **3.** *Κρίκοι (circus)* Kreise, Ringe. — **4.** *Μετεωροσκόπιον* ist also nicht das Passageinstrument der §§ 108 f. (vgl. § 29). — **5.** *Οὕτως.* Nun folgt des Ptolemaeos eigene Beschreibung mit der Überschrift: *Περὶ κατασκευῆς ἀστρολάβου ὀργάνου* (= Almagest V 1). — **6.** *Κύκλους* = *κρίκους* Ringe (aus Bronze). Fig. 19: Zod. und Mer. — **7.** *Τετραγώνους ταῖς ἐπιφανείαις* mit quadratischer Oberfläche, d. h. mit quadratischem Querschnitt. Pappos erklärt *τετραγώνους* so: *τὸ αὐτὸ πλάτος καὶ βάθος ἔχοντας;* ferner *πλάτος* so: *τὸ ἤτοι ἐπὶ τῆς κυρτῆς* (convex) *ἢ τῆς κοίλης* (concav) *ἐπιφανείας διάστημα* (Dimension); endlich *βάθος* so: *ἡ ἀπὸ τῆς κυρτῆς ἐπιφανείας ἐπὶ τὴν κοίλην τοῦ κρίκου διάστασις* (Abstand). Wir: Stärke oder Dicke (*πλάτος*) und Tiefe (*βάθος*). — **8.** *Πανταχόθεν δὲ ἴσους κ. ὁ. ἀ.* Pappos erklärt: *ὧν αἵ τε ἐκ τῶν κέντρων* (sc. *εὐθεῖαι* Radien) *ἴσαι εἰσὶ καὶ τὰ πλάτη δὲ καὶ τὰ βάθη ἴσα.* Pappos giebt die Gröfsen wie folgt an: A B' = 1 Elle (= $1^1/_2$ Fufs oder 24 Finger). A B = A'B' = $^1/_{60}$ Elle (= fast 0,8 Centimeter). — **9.** *Κατὰ διάμετρον πρ. ὀ. γ.*: Bei AB und A'B'. — **10.** *Ἐπιφανειῶν*, nämlich der Oberflächen zweier konzentrischer Kugeln, die um AB oder A'B' von einander entfernt sind. — **11.** *Τὸν διὰ μέσων τῶν ζῳδίων* (sc. *κύκλον*) Zodiakus. Fig. 19: Zod.

πόλων αὐτοῦ τε καὶ τοῦ ἰσημερινοῦ γινόμενον μεσημβρινόν· ἐφ' οὗ λαβόντες ἀπὸ τῆς τοῦ τετραγώνου πλευρᾶς τὰ τοὺς τοῦ διὰ μέσων τῶν ζῳδίων κύκλου πόλους ἀφορίζοντα σημεῖα καὶ ἐμπολίσαντες ἀμφότερα κυλινδρίοις ἐξέχουσιν πρός τε τὴν ἐντὸς καὶ τὴν ἐκτὸς ἐπιφάνειαν κατὰ μὲν τῶν ἐκτὸς ἐνεπολίσαμεν ἄλλον κύκλον, ἀπτόμενον πανταχόθεν ἀκριβῶς τῇ κοίλῃ αὐτοῦ ἐπιφανείᾳ τῆς κυρτῆς τῶν συνηρμοσμένων δύο κύκλων καὶ δυνάμενον περιάγεσθαι κατὰ μῆκος περὶ τοὺς εἰρημένους πόλους τοῦ διὰ μέσων τῶν ζῳδίων· κατὰ δὲ τῶν ἐντὸς ὁμοίως ἄλλον κύκλον ἐνεπολίσαμεν ἀπτόμενον μὲν καὶ αὐτὸν πανταχόθεν ἀκριβῶς τῇ κυρτῇ αὐτοῦ ἐπιφανείᾳ τῆς κοίλης τῶν δύο

---

1. *Ἰσημερινοῦ* Gleicher. Fig. 16: AOA'W. — **1.** *Μεσημβρινόν* Meridian. Fig. 19: Mer. — **2.** *Τοῦ τετραγώνου* der Schnittquadrate AB und A'B'. Pappos: *τῶν τομῶν* und *ἐντομῶν*. — **4.** *Σημεῖα* Punkte (Zodiakuspole). Fig. 19: N' und S'. Je 90° von AB und A'B' entfernt. — **4.** *Ἐμπολίζειν* (v. *πόλοι*, hier *κυλίνδρια* = runde Stifte): *τι* aufstecken, *τινί τι* durchstechen mit. Pappos: *τρημάτια* (kleine Bohrlöcher) *ἐγγίνεται*. — **4.** *Ἐξέχειν* herausragen. — **6.** *Ἀπτόμενον* der berührt. — **8.** *Περιάγεσθαι* herumgedreht werden. — **9.** *Κατὰ μῆκος* in der Länge. Bei jeder Drehung wird er zum Meridian anderer Örter, da er sich um Pole (*περὶ τοὺς εἰρ. πόλους*) dreht. — **10.** *Κατὰ δὲ τῶν ἐντὸς .... ἔξωθεν.* Dieser Satz und im § 112 der Satz von *ὑφηρμόσαμεν* bis *παρατηρήσεως* beschreibt das Passageinstrument des § 108, nur daſs der innere Kreis dort *πρισμάτια*, hier *ὀπαί* trägt: Vorwort 6. Das Passageinstrument aber war ein Meridianinstrument, jede Drehung erfolgt in der Meridianebene, seine Fläche fiel mit der des Meridians zusammen. Das Astrolabium jedoch ist ein Äquatorialinstrument, seine Drehung erfolgt um die Achse des Äquators oder Weltachse, seine Aufstellung heiſst parallaktische Aufstellung. — **11.** *Καὶ αὐτόν* auch seinerseits.

κύκλων, περιαγόμενον δὲ ὁμοίως κατὰ μῆκος περὶ τοὺς αὐτοὺς πόλους τῷ ἔξωθεν. Διελόντες δὲ τοῦτόν τε τὸν § 112. *ἐντὸς κύκλον καὶ ἔτι τὸν ἀντὶ τοῦ διὰ μέσων τῶν ζῳδίων γενόμενον εἰς τὰς ὑποκειμένας τῆς περιμέτρου μοίρας τξ, καὶ ὅσα ἐνεδέχετο τούτων μέρη, ὑφηρμόσαμεν ἀκριβῶς ἕτερον λεπτὸν κυκλίσκον ὀπὰς ἔχοντα κατὰ διάμετρον ἐξεχούσας ὑπὸ τὸν ἐντὸς τῶν δύο κύκλων, ὅπως δύνηται παραφέρεσθαι κατὰ τὸ αὐτὸ ἐκείνῳ ἐπίπεδον ὡς πρὸς ἑκάτερον τῶν ἐκκειμένων πόλων ἕνεκεν τῆς κατὰ πλάτος παρατηρήσεως. Τούτων δ' οὕτως γενομένων ἀποστήσαντες ἐπὶ τοῦ δι' ἀμφοτέρων τῶν πόλων νοουμένου κύκλου ἀφ' ἑκατέρου τῶν τοῦ ζῳδιακοῦ πόλων τὴν μεταξὺ δεδειγμένην περιφέρειαν τῶν δύο πόλων τοῦ τε διὰ μέσων τῶν ζῳδίων καὶ τοῦ ἰσημερινοῦ τὰ γενόμενα πέρατα κατὰ διάμετρον πάλιν ἀλλήλοις ἐνεπολίσαμεν καὶ αὐτὰ πρὸς τὸν ὅμοιον μεσημβρινὸν τῶν ἐν ἀρχῇ τῆς συντάξεως ὑποδεδειγμένων πρὸς τὰς τῆς μεταξὺ τῶν τροπικῶν τοῦ μεσημβρινοῦ περιφερείας τηρήσεις, ὥστε τούτου κατὰ τὴν αὐτὴν θέσιν ἐκείνῳ κατασταθέντος, τουτέστιν ὀρθοῦ τε πρὸς τὸ τοῦ ὁρίζοντος ἐπίπεδον καὶ κατὰ τὸ οἰκεῖον ἔξαρμα τοῦ πόλου*

4. *Ὑποκείμενος* üblich. — **5.** *Ἐνεδέχετο* möglich war. — **8.** *Ἐξέχειν ὑπὸ τὸν* hinausragen über den. — **8.** *Παραφέρειν* seitwärts drehen. — **10.** *Ἀφίστημι* abstellen, abstecken. — **12.** *Ἑκατέρου τῶν τ. ζ. πόλων* Fig. 19: P und P'. — **12.** *Τῶν δύο πόλων* abhängig von *μεταξύ*: § 47 C. — **14.** *Κατὰ διάμετρον πάλιν ἀλλήλοις* abhängig von *γενόμενα*: § 47 C. — **15.** *Ὅμοιον.* Davon hängt *τῶν ἐν κ. τ. λ.* ab: § 47 C. — **16.** *Ἐν ἀρχῇ τῆς συντάξεως* im Anfang des Werkes. Gemeint ist die Schiefe der Ekliptik (§ 110). — **20.** *Οἰκεῖον.* Davon hängt *τοῦ πόλου κ. τ. λ.* ab: § 47 C. — **20.** *Ἔξαρμα τοῦ πόλου* Polhöhe (= geogr.

τῆς ὑποκειμένης οἰκήσεως καὶ ἔτι παραλλήλου τῷ τοῦ φύσει μεσημβρινοῦ ἐπιπέδῳ, τὴν τῶν ἐντὸς κύκλων περιαγωγὴν ἀποτελεῖσθαι περὶ τοὺς τοῦ ἰσημερινοῦ πόλους ἀπ' ἀνατολῶν ἐπὶ δυσμὰς ἀκολούθως τῇ τῶν ὅλων πρώτῃ φορᾷ.

§ 113. Τοῦτον δὴ τὸν τρόπον καθίσταντες τὸ ὄργανον, ὁποσάκις ὑπὲρ γῆν ἅμα φαίνεσθαι ἠδύναντο ὅ τε ἥλιος καὶ ἡ σελήνη, τὸν μὲν ἔξωθεν τῶν ἀστρολάβων κύκλον καθίσταμεν ἐπὶ τὴν κατ' ἐκείνην τὴν ὥραν εὑρισκομένην ἔγγιστα τοῦ ἡλίου μοῖραν καὶ περιήγομεν τὸν διὰ τῶν πόλων κύκλον, ὅπως τῆς κατὰ τὴν ἡλιακὴν μοῖραν τῶν κύκλων τομῆς πρὸς τὸν ἥλιον ἀκριβῶς τρεπομένης σκιάζωσιν αὐτοὺς ἅμα οἱ κύκλοι ἀμφότεροι ὅ τε διὰ μέσων τῶν ζῳδίων καὶ ὁ διὰ τῶν πόλων αὐτοῦ, ἢ ἐάνπερ ἀστὴρ

Breite). — **3.** *Περὶ τοὺς κ. τ. λ.* Hier wird die Beschreibung lückenhaft oder ungenau. Oben waren die beiden Innenringe (des Passageinstruments) fest eingefügt (*ἐνεπολίσαμεν* § 112) in die Pole des Zodiakus. Hier muſs man sie anders eingefügt denken, nämlich in die Pole des Äquators. Das macht die Entscheidung darüber schwer, wie und wo das Stativ des Instruments angebracht war. Unsere Figur 19 hat es so gestaltet, wie unsere Globen es zu haben pflegen. Doch ist das nur ein Notbehelf, da diese Art des Untersatzes nur bei sehr fester und dauerhafter Konstruktion die für feine astronomische Beobachtungen unerläſsliche Standfestigkeit gewährleistet. — **5.** *Τῇ τῶν ὅλων πρώτῃ φορᾷ.* So nannte man die Bewegung des Alls von Ost nach West. — **10.** *Μοῖρα* Grad, Punkt im Kreise, Stelle der Sonnenbahn. — **13.** *Ἀμφότεροι* jeder für sich. Jeder beschattet mit seiner der Sonne zugekehrten Seite seine der Sonne abgewendete Seite.

ᾖ ὁ διοπτευόμενος, ὅπως τοῦ ἑνὸς τῶν ὀφθαλμῶν παρατεθέντος τῇ ἑτέρᾳ τῶν πλευρῶν τοῦ καθεσταμένου ἔξωθεν κύκλου ὑπὸ τὴν ὑποκειμένην αὐτοῦ κατὰ τὸν διὰ μέσων τῶν ζῳδίων κύκλον μοῖραν καὶ διὰ τῆς ἀπεναντίον καὶ παραλλήλου τοῦ κύκλου πλευρᾶς ὥσπερ κεκολλημένος ἀμφοτέραις αὐτῶν ταῖς ἐπιφανείαις ὁ ἀστὴρ ἐν τῷ δι' αὐτῶν ἐπιπέδῳ διοπτεύηται. Τὸν δὲ ἕτερον καὶ § 114. ἐντὸς τῶν ἀστρολάβων κύκλον παρεφέρομεν πρὸς τὴν σελήνην ἢ καὶ πρὸς ἄλλο τι τῶν ζητουμένων, ὅπως ἅμα τῇ τοῦ ἡλίου ἢ καὶ ἄλλου τοῦ ὑποκειμένου διοπτεύσει καὶ ἡ σελήνη ἢ καὶ ἄλλο τι τῶν ζητουμένων διὰ τῶν κατὰ τὸν ἐφηρμοσμένον κυκλίσκον ὀπῶν ἀμφοτέρων διοπτεύηται.

Οὕτως γάρ, ποῖόν τε κατὰ μῆκος ἐπέχει τοῦ διὰ μέσων τῶν ζῳδίων τμῆμα, ἐπιγιγνώσκομεν ἐκ τῆς κατὰ τὴν τοῦ ἰσοδυναμοῦντος αὐτῷ κύκλου διαίρεσιν γινομένης τοῦ ἐντὸς κύκλου τομῆς, καὶ πόσας αὐτοῦ μοίρας ἀφέστηκεν ἤτοι πρὸς ἄρκτους ἢ πρὸς μεσημβρίαν ὡς ἐπὶ τοῦ διὰ τῶν πόλων αὐτοῦ κύκλου, διά τε τῆς αὐτοῦ τοῦ ἐντὸς ἀστρολάβου διαιρέσεως καὶ τῆς εὑρισκομένης διαστάσεως ἀπὸ μέσης τῆς ὑπὲρ γῆν ὀπῆς τοῦ ὑπ' αὐτὸν παραγομένου κυκλίσκου ἐπὶ τὴν μέσην γραμμὴν τοῦ διὰ μέσων τῶν ζῳδίων κύκλου.

---

5. *Κεκολλημένος* angeleimt (v. *κολλᾶν*). — **11.** *Καὶ ἡ σελήνη* auch der Mond. — **16.** *Ἰσοδυναμεῖν* gleichbedeutend sein, entsprechen, vertreten. Jedem Himmelskreis entspricht an dem Astrolabium ein Metallring.

K. Mechanische Apparate des Heron.

39. Ein Heronsball als Springbrunnen.

§ 115. *Κατασκευάζεται σφαῖρα κοίλη ἢ ἕτερον ἀγγεῖον, εἰς ὃ ἐγχυθὲν ὑγρὸν ἀναπιέζεται εἰς τὸ ὕψος αὐτόματον καὶ μετὰ βίας πολλῆς, ὥστε πᾶν κενωθῆναι, καίτοι τῆς φορᾶς αὐτῷ γινομένης παρὰ φύσιν εἰς τὸ ἄνω μέρος· ἔστι δὲ ἡ κατασκευὴ τοιαύτη* (Fig. 20).

Ἔστω σφαῖρα χωροῦσα ὡς κοτύλας ἕξ, τὸ τεῦχος ἔχουσα τοῦ ἐλάσματος στερεόν, ὥστε ὑπομένειν τὴν μέλλουσαν τοῦ ἀέρος πίλησιν γενέσθαι· ἔστω δὲ αὕτη ἡ ΑΒ κειμένη ἐπί τινος ὑποσπειρίου τοῦ Γ· τρυπηθείσης δὲ αὐτῆς κατὰ τὸ ἄνω μέρος σωλὴν διεώσθω ὁ ΔΕ ἀπέχων ἀπὸ τοῦ κατὰ

---

3. Text nach Wilh. Schmidts Ausgabe (Teubner 1899). Dessen Konjekturen bezeichnen wir durch WS, seine Verdeutschungen durch Anführungsstriche. Fig. 20. — **3.** *Ἀγγεῖον* Gefäfs. — **4.** *Ἐγχυθέν* (v. *ἐγχυθείς, ἐνεχύθην, ἐγχέω*) hineingegossen. *Ὑγρόν* Flüssigkeit. — **4.** *Ἀναπιέζειν* empordrängen, hinauftreiben. — **5.** *Κενοῦν* leer machen, entleeren. — **6.** *Τῆς φορᾶς αὐτῷ . . . εἰς τὸ ἄνω μέρος* (nicht *τῆς εἰς τὸ ἄνω μέρος φορᾶς* ‚ihr Auftrieb') = obgleich ihr Lauf (im vorliegenden Falle) aufwärts geht. — **7.** *Κατασκευή* Konstruktion des Apparates. Vgl. § 44 A. — **8.** *Χωρεῖν* tr. fassen. — **8.** *Κοτύλη* = 0,274 Liter. Also *ὡς* 6 *κ.* = 1,65 Liter. Schon Homer: *Ψ* 34. Davon ‚Mono-' und ‚Dikotyledonen'. — **8.** *Τεῦχος* Wandung. Zur Stellung § 47 C. — **9.** *Ἔλασμα* getriebenes Metall. — **9.** *Μέλλουσαν γενέσθαι* bevorstehend, zu erwarten, beabsichtigt. — **10.** *Πίλησις* (*ὁ πῖλος* Filz, *πιλεῖν* filzen, pressen) Verfilzung, Verdichtung, Kompression. — **11.** *Ὑποσπείριον* (*σπεῖρα* Sockel einer Säule, Wulst) wulstige Unterlage. — **11.** *Τρυπᾶν* durchbohren, *τρύπημα* Loch. — **12.** *Σωλήν* Röhre, Rohr. — **12.** *Διωθεῖν* (perf. p. *διέωσμαι*) hindurchstofsen, hineinschieben. *Διεώσθω* Sch für *διώσθω*.

διάμετρον τόπου τοῦ τρυπήματος ὅσον ὕδατος διάρρυσιν, ὑπερέχων δὲ εἰς τὸ ἄνω μέρος τῆς σφαίρας βραχὺ καὶ συνεστεγνωμένος κατὰ τὸ τρύπημα τῷ τεύχει τῆς σφαίρας. Σχιζέσθω δὲ τὸ ἄνω στόμιον αὐτοῦ εἰς δύο σωλῆνας τοὺς ΔΗ, ΔΖ, οἷς ἐπικολλάσθωσαν ἕτεροι σωλῆνες δύο πλάγιοι οἱ ΗΘΚΛ, ΖΜΝΞ συντετρημένοι τοῖς ΔΗ, ΔΖ· ἕτερος δὲ ὁ ΠΟ συνεσμηρίσθω τοῖς ΗΘΚΛ, ΖΜΝΞ τετρυπημένος καὶ οὗτος κατὰ τὰ ἐν τοῖς ΗΘΚΛ, ΖΜΝΞ τρυπήματα καὶ ἔχων σωληνάριον προκείμενον ὄρθιον τὸ ΡΣ συντε-

---

1. *Ἀπὸ τοῦ κατὰ διάμετρον τοῦ τρυπήματος τόπου* von der dem Loche diametral entgegengesetzten Stelle. — **1.** *Ὅσον* wie weit; nur soweit wie, ungefähr noch, etwa nur. — **1.** *Διάρρυσιν* (v. *διαῤῥεῖν*) ein Durchfließen = um durchfließen zu lassen. — **2.** *Ὑπερέχων* (*βραχύ*) darüber hinausragend (ein kurzes Ende, ein wenig). — **2.** *Τῆς σφαίρας* abhängig von *ἄνω*: über der Kugel. — **3.** *Συνεστεγνωμένος* zusammengelötet. Von *στεγνός* bedacht, bedeckt, geschlossen (*στεγνά* geschlossene Räume, Ggstz. *ὕπαιθρα*); gedichtet (*πῖλος*); *στεγνοῦν* verdichten, verschließen, verkitten, verlöten. — **4.** *Σχίζειν* spalten; *σχίζεσθαι* ‚sich verzweigen'. — **4.** *Στόμιον* (v. *στόμα* Mund) Mündung. — **5.** *Ἐπικολλάζειν* (= *ἐπικολλᾶν*) aufleimen (*κόλλα* Leim), anlöten. — **5.** *Πλάγιος* seitlich, quer. Wird erklärt durch die Worte: *ὄρθιοι μέχρι τινός, εἶτα ἐπικαμπτόμενοι πρὸς ἀλλήλους.* — **6.** *Συντιτρᾶν* oder *συντετραίνειν* (fut. *συντρήσω*, pf. p. *συντέτρημαι*) zusammenbohren, d. h. durch Bohrung (Bohrlöcher, Öffnungen oder Gänge) verbinden. — **7.** *Συσμηρίζειν* = *συσμυρίζειν* zusammenschmirgeln, d. h. durch Polieren (Abschleifen) luftdicht (aber drehbar) einfügen, genau einpassen. Verquickung von *σμῆν* (*σμάω*) wischen, reiben, und *ἡ σμύρις* Schmirgel (pulverisierter Korund, besonders von Naxos). — **7.** *Τετρυπημένος* mit Löchern versehen; und zwar, wie erklärt wird, *ἐκ πλαγίου* seitlich. — **8.** *Καὶ οὗτος* auch ihrerseits. — **8.** *Κατὰ* (gegenüber) *τὰ τρυπήματα*, d. h. den rechtwinkligen Fortsetzungen bei *K* und *N*. — **9.** *Σωληνάριον* kleines Rohr.

τρημένον αὐτῷ καὶ εἰς μικρὸν συνηγμένον στόμιον κατὰ τὸ Σ. Ἐὰν οὖν ἐπιλαβόμενοι τοῦ ΣΡ σωλῆνος ἐπιστρέφωμεν τὸν ΠΟ σωλῆνα, ἀποκλεισθήσεται τὰ κατάλληλα κείμενα τρυπήματα, ὥστε τὸ μέλλον ἀναπιέζεσθαι ὑγρὸν μηκέτι ἔχειν διέξοδον.

§ 116. *Καθείσθω δὲ καὶ ἕτερος σωλὴν ἐν τῇ σφαίρᾳ ὁ ΤΥΦ διά τινος τρυπήματος ἐπιπεφραγμένος τὸ κάτω στόμιον τὸ Φ, ἐκ δὲ τῶν πλαγίων τρύπημα ἔχων στρογγύλον τὸ Χ παρὰ τὸν πυθμένα, ᾧ προσκείσθω κλειδίον τὸ καλούμενον παρὰ Ῥωμαίοις ἀσσάριον, οὗ τὴν κατασκευὴν ἑξῆς ἐροῦμεν· ἕτερος δὲ σωλὴν ὁ ΨΩ καθείσθω συνεσμηρισμένος τῷ ΥΦΤ. Ἐὰν οὖν ἀνασπάσαντες τὸν ΨΩ σωλῆνα ἐγχέωμεν εἰς τὸν ΤΥΦ σωλῆνα ὑγρόν, εἰσελεύσεται εἰς τὸ τεῦχος τῆς σφαίρας διὰ τοῦ Χ τρυπήματος ἀνοιγομένου τοῦ κλειδίου εἰς τὸ ἔσω μέρος, τοῦ ἀέρος ἐκχωροῦντος διὰ τῶν ἐν τῷ ΟΠ σωλῆνι εἰρημένων τρυπημάτων, αὐτῶν*

---

1. *Συνάγειν* zusammenziehen, verengen; *εἰς μικρὸν στόμιον* in eine kleine Mundöffnung. — **2.** *Ἐπιλαμβάνεσθαι* anfassen. — **3.** *Ἐπιστρέφειν* andrehen, ein Stück umdrehen. — **3.** *Κατάλληλος* gegeneinander gewendet, ‚mit einander korrespondierend'. — **4.** *Τὸ μέλλον* die da will, soll. — **5.** *Διέξοδος* Ausweg, Durchgang (*διά*) nach aufsen (*ἐκ*). — **6.** *Καθείσθω* (v. *καθιέναι*, pf. p. *καθεῖμαι*) es soll hinabgelassen werden, man stecke hinein. — **6.** *Σωλήν* ‚Kolbenrohr' = *ἐμβολεύς* (§ 122). — **7.** *Ἐπιπεφραγμένος* (v. *φράσσειν* sperren) verschlossen; *τὸ κ. στ.* am unteren Mundende. — **8.** *Ἐκ τῶν πλαγίων* seitlich. — **8.** *Στρογγύλος* rund. — **9.** *Παρὰ τὸν πυθμένα* neben dem (dicht am) Boden. — **9.** *Κλείδιον* (v. *ἡ κλείς*) kleiner Verschlufs, ‚Ventil'. — **10.** *Ἑξῆς*: § 118. — **12.** *Ἀνασπᾶν* in die Höhe ziehen. **14.** *Ἀνοίγειν* = *ἀνοιγνύναι* öffnen.

κειμένων κατὰ τὰ ἐν τοῖς ΗΘΚΛ, ΖΜΝΞ σωλῆσι τρυπήματα. Ὅταν οὖν δι' ἡμίσους γένηται ἡ σφαῖρα τοῦ ὑγροῦ, ἐγκλίνωμεν τὸ ΣΡ σωληνίδιον, ὥστε παραλλάξαι τὰ κατάλληλα κείμενα τρυπήματα· εἶτα καθιέντες τὸν ΨΩ σωλῆνα ἐκθλίβωμεν δι' αὐτοῦ τὸν ἐν τῷ ΤΥΦ σωλῆνι ἐναπειλημμένον ἀέρα τε καὶ ὑγρόν, ὃς δὴ χωρήσει εἰς τὸ τεῦχος τῆς σφαίρας διὰ τοῦ κλειδίου μετὰ βίας διὰ τὸ τὴν σφαῖραν πλήρη εἶναι ἀέρος τε καὶ ὑγροῦ. Γίνεται § 117. *οὖν ἡ εἴσκρισις κατὰ πίλησιν τοῦ ἀέρος συνερχομένου εἰς τὰ παρεμπεπλεγμένα μεταξὺ αὐτοῦ κενά· εἶτα πάλιν ἀνασπάσαντες τὸν ΨΩ σωλῆνα, ὥστε πληρωθῆναι τὸν ΤΥΦ σωλῆνα ἀέρος, καὶ πάλιν καθέντες τὸν ΨΩ σωλῆνα εἰσκρινοῦμεν ἐν τῇ σφαίρᾳ τὸν εἰρημένον ἀέρα. καὶ τοῦτο πλεονάκις ποιοῦντες ἕξομεν ἐν τῇ σφαίρᾳ πολὺν πεπιλημένον ἀέρα· ὅτι γὰρ ὁ εἰσκρινόμενος ἀὴρ ἀνασπασθέντος τοῦ ἐμβολέως οὐ παρεξέρχεται, φανερὸν διὰ τὸ τὸ κλειδίον ὑπ' αὐτοῦ ἔσωθεν θλιβόμενον ἀποκεκλεῖσθαι. Ἐὰν οὖν*

---

1. *Αὐτῶν* [Sch] (d. h. *τούτων τῶν τρυπημάτων*) *κειμένων* wenn sie nämlich liegen. Handschriften: *καὶ κειμένων* (ohne *αὐτῶν*). — **2.** *Δι' ἡμίσους* zur Hälfte. — **3.** *Γίγνεσθαί τινος* in jemandes Gewalt (Besitz) kommen, *τοῦ ὑγροῦ* von der Flüssigkeit eingenommen (besetzt) ist. — **3.** *Παραλλάσσειν* intr. sich seitlich verschieben. — **5.** *Ἐκθλίβειν* hinauspressen. — **6.** *Ἐναπολαμβάνειν* darin abfassen, einschliefsen. — **9.** *Εἴσκρισις* (spätgriech.) Eintritt; *εἰσκρίνειν* eindringen lassen. — **10.** *Τὰ παρεμπεπλεγμένα* (*πλέκω* flechten) *μεταξὺ* (zwischen) *αὐτοῦ κενά* die neben (*παρά*) ihren Teilen eingestreuten Hohlräume. Diese *κενά* ‚Vakua' sind nach Herons Vorstellung in allen Körpern und ermöglichen ihre Verdichtung. — **12.** *Καὶ* WS. — **16.** *Ἐμβολεύς* Kolben: § 122. — **16.** *Παρεξέρχεσθαι* (seitwärts) entweichen. — **17.** *Θλίβειν* pressen.

ἀναστρέψωμεν πάλιν τὸ ΡΣ σωληνίδιον, ὥστε ὀρθὸν γενέσθαι καὶ τὰ τρυπήματα κατάλληλα κεῖσθαι, τότε ἀναπτυσθήσεται τὸ ὑγρόν, τοῦ πεπιλημένου ἀέρος χεομένου εἰς τὸν ἴδιον ὄγκον καὶ θλίβοντος τὸ ὑγρὸν τὸ ὑποκείμενον. Ἐὰν οὖν πλείων ᾖ ὁ πεπιλημένος ἀήρ, πᾶν ἐξελάσει τὸ ὑγρόν, ὥστε καὶ τὸν ὑπερπλεονάζοντα σὺν τῷ ὑγρῷ ἐκκρουσθῆναι ἀέρα.

§ 118. *Τὸ δὲ εἰρημένον* **ἀσσάριον** (Fig. 21) *κατασκευάζεται οὕτως· δύο πλινθία κατασκευάζεται χάλκεα τετράγωνα ἔχοντα ἑκάστην πλευρὰν ὡς δακτύλου ἑνός, τὸ πάχος δὲ ὡσπερεὶ στάθμης. Ταῦτα δὴ ἐφαρμοσθέντα ἐπάλληλα κατὰ τὸ πλάτος σμηρίζεται, τουτέστι λειοῦται, ὥστε εἰς τὸ μεταξὺ αὐτῶν μήτε ἀέρα μήτε ὑγρὸν παρεμπίπτειν.*

Ἔστω δὲ ταῦτα τὰ ΑΒΓΔ, ΕΖΗΘ· ἐν δὲ αὐτῶν τὸ ΕΖΗΘ τέτρηται κατὰ μέσον στρογγύλῳ τρήματι τὴν διάμετρον ἔχοντι ὡς δακτύλου τρίτον· ἐφαρμοσθείσης δὲ τῆς ΑΔ πλευρᾶς ἐπὶ τὴν ΕΘ, συλλαμβάνεται πρὸς ἄλληλα τὰ πλινθία στροφωματίοις, ὥστε τὰς λείας ἐπιφανείας

---

1. *Ἀναστρέφειν* zurück-, empordrehen. — **3.** *Ἀναπτύσσειν* aufwickeln, entfalten, emporspritzen. — **4.** *Ὄγκος* Volumen. — **4.** *Ὑποκείμενος* darunter befindlich. — **6.** *Ὑπερπλεονάζων* ‚überschüssig'. — **7.** *Ἐκκρούειν* hinausstofsen. — **8.** *Ἀσσάριον* lat. Fremdwort (S. 91, Z. 1). — **9.** *Πλινθίον* Platte. Fig. 21. — **9.** *Τετράγωνος* quadratisch. — **10.** *Δακτύλου ἑνός* zu 1 Fingerbreite = fast 2 cm. — **10.** *Ὡσπερεί* (urspr. = *ὥσπερ εἰ* genau so wie wenn) = *ὡς* ‚wie' die einer *στάθμη* (Richtscheit). — **12.** *Σμηρίζειν* schmirgeln, *λειοῦν* glätten, polieren (*λεῖος lēvis*). — **13.** *Παρεμπίπτειν* von der Seite hineingeraten. — **16.** *Ἔχοντι* WS. — **18.** *Στροφωμάτιον* (v. *στρέφειν* drehen) Zapfen, ‚Scharniere'.

τῶν πλινθίων ἀλλήλαις ἐφηρμοκέναι. Ὅταν οὖν βουλώμεθα δι' αὐτῶν ἐνεργεῖν, ἐπικολλᾶται τὸ ΕΖΗΘ πλινθίον τῷ τρήματι, δι' οὗ ἤτοι ἀέρα ἢ ὑγρὸν εἰσωθούμενον δύναται στέγειν· διὰ γὰρ τῆς διωθήσεως τὸ ΑΒΓΔ πλινθίον ἀνοίγεται εὐλύτως κινούμενον διὰ τῶν στροφωματίων καὶ δέχεται τὸν ἀέρα καὶ τὸ ὑγρόν, ὃς ἀποκλείεται εἰς τὸ στεγνὸν ἀγγεῖον ἀντερείδων τῷ ΑΒΓΔ πλινθιδίῳ καὶ ἀποκλείων τὸ τρῆμα, δι' οὗ ὁ ἀὴρ εἰσωθεῖται.

40. Ein Heronsbrunnen.

Κατασκευάζεται δὲ καὶ Σατυρίσκος ἐπί τινος βά- § 119.
σεως ἀσκὸν ἐν ταῖς χερσὶ κατέχων, ᾧ προσπαράκειται λουτηρίδιον, καὶ ἐγχυθέντος εἰς αὐτὸ ὑγροῦ, ὥστε πληρωθῆναι, ἐπιρρεύσει διὰ τοῦ ἀσκοῦ ὕδωρ εἰς τὸ λουτηρίδιον καὶ οὐχ ὑπερχυθήσεται, ἄχρις οὗ πᾶν τὸ διὰ τοῦ ἀσκοῦ ὕδωρ κενωθῇ· ἔστι δὲ ἡ κατασκευὴ τοιαύτη.

---

